

NYPL RESEARCH LIBRARIES
3 3433 08155636 1



HISTOIRE

DE LA GUERRE

DU PÉLOPONNÈSE,

PAR THUCYDIDES.

ΘΟΥΚΥΔΙΔΟΥ

ΠΕΡΙ ΤΟΥ

ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ

ΒΙΒΛΙΑ ΟΚΤΩ.

ΘΟΥΚΥΔΙΔΟΥ

ΤΟΥ ΟΛΟΡΟΥ

ΠΕΡΙ ΤΟΥ

ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ

ΒΙΒΛΙΑ ΟΚΤΩ.


Τόμος τρίτος.

περιέχων Ϛ, Ζ, Η.

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΦΙΡΜΙΝΟΥ-ΔΙΔΟΤΟΥ.

ΑΩΟΖʹ — ΑΩΟΘʹ



HISTOIRE

DE LA GUERRE

DU PÉLOPONNÈSE,

PAR THUCYDIDES.

TRADUCTION FRANÇAISE

PAR AMBR. FIRMIN-DIDOT.

Avec notes et cartes.

TOME TROISIÈME,

CONTENANT LES LIVRES 6, 7 ET 8.

SECONDE ÉDITION.

PARIS,

TYPOGRAPHIE DE FIRMIN-DIDOT ET Cie

RUE JACOB, N° 56.

1877 — 1879.

ΘΟΥΚΥΔΙΔΟΥ

ΤΟ ΕΚΤΟΝ

THUCYDIDES

LIVRE SIXIÈME

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΚΤΟΝ.

α΄. ΤΟΥ̃ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, εἰ δύναιντο, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περίπλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν, καὶ τοσαύτη οὖσα, ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται. τὸ μὴ ἤπειρος οὖσα.

β΄. Ὠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον, καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα.

Παλαιότατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ οὔτε γένος

HISTOIRE

COMPOSÉE

PAR THUCYDIDES

FILS D'OLOROS.

LIVRE SIXIÈME.

1. Ce même hiver, les Athéniens voulurent derechef, avec des préparatifs supérieurs à ceux qu'avaient eus Lachès et Eurymédôn, faire voile pour la Sicile et la soumettre, s'ils le pouvaient. La plupart ignoraient la grandeur de l'île et le nombre de ses habitants, soit Hellènes soit Barbares, et qu'ils entreprenaient une guerre non moins importante que celle contre les Péloponnésiens. En effet, le périple de la Sicile*, pour un vaisseau marchand, n'est guère de moins de huit jours; un espace de mer de vingt stades tout au plus* empêche cette île si vaste d'être un continent.

* Sicélie.

* 3 kil. 700.

2. Voici comment elle fut habitée anciennement, et quel fut le grand nombre de toutes ses nations.

On prétend que les plus anciens habitants d'une partie de l'île furent les Cyclôpes et les Læstrygôns. Je ne

1.

ἔχω εἰπεῖν οὔτε ὁπόθεν εἰσῆλθον ἢ ὅποι ἀπεχώρησαν· ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται καὶ ὡς ἕκαστός πη γιγνώσκει περὶ αὐτῶν.

Σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι, ὡς μὲν αὐτοί φασι, καὶ πρότεροι διὰ τὸ αὐτόχθονες εἶναι, ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, Ἴβηρες ὄντες καὶ ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λιγύων ἀναστάντες. Καὶ ἀπ' αὐτῶν Σικανία τότε ἡ νῆσος ἐκαλεῖτο, πρότερον Τρινακρία καλουμένη· οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν.

Ἰλίου δὲ ἁλισκομένου, τῶν Τρώων τινὲς, διαφυγόντες Ἀχαιοὺς, πλοίοις ἀφικνοῦνται πρὸς τὴν Σικελίαν, καὶ ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες, ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν, πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγεστα. Προσξυνῴκησαν δὲ αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ Τροίας τότε χειμῶνι ἐς Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν ἀπ' αὐτῆς κατενεχθέντες.

Σικελοὶ δ' ἐξ Ἰταλίας (ἐνταῦθα γὰρ ᾤκουν) διέβησαν ἐς Σικελίαν, φεύγοντες Ὄπικας, ὡς μὲν εἰκὸς καὶ λέγεται, ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν πορθμὸν κατιόντος τοῦ ἀνέμου, τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες. Εἰσὶ δὲ καὶ νῦν

saurais dire ni leur origine, ni d'où ils vinrent dans l'île, ni où ils se retirèrent. Il faut se contenter de ce qu'en ont raconté les poètes et de l'opinion de chacun sur ces peuples.

Après eux, les Sicaniens paraissent y avoir fait les premières fondations : ils se disent même plus anciens encore, parce qu'ils sont indigènes; mais ce qui est vrai, c'est qu'ils sont des Ibères, et furent chassés par les Ligyens* des bords du fleuve Sicanos* en Ibérie. Et c'est de leur nom que l'île fut alors nommée Sicanie; elle s'appelait auparavant Trinacrie. Ils habitent encore aujourd'hui la partie occidentale de la Sicile.

* Liguriens.

* On croit que Sicanos est une rivière descendant des Pyrénées et se rendant dans l'Ibérus, l'*Èbre*. Les Sicaniens descendaient des Ibères. Voy. Éphore, Philistos, Diodôre de Sicile, *Fragment. Hist. gr.*, t. I, p. 246.

A la prise d'Ilion, quelques Troyens, échappés aux Hellènes, vinrent en Sicile sur des barques; ils habitèrent sur les confins des Sicaniens, et furent tous ensemble appelés Élymes; leurs villes sont Éryx et Égeste.* Avec eux s'établirent encore quelques-uns des Phôcéens qui étaient allés à Troie, et poussés alors par une tempête d'abord en Libye, de là abordèrent ensuite en Sicile.

* Voy. Denys d'Halicarn., 41, 42.

Les Sicèles passèrent de l'Italie (car c'est là qu'ils habitaient) dans la Sicile, en fuyant les Opiques,* et comme il est probable et comme on le dit, ce fut sur des radeaux, en guettant le moment où le vent soufflait favorable dans le détroit; il se peut aussi qu'ils y aient abordé de toute autre manière. Il y a encore

* Opiques ou Osques, anciens peuples d'Italie qui habitaient le Samnium et la Campanie. Appelés ensuite Ausoniens.

ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοὶ, καὶ ἡ χώρα ἀπὸ Ἰταλοῦ βασιλέως τινὸς Σικελῶν, τοὔνομα τοῦτο ἔχοντος, οὕτως Ἰταλία ἐπωνομάσθη.

Ἐλθόντες δὲ ἐς τὴν Σικελίαν στρατὸς πολὺς, τούς τε Σικανοὺς κρατοῦντες μάχῃ ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς, καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς τριακόσια πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα καὶ τὰ πρὸς βοῤῥᾶν τῆς νήσου ἔχουσιν.

Ὤκουν δὲ καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν, ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες καὶ τὰ ἐπικείμενα νησίδια ἐμπορίας ἕνεκεν τῆς πρὸς τοὺς Σικελούς· ἐπειδὴ δὲ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεισέπλεον, ἐκλιπόντες τὰ πλείω, Μοτύην καὶ Σολόεντα καὶ Πάνορμον ἐγγὺς τῶν Ἐλύμων ξυνοικίσαντες ἐνέμοντο, ξυμμαχίᾳ τε πίσυνοι τῇ τῶν Ἐλύμων, καὶ ὅτι ἐντεῦθεν ἐλάχιστον πλοῦν Καρχηδὼν Σικελίας ἀπέχει. Βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ᾤκησαν.

γʹ. Ἑλλήνων δὲ πρῶτοι Χαλκιδῆς ἐξ Εὐβοίας πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ Νάξον ᾤκισαν, καὶ Ἀπόλλωνος ἀρχηγέτου βωμὸν ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν ἱδρύσαντο, ἐφ' ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι, πρῶτον θύωσι.

aujourd'hui des Sicèles en Italie; et la contrée fut appelée Italie d'un roi des Sicèles, qui avait ce nom.

Les Sicèles, venus avec une armée nombreuse en Sicile, défirent dans un combat les Sicaniens, les poussèrent vers les parties méridionales et occidentales de l'île et firent, au lieu de Sicanie, appeler l'île Sicélic; ils y habitèrent en occupant les meilleures contrées près de trois cents ans après leur passage dans l'île avant que des Hellènes vinssent en Sicile. * Ils possèdent encore aujourd'hui le centre et les parties septentrionales de l'île.

* Sur les migrations des Sicaniens, voy. Denys d'Halicarn., *Ant.*, p. 17 et 18.

Des Phœniciens habitaient aussi autour de toute la Sicile, en occupant des promontoires sur la mer et les îlots adjacents, pour faire le commerce avec les Sicèles. Mais, quand les Hellènes commencèrent à y aborder en grand nombre, les Phœniciens abandonnèrent la plupart des parties de l'île qu'ils occupaient et se réunissant fondèrent ensemble Motye *, Soloïs et Panormos, auprès des Élymes; ils y habitaient se confiant dans l'alliance de ce peuple; c'était d'ailleurs l'endroit où le trajet qui sépare Carthage de la Sicile est le plus court. Voilà en quel nombre et comment des Barbares habitèrent la Sicile.

* Entre Lilybée et Éryx.

3. Les Chalcidéens furent les premiers des Hellènes qui y étant venus par mer de l'Eubée, avec Thouclès pour chef, fondèrent Naxos, * et y érigèrent un autel d'Apollôn Archégètes *, qui est à présent hors de la ville; c'est sur cet autel que les Théôres *, quand ils mettent à la voile de la Sicile, offrent leurs premiers sacrifices.

* D'après les marbres de Paros, Naxos fut fondée en 758 avant J.-C., et d'après Eusèbe en 783.
* Ce nom d'Archégètes lui fut donné parce que c'est de Naxos que les Grecs descendirent d'abord en Sicile.
* Théôres, députés

Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισε, Σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου ἐν ᾗ νῦν οὐκέτι περικλυζομένη ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω προστειχισθεῖσα πολυάνθρωπος ἐγένετο.

Θουκλῆς δὲ καὶ οἱ Χαλκιδῆς ἐκ Νάξου ὁρμηθέντες ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας Λεοντίνους τε, πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσι, καὶ μετ' αὐτοὺς Κατάνην· οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποιήσαντο Εὔαρχον.

δ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις ἐκ Μεγάρων ἀποικίαν ἄγων ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακύου τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον χρόνον ξυμπολιτεύσας καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν καὶ Θάψον οἰκίσας, αὐτὸς μὲν ἀποθνήσκει, οἱ δ' ἄλλοι, ἐκ τῆς Θάψου ἀναστάντες, Ὕβλωνος βασιλέως Σικελοῦ προδόντος τὴν χώραν καὶ καθηγησαμένου, Μεγαρέας ᾤκισαν τοὺς Ὑβλαίους κληθέντας. Καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια, ὑπὸ Γέλωνος τυράννου Συρακουσίων ἀνέστησαν ἐκ τῆς πόλεως καὶ χώρας. Πρὶν δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον ἑκατὸν ἢ αὐτοὺς οἰκῆσαι, Πάμιλλον πέμψαντες ἐς Σελινοῦντα κτίζουσι, καὶ ἐκ Μεγάρων τῆς μητροπόλεως οὔσης αὐτοῖς ἐπελθὼν ξυγκατῴκισε.

Γέλαν δὲ Ἀντίφημος ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης

L'année suivante, Archias, un des Héraclides, étant venu de Corinthe, fonda Syracuse, après avoir expulsé d'abord les Sicèles de l'île [d'Orthygie] dans laquelle maintenant la ville intérieure n'est plus entourée d'eau; et plus tard l'autre ville aussi au dehors lui ayant été adjointe par des constructions devint très-peuplée. *

sacrés envoyés pour consulter l'oracle de Delphes.

* Ces deux villes réunies formèrent Syracuse.

Thouclès et les Chalcidéens, partis de Naxos la cinquième année après la fondation de Syracuse, chassèrent les Sicèles par la guerre, et fondèrent Léontini, puis après elle Catane. Les Catanæens eux-mêmes firent Évarchos leur fondateur.

4. Dans ce même temps, Lamis aussi, amenant de Mégare une colonie, arriva en Sicile, et fonda au-dessus du fleuve Pantacyas une place que l'on nomme Trôtilos; puis de là étant allé à Léontini, il vécut quelque temps avec les Chalcidéens comme citoyen, mais ayant été chassé par eux il fonda Thapsos et mourut. Quant aux autres, expulsés de Thapsos et conduits par Hyblôn, roi Sicèle, qui leur livra le pays, ils fondèrent Mégare, appelée Hyblæe. Après l'avoir habitée pendant deux cent quarante-cinq ans, ils furent chassés de la ville et de la contrée par Gélôn, roi de Syracuse. Mais avant leur expulsion, cent ans après leur fondation, ils envoyèrent Pamillos fonder Sélinonte. Celui-ci, étant venu de Mégare, leur métropole, coopéra à cette fondation.

Antiphémos et Entimos fondèrent en commun Géla en y amenant des colons, l'un de Rhodes, l'autre de

ἐποίκους ἀγαγόντες κοινῇ ἔκτισαν ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ Συρακουσῶν οἴκισιν. Καὶ τῇ μὲν πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα ἐγένετο, τὸ δὲ χωρίον οὗ νῦν ἡ πόλις ἐστὶ καὶ ὃ πρῶτον ἐτειχίσθη Λίνδιοι καλεῖται· νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐτοῖς. Ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν οἴκισιν Γελῷοι Ἀκράγαντα ᾤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ Ἀκράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιήσαντες Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα δὲ τὰ Γελῴων δόντες.

Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος. Ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὴν ἰδέαν τὸ χωρίον ἐστὶ, τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν· ὕστερον δὲ αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν, οἳ Μήδους φεύγοντες προσέβαλον Σικελίᾳ,

ε΄. Τοὺς δὲ Σαμίους Ἀναξίλας, Ῥηγίνων τύραννος, οὐ πολλῷ ὕστερον ἐκβαλὼν καὶ τὴν πόλιν [αὐτοῖς] ξυμμίκτων ἀνθρώπων οἰκίσας, Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον πατρίδος ἀντωνόμασε. Καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου καὶ Σάκωνος, καὶ Χαλκιδῆς μὲν οἱ

Crète, quarante-cinq ans après la fondation de Syracuse. Le nom de la ville lui est venu du fleuve Gélas; l'endroit où elle est aujourd'hui et qui fut le premier entouré d'un mur se nomme Lindii, et ses habitants eurent des institutions Dôriennes.

Près de cent huit ans après leur fondation, ceux de Géla fondèrent la ville d'Agrigente, à laquelle ils donnèrent le nom du fleuve Acragas; ils chargèrent de sa fondation Aristonous et Pystilos, et lui donnèrent les institutions de Géla.

Zanclé fut originairement fondée par des brigands qui vinrent de Cymé, ville chalcidique dans l'Opicie. Mais plus tard, une multitude d'hommes arrivés de Chalcis et du reste de l'Eubée se partagèrent le pays, qui fut colonisé par Périérès et Cratæmènes, l'un de Cymé et l'autre de Chalcis. Le nom de Zanclé fut d'abord donné à la ville par les Sicèles, parce que cet emplacement a la forme d'une faux, et que les Sicèles nomment la faux *zanclon*. Plus tard eux-mêmes furent expulsés par des Samiens et d'autres Iôniens, qui, fuyant les Mèdes, abordèrent en Sicile.

5. Peu après, Anaxilas, tyran de Rhégion, chassa les Samiens, fonda leur ville en réunissant aux habitants des gens rassemblés de divers lieux et en changea le nom en celui de Messine * son ancienne patrie. Himère fut fondée avec des habitants de Zanclé par Euclides, Simos et Sacôn. Ceux qui vinrent dans cette

* Désormais nous lui conserverons le nom de Messine pour éviter toute confusion avec Messène dans le Péloponèse.

πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν, ξυνῴκησαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι· καὶ φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη, νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν.

Ἄκραι δὲ καὶ Κασμέναι ὑπὸ Συρακουσίων ᾠκίσθησαν, Ἄκραι μὲν ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κασμέναι δ' ἐγγὺς εἴκοσι μετὰ Ἄκρας.

Καὶ Καμάρινα τὸ πρῶτον ὑπὸ Συρακουσίων ᾠκίσθη ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν· οἰκισταὶ δὲ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος. Ἀναστάτων δὲ Καμαριναίων γενομένων πολέμῳ ὑπὸ Συρακουσίων δι' ἀπόστασιν, χρόνῳ Ἱπποκράτης ὕστερον Γέλας τύραννος, λύτρα ἀνδρῶν Συρακουσίων αἰχμαλώτων λαβὼν τὴν γῆν τὴν Καμαριναίων, αὐτὸς οἰκιστὴς γενόμενος, κατῴκισε Καμάριναν. Καὶ αὖθις ὑπὸ Γέλωνος ἀνάστατος γενομένη, τὸ τρίτον κατῳκίσθη ὑπὸ [Γέλωνος].

ϛʹ. Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει, καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο, ἐφιέμενοι μὲν τῇ ἀληθεστάτῃ προφάσει τῆς πάσης ἄρξειν, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν ξυγγενέσι καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις. Μάλιστα δ' αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων τε πρέσβεις παρόντες καὶ προθυμότερον ἐπικαλούμενοι.

Ὅμοροι γὰρ ὄντες τοῖς Σελινουντίοις ἐς πόλεμον καθέστα-

colonie étaient pour la plupart des Chalcidéens; cependant des exilés de Syracuse, nommés les Mylétides, vaincus dans une sédition, habitèrent avec eux. La langue y fut mélangée de chalcidéen et de dôrique; mais les lois dominantes furent celles des Chalcidéens.

Acræ et Casménæ furent fondées par les Syracusains, Acræ soixante-dix ans après Syracuse, et Casménæ près de vingt ans après Acræ.

Camarine fut aussi primitivement fondée par les Syracusains, à peu près cent trente-cinq ans après la fondation de Syracuse; ses fondateurs furent Dascôn et Ménécôlos. Mais les Camarinæens s'étant revoltés furent expulsés par les Syracusains à la suite d'une guerre que ceux-ci leur firent, et Hippocrates, tyran de Géla, obtint dans la suite, pour rançon des prisonniers qu'il avait faits sur les Syracusains, le territoire des Camarinæens, et il y établit Camarine, dont il devint ainsi lui-même fondateur. Les habitants ayant été transportés de rechef par Gélôn, cette ville fut pour la troisième fois fondée par Gélôn *.

* Diodôre de Sicile, XI, 76, dit que dans la 79e olympiade Camarine fut occupée par les Gélôens (les habitants de Géla).

6. Tel était le nombre des nations helléniques et barbares qui habitaient la Sicile, et c'est contre une île si considérable que les Athéniens s'empressaient de faire une expédition. La cause la plus vraie était leur désir de dominer l'île entière, et sous un prétexte spécieux ils voulaient en même temps secourir les populations qui leur étaient de commune origine et les alliés qu'ils y avaient acquis. Ils y furent surtout excités par les députés d'Égeste qui étaient présents, et qui imploraient vivement leur assistance.

Limitrophes de Sélinonte, les Égestains étaient en

σαν περί τε γαμικῶν τινων καὶ περὶ γῆς ἀμφισϐητήτου, καὶ οἱ Σελινούντιοι Συρακουσίους ἐπαγόμενοι ξυμμάχους κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥστε τὴν γενομένην ἐπὶ Λάχητος καὶ τοῦ προτέρου πολέμου Λεοντίνων οἱ Ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες τοὺς Ἀθηναίους ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι, λέγοντες ἄλλα τε πολλὰ καὶ κεφάλαιον, εἰ Συρακούσιοι Λεοντίνους τε ἀναστήσαντες ἀτιμώρητοι γενήσονται καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνον εἶναι μή ποτε μεγάλῃ παρασκευῇ Δωριῆς τε Δωριεῦσι κατὰ τὸ ξυγγενὲς καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσι· σῶφρον δ' εἶναι μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς Συρακουσίοις, ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. Ὧν ἀκούοντες οἱ Ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις τῶν τε Ἐγεσταίων πολλάκις λεγόντων καὶ τῶν ξυναγορευόντων αὐτοῖς ἐψηφίσαντο πρέσϐεις πέμψαντες πρῶτον ἐς τὴν Ἔγεσταν περί τε τῶν χρημάτων σκεψομένους εἰ ὑπάρχει ὥσπερ φασὶν ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς, καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς Σελινουντίους ἐν ὅτῳ ἐστὶν εἰσομένους.

ζʹ. Καὶ οἱ μὲν πρέσϐεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν Σικελίαν· Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ οἱ ξύμμαχοι πλὴν Κορινθίων, στρατεύσαντες ἐς τὴν Ἀργείαν,

guerre avec cette ville au sujet de quelques affaires de mariage et pour un territoire contesté, et les Sélinontiens, appelant à leur aide les Syracusains comme alliés, les pressaient vivement par la guerre sur terre et sur mer. Les Égestains rappelaient aux Athéniens le souvenir de l'alliance qu'ils avaient faite avec eux du temps de Lachès et de la précédente guerre de Léontini, et demandaient qu'on leur envoyât des vaisseaux pour les secourir. Entre autres choses ils alléguaient surtout que, si les Syracusains, après avoir expulsé les Léontins de leur ville, restaient impunis, et si, en détruisant ce qui restait encore d'alliés d'Athènes, ils s'emparaient eux-mêmes de toute la puissance de la Sicile, il était à craindre qu'un jour, comme étant Dôriens, ils ne vinssent avec de grands préparatifs porter secours aux Dôriens, à raison de leur commune origine, et aux Péloponnésiens qui les y avaient envoyés comme colons, et que ils ne détruisissent aussi ensemble la puissance d'Athènes; qu'il était donc sage de s'opposer aux Syracusains avec ce qui restait encore d'alliés; surtout quand c'était eux qui fourniraient aux Athéniens l'argent suffisant pour la guerre.

En entendant ces choses, répétées fréquemment dans les assemblées par les Égestains et par ceux qui parlaient en leur faveur, les Athéniens décrétèrent d'envoyer d'abord des députés à Égeste, pour vérifier s'il y avait autant d'argent comme on le disait dans le trésor public et dans les temples, et en même temps pour savoir où en était leur guerre avec les Sélinontiens.

7. Les députés d'Athènes furent donc envoyés en Sicile. Ce même hiver les Lacédémoniens et leurs alliés, les Corinthiens exceptés, firent une expédition dans le

τῆς τε γῆς ἔτεμον οὐ πολλὴν καὶ σῖτον ἀνεκομίσαντό τινα ζεύγη κομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες τοὺς Ἀργείων φυγάδας, καὶ τῆς ἄλλης στρατιᾶς παρακαταλιπόντες αὐτοῖς ὀλίγους, καὶ σπεισάμενοί τινα χρόνον ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας καὶ Ἀργείους τὴν ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. Ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα καὶ ἑξακοσίοις ὁπλίταις, οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντων τοὺς μὲν ἐν Ὀρνεαῖς μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα, αὐλισαμένου τοῦ στρατεύματος ἄποθεν, ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. Καὶ τῇ ὑστεραίᾳ οἱ Ἀργεῖοι, ὡς ᾔσθοντο, κατασκάψαντες τὰς Ὀρνεὰς, ἀνεχώρησαν, καὶ οἱ Ἀθηναῖοι ὕστερον ταῖς ναυσὶν ἐπ' οἴκου. Καὶ ἐς Μεθώνην τὴν ὅμορον Μακεδονίᾳ ἱππέας κατὰ θάλασσαν κομίσαντες Ἀθηναῖοι σφῶν τε αὐτῶν καὶ Μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας ἐκακούργουν τὴν Περδίκκου. Λακεδαιμόνιοι δὲ, πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, ἄγοντας πρὸς Ἀθηναίους δεχημέρους σπονδὰς, ξυμπολεμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ' οὐκ ἤθελον. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕκτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

η'. Τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα ἦρι οἱ τῶν Ἀθηναίων πρέσβεις ἧκον ἐκ τῆς Σικελίας, καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθὸν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν.

pays d'Argos, en ravagèrent une petite partie et en emportèrent du blé sur des voitures qu'ils avaient amenées. Ils établirent à Ornéæ les exilés d'Argos, leur laissèrent peu de troupes de l'armée, et, après avoir fait un traité suivant lequel, pendant un certain temps, les Ornéates et les Argéens ne ravageraient pas leurs territoires respectifs, ils se retirèrent chez eux avec l'armée.

Peu après, il vint d'Athènes trente vaisseaux et six cents hoplites; alors les Argéens, qui avec les Athéniens sortirent avec toute leur armée, assiégèrent pendant un jour ceux qui étaient dans Ornéæ; mais vers la nuit, tandis que l'armée bivaquait au loin, ceux qui étaient à Ornéæ s'enfuirent. Le lendemain les Argéens, dès qu'ils s'en aperçurent, rasèrent Ornéæ et se retirèrent; puis les Athéniens revinrent chez eux sur leurs vaisseaux.

Les Athéniens transportèrent aussi par mer à Méthône*, qui est sur les confins de la Macédoine, des cavaliers à eux et les Macédoniens exilés qui étaient chez eux, et ils ravagèrent le territoire de Perdiccas. De leur côté les Lacédémoniens envoyèrent des messagers aux Chalcidéens de l'Épithrace, qui avaient une paix de dix jours* avec les Athéniens, et les engagèrent à faire avec eux la guerre à Perdiccas; mais ils s'y refusèrent. Ainsi finit l'hiver et la seizième année de cette guerre, que Thucydides a écrite.

* Près du golfe Thermaïque à peu de distance de Pydna. Avant d'être soumise à la Macédoine elle était alliée d'Athènes, et Nicias, l'été de la IXe année de la guerre, à la tête de 150 Méthoniens et de quelques hoplites athéniens, était venu attaquer Meude, ville de la Thrace. L. IV, 129.

* Dont on devait dénoncer la rupture dix jours à l'avance.

Dix-septième année.

415 ans av. J.-C.

Saison d'été.

8. L'été suivant, dès le printemps, les députés d'Athènes vinrent de Sicile, et les Égestains avec eux; ils apportaient soixante talents d'argent non monnayé, comme la solde, pour un mois, de soixante vaisseaux,

Καὶ οἱ Ἀθηναῖοι, ἐκκλησίαν ποιήσαντες καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ καὶ περὶ τῶν χρημάτων ὡς εἴη ἕτοιμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τοῖς κοινοῖς, ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην τε τὸν Κλεινίου, καὶ Νικίαν τὸν Νικηράτου, καὶ Λάμαχον τὸν Ξενοφάνους, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου, καὶ τἄλλα τὰ ἐν τῇ Σικελίᾳ πρᾶξαι ὅπη ἂν γιγνώσκωσιν ἄριστα Ἀθηναίοις. Μετὰ δὲ τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο, καθότι χρὴ τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα γίγνεσθαι, καὶ τοῖς στρατηγοῖς, εἴ του προσδέοιντο ψηφισθῆναι ἐς τὸν ἔκπλουν.

Καὶ ὁ Νικίας ἀκούσιος μὲν ᾑρημένος ἄρχειν, νομίζων δὲ τὴν πόλιν οὐκ ὀρθῶς βεβουλεῦσθαι, ἀλλὰ προφάσει βραχείᾳ καὶ εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης, μεγάλου ἔργου, ἐφίεσθαι, παρελθὼν ἀποτρέψαι ἐβούλετο, καὶ παρῄνει τοῖς Ἀθηναίοις τοιάδε.

θ'. « Ἡ ΜΕΝ ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας ἥδε ξυνελέγη, καθότι χρὴ ἐς Σικελίαν ἐκπλεῖν· ἐμοὶ μέντοι δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέψασθαι, εἰ ἄμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ οὕτω βραχείᾳ βουλῇ

qu'ils devaient prier les Athéniens d'y envoyer. Ceux-ci, ayant convoqué une assemblée, écoutèrent les Égestains et leurs propres députés, qui leur disaient aussi entre autres choses attrayantes et mensongères qu'il y avait de l'argent en grande quantité prêt et dans les temples et dans les caisses publiques. Les Athéniens décrétèrent d'envoyer en Sicile soixante vaisseaux sous le commandement d'Alcibiades, fils de Clinias, de Nicias, fils de Nicératos, et de Lamachos, fils de Xénophanes, généraux, avec pleins pouvoirs, chargés de porter du secours aux Égestains contre ceux de Sélinonte, de rétablir les Léontins, si les occupations de la guerre leur en laissaient le temps, et de faire en Sicile tout ce qu'ils sauraient de mieux pour Athènes. Cinq jours après, on convoqua une autre assemblée, afin de pourvoir en toute hâte aux préparatifs des vaisseaux, et de décréter pour les généraux tout ce dont ils auraient encore besoin.

Nicias, élu au commandement malgré lui, pensant que la république avait pris une mauvaise résolution, et que sous un prétexte frivole et spécieux elle ambitionnait la possession de la Sicile entière, grande entreprise, s'avança dans l'assemblée, et, pour en détourner les Athéniens, leur fit les exhortations suivantes* :

9. « Cette assemblée a été convoquée pour délibérer sur les préparatifs qu'il nous faut faire pour nous rendre en Sicile. Mais il me semble que nous devrions sur cela même réfléchir encore s'il est bon d'y envoyer la flotte, et ne pas nous charger d'une guerre qui ne nous concerne pas, après une si courte délibération sur d'aussi

* Diodòre de Sicile, XII, 83, donne un abrégé de ce discours, et Plutarque, *Vie de Nicias*, ch. 12, dit qu'Alcibiades fut accusé dans l'assemblée par Nicias de mettre Athènes en péril en l'engageant dans une guerre *d'outre-mer* διαπόντιον κίνδυνον, et cela dans des vues aussi cupides qu'ambitieuses.

περὶ μεγάλων πραγμάτων ἀνδράσιν ἀλλοφύλοις πειθομένους πόλεμον οὐ προσήκοντα ἄρασθαι.

« Καίτοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου, καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀῤῥωδῶ, νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι. Ὅμως δὲ οὔτε ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ γνώμην οὔτε νῦν, ἀλλὰ ᾗ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ. Καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους ἀσθενὴς ἄν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σώζειν παραινοίην καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν· ὡς δὲ οὔτε ἐν καιρῷ σπεύδετε οὔτε ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' ἃ ὥρμησθε, ταῦτα διδάξω.

ι'. « Φημὶ γὰρ ὑμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολιπόντας καὶ ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεῦρο ἐπαγαγέσθαι. Καὶ οἴεσθε ἴσως τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τι βέβαιον, αἳ, ἡσυχαζόντων μὲν ὑμῶν, ὀνόματι σπονδαὶ ἔσονται (οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰς καὶ ἐκ τῶν ἐναντίων), σφαλέντων δέ που ἀξιόχρεῳ δυνάμει, ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσονται, οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις καὶ ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν κατ' ἀνάγκην ἐγένετο, ἔπειτα ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν. Εἰσὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν

grandes choses en écoutant des hommes qui nous sont étrangers.

« Pour moi je suis honoré de cette expédition, et, quant à ma vie, je crains moins pour elle que d'autres, regardant comme un aussi bon citoyen * celui qui a quelque souci et de sa vie et de son bien; car c'est celui-là surtout qui, dans son intérêt même, voudra que la république prospère aussi. Jamais ni dans le passé ni dans le présent pour être préféré je n'ai parlé contre mon opinion; de même aujourd'hui je dirai ce que je crois le meilleur. Pour un peuple d'un caractère tel que le vôtre, mon discours serait faible, si je vous exhortais à conserver ce que vous possédez, et à ne pas l'exposer pour des biens invisibles et futurs; mais je vous démontrerai que votre empressement est intempestif, et que ce que vous désirez si fort est difficile à conquérir.

* Allusion à Alcibiades.

10. « Je dis en effet que se rendre en Sicile, en laissant après soi tant d'ennemis en ces lieux, c'est vouloir s'en attirer ici de nouveaux. Vous croyez peut-être que la paix conclue par vous a quelque solidité. Cette paix, tant que vous resterez tranquilles, subsistera de nom seulement (c'est ainsi que quelques-uns d'ici et aussi de nos ennemis l'ont combinée) *; mais si, avec des forces imposantes, il vous survenait quelque part un revers, aussitôt les ennemis se hâteront de nous attaquer : d'abord parce qu'ils ont fait la paix par nécessité, dans des circonstances malheureuses et pires pour leur honneur que pour nous; ensuite parce que ce traité même contient plusieurs points contestés. Il est même des peuples qui n'ont pas encore accepté cette conven-

* Le scoliaste dit que Nicias fait allusion à Alcibiades, à Cléobule et à Xénarès (L. V, 31), qui opposés à la paix avaient cherché par leurs menées à rendre nul le traité.

ἐδέξαντο, καὶ οὐχ οἱ ἀσθενέστατοι· ἀλλ' οἱ μὲν ἄντικρυς πολεμοῦσιν, οἱ δὲ καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχάζειν δεχημέροις σπονδαῖς καὶ αὐτοὶ κατέχονται. Τάχα δ' ἂν ἴσως, εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, ὅπερ νῦν σπεύδομεν, καὶ πάνυ ἂν ξυνεπιθεῖντο μετὰ Σικελιωτῶν, οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους γενέσθαι ἐν τῷ πρὶν χρόνῳ. Ὥστε χρὴ σκοπεῖν τινὰ αὐτὰ, καὶ μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν, καὶ ἀρχῆς ἄλλης ὀρέγεσθαι, πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα, εἰ Χαλκιδῆς γε οἱ ἐπὶ Θρᾴκης, ἔτη τοσαῦτα ἀφεστῶτες ἀφ' ἡμῶν, ἔτι ἀχείρωτοί εἰσι, καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται. Ἡμεῖς δὲ Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις ὡς ἀδικουμένοις ὀξέως βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτῶν πάλαι ἀφεστώτων ἀδικούμεθα ἔτι μέλλομεν ἀμύνεσθαι.

ια'. « Καίτοι τοὺς μὲν κατεργασάμενοι κἂν κατάσχοιμεν· τῶν δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων χαλεπῶς ἂν ἄρχειν δυναίμεθα. Ἀνόητον δ' ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις, καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὥς γε νῦν ἔχουσι, καὶ ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρξειαν αὐτῶν Συρακούσιοι· ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφοβοῦσι. Νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων ἕκαστοι χάριτι, ἐκείνως δ'

tion et ce ne sont pas les plus faibles. Les uns nous font la guerre ouvertement*; les autres, parce que les Lacédémoniens restent encore tranquilles étant retenus par une trêve de dix jours. Mais bientôt peut-être, s'ils trouvent nos forces divisées (ce que nous nous hâtons maintenant de faire), ils nous attaqueront tous réunis aux Sicéliôtes, dont ils auraient mis auparavant l'alliance à si haut prix.

* Les Corinthiens.

« Il faut donc réfléchir à tout cela, et, quand la république flotte incertaine, ne pas rechercher le péril, ni désirer un autre empire, avant d'avoir consolidé celui que nous avons. Les Chalcidéens de Thrace, détachés de nous par une révolte depuis tant d'années, restent encore insoumis; d'autres peuples continentaux montrent une obéissance douteuse. Et cependant nous volons au secours des Égestains nos alliés, comme étant outragés, et nous retardons encore à nous venger des outrages de ceux qui eux-mêmes depuis longtemps se sont révoltés!

11. « Et pourtant ceux-là nous pourrions les contenir après les avoir soumis; tandis que ceux-ci, même après les avoir vaincus, il serait difficile, vu leur distance et leur grand nombre, de les dominer. D'ailleurs, il est insensé d'attaquer ceux qu'on ne retiendra pas après les avoir vaincus, et, quand, si on échoue, la position où on était avant d'attaquer ne sera plus la même. Or, les Sicéliôtes, peu redoutables pour nous, ce me semble, dans l'état où ils sont maintenant, le deviendront moins encore si les Syracusains les dominent; et c'est pourtant de cela surtout que les Égestains nous effrayent. Car à présent chacun de ces peuples, pour complaire aux Lacédémoniens, pourrait même venir

οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι· ᾧ γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν μετὰ Πελοποννησίων ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν αὐτῶν καὶ τὴν σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι.

« Ἡμᾶς δ' ἂν οἱ ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν, εἰ μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ, δείξαντες τὴν δύναμιν, δι' ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τάχιστ' ἂν ὑπεριδόντες, μετὰ τῶν ἐνθάδε ἐπιθεῖντο. Τὰ γὰρ διὰ πλείστου πάντες ἴσμεν θαυμαζόμενα, καὶ τὰ πεῖραν ἥκιστα τῆς δόξης δόντα. Ὅπερ νῦν ὑμεῖς, ὦ Ἀθηναῖοι, ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πεπόνθατε· διὰ τὸ παρὰ γνώμην αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον περιγεγενῆσθαι, καταφρονήσαντες ἤδη καὶ Σικελίας ἐφίεσθε. Χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας θαῤῥεῖν· μηδὲ Λακεδαιμονίους ἄλλο τι ἡγήσασθαι ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν ὅτῳ τρόπῳ ἔτι καὶ νῦν, ἢν δύνωνται, σφήλαντες ἡμᾶς, τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται, ὅσῳ καὶ περὶ πλείστου καὶ διὰ πλείστου δόξαν ἀρετῆς μελετῶσιν. Ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν, ἀνδρῶν βαρβάρων, ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλ' ὅπως πόλιν δι' ὀλιγαρχίας ἐπιβουλεύουσαν ὀξέως φυλαξόμεθα.

ιβ'. « Καὶ μεμνῆσθαι χρὴ ἡμᾶς ὅτι νεωστὶ ἀπὸ νόσου μεγάλης καὶ πολέμου βραχύ τι λελωφήκαμεν, ὥστε καὶ χρήμασι καὶ τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων

contre nous, mais autrement, il n'est pas probable qu'un empire attaque un autre empire. Et de même que, si, réunis aux peuples du Péloponnèse, ils parvenaient à nous enlever notre empire, il se pourrait que le leur aussi fût renversé par les mêmes Péloponnésiens et de la même manière.

« Les Hellènes de la Sicile seront aussi effrayés par nous, même n'y allant pas, ou bien encore si, après leur avoir montré nos forces, nous revenions promptement; mais un revers nous rendrait bientôt l'objet de leur mépris, et ils nous attaqueraient en s'unissant aux ennemis que nous avons ici. Car on admire, nous le savons tous, ce qui est très-éloigné et qui n'a que très-peu donné de preuves de sa gloire. C'est ce que vous éprouvez maintenant, ô Athéniens, à l'égard des Lacédémoniens et de leurs alliés : après les avoir surpassés, contre votre attente, en tout ce que vous redoutiez d'abord, vous les avez déjà méprisés et vous convoitez encore la Sicile. Cependant il ne faut pas s'enorgueillir des hasards qui frappent les ennemis, mais avoir confiance après avoir maté leurs esprits. Songeons que les Lacédémoniens, humiliés, ne pensent encore aujourd'hui à rien d'autre qu'à trouver le moyen de nous renverser, s'ils le peuvent, et réparer leur propre déshonneur; d'autant que de tout temps et de toute manière ils ne songent qu'à la gloire de la vertu guerrière. Ainsi donc, si nous sommes sages, il n'est pas question des Égestains, ces barbares de Sicile, mais de nous garder vivement d'une Ville * qui, par l'oligarchie, veut notre perte.

* Lacédémone.

12. « Rappelons-nous que, faiblement rétablis depuis peu d'une terrible maladie et d'une guerre *, nous avons

* Voy. L. II, 47.

τῶνδε ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς χρήσιμον, καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτῶν λόγους μόνον παρασχομένους, ἢ κατορθώσαντας χάριν μὴ ἀξίαν εἰδέναι, ἢ πταίσαντάς που τοὺς φίλους ξυναπολέσαι. Εἴ τέ τις, ἄρχειν ἄσμενος αἱρεθεὶς, παραινεῖ ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ὢν ἔτι ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι, νομίσατε δὲ τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν, καὶ τὸ πρᾶγμα μέγα εἶναι καὶ μὴ οἷον νεωτέρῳ βουλεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι.

ιγ'. « Οὓς ἐγὼ ὁρῶν νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους φοβοῦμαι, καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι μὴ καταισχυνθῆναι, εἴ τῴ τις παρακάθηται τῶνδε, ὅπως μὴ δόξῃ, ἂν μὴ ψηφίζηται πολεμεῖν, μαλακὸς εἶναι, μηδ', ὅπερ ἂν αὐτοὶ πάθοιεν, δυσέρωτας εἶναι τῶν ἀπόντων, γνόντας ὅτι ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα, ἀλλ' ὑπὲρ τῆς πατρίδος ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναῤῥιπτούσης ἀντιχειροτονεῖν, καὶ ψηφίζεσθαι τοὺς μὲν Σικελιώτας, οἷσπερ νῦν ὅροις χρωμένους πρὸς ὑμᾶς, οὐ μεμπτοῖς, τῷ τε Ἰονίῳ κόλπῳ παρὰ γῆν ἤν τις πλέῃ, καὶ τῷ Σικελικῷ διὰ πελάγους, τὰ αὐτῶν νεμομένους καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι· τοῖς δ' Ἐγε-

repris nos forces et en hommes et en argent; qu'il est juste de ne les consumer ici que pour nous, et non pour ces hommes bannis implorant du secours, et pour qui bien mentir est utile. Laissant aux autres les dangers en ne fournissant que des paroles, jamais leur reconnaissance ne sera au niveau de la réussite, et en cas de revers ils ruineront avec eux leurs amis.

« Si quelqu'un, dans la joie du commandement qui lui a été décerné, surtout bien jeune encore pour commander, vous conseille de mettre à la voile, ne voyant que son intérêt, afin d'être admiré par le luxe de ses chevaux, et de tirer quelque profit de son pouvoir pour son faste, ne lui permettez pas d'étaler sa propre magnificence au péril de la Ville. Songez que de tels hommes nuisent à la chose publique et dissipent leur propre fortune; que cette entreprise est grande, et telle qu'il ne convient pas à un jeune homme d'en délibérer et d'en précipiter l'exécution.

13. « Je crains ces hommes invités par ce même personnage que je vois maintenant assis ici *; et j'invite à mon tour les plus âgés, s'il en est quelqu'un siégeant près de l'un d'eux, à ne pas se croire déshonoré ni paraître timide s'il ne vote pas la guerre, et ne se passionne pas non plus follement, comme cette jeunesse, pour des objets absents; ils savent que bien rarement on réussit par la convoitise, mais presque toujours par la prévoyance. Levez la main en signe d'opposition pour le bien de la patrie, qui n'a jamais couru un si grand danger; décidez par vos suffrages que les Siceliotes conservent les frontières qu'ils ont aujourd'hui de votre côté * et dont ils doivent se contenter, le golfe Ionique le long des côtes, et celui de Sicile en

* Alcibiades.

* La mer Adriatique.

σταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων καὶ ξυνῆψαν πρὸς Σελινουντίους τὸ πρῶτον πόλεμον, μετὰ σφῶν αὐτῶν καὶ καταλύεσθαι· καὶ τὸ λοιπὸν ξυμμάχους μὴ ποιεῖσθαι, ὥσπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν ἀμυνοῦμεν, ὠφελείας δ' αὐτοὶ δεηθέντες, οὐ τευξόμεθα.

ιδ'. « Καὶ σὺ, ὦ πρύτανι, ταῦτα, εἴπερ ἡγεῖ σοι προσήκειν κήδεσθαί τε τῆς πόλεως καὶ βούλει γενέσθαι πολίτης ἀγαθὸς, ἐπιψήφιζε, καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις, νομίσας, εἰ ὀῤῥωδεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν λύειν τοὺς νόμους μὴ μετὰ τοσῶνδ' ἂν μαρτύρων αἰτίαν σχεῖν, τῆς δὲ πόλεως κακῶς βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι, καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖστα ἢ ἑκὼν εἶναι μηδὲν βλάψῃ. »

ιε'. Ὁ μὲν Νικίας τοιαῦτα εἶπε, τῶν δὲ Ἀθηναίων παριόντες οἱ μὲν πλεῖστοι στρατεύειν παρῄνουν καὶ τὰ ἐψηφισμένα μὴ λύειν, οἱ δέ τινες καὶ ἀντέλεγον.

Ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τὰ ἄλλα διάφορος τὰ πολιτικὰ, καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν, καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι, καὶ τὰ ἴδια ἅμα εὐτυχήσας χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. Ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς τε τὰς ἱπποτροφίας καὶ

haute mer; qu'ils jouissent de ce qu'ils possèdent et s'accommodent entre eux. Quant aux Égestains en particulier, dites-leur que, puisque d'abord ils ont fait la guerre sans les Athéniens à ceux de Sélinonte, qu'ils la terminent aussi par eux-mêmes. Dorénavant n'acceptons plus, selon notre habitude, comme alliés ceux qu'il nous faudra secourir lorsqu'ils seront malheureux, et dont nous n'obtiendrons nul profit, si nous en avons besoin.

14. « Et toi, ô Prytane, si tu crois que le soin de la république t'appartienne, si tu veux être bon citoyen, mets cette proposition aux voix, et invite de nouveau les Athéniens à donner leur avis. Sois persuadé que, si tu redoutes, en revenant aux votes, d'enfreindre les lois, on ne t'en accusera pas, l'ayant fait avec tant de témoins; sois le médecin de la ville, qui a mal délibéré, et pense que bien gouverner n'est autre chose que de faire le plus grand bien à la patrie ou ne lui causer aucun dommage volontairement. »

15. Ainsi parla Nicias. La plupart des Athéniens, s'avançant dans l'assemblée, conseillaient de faire l'expédition, et de ne pas annuler ce qu'on avait voté; quelques-uns étaient d'avis contraire.

Alcibiades, le fils de Clinias, poussait à l'expédition avec la plus grande ardeur; opposé à Nicias sur les autres points de la politique et cité par lui d'une manière offensante, il voulait le contredire, et surtout désirait le commandement de l'armée; il espérait par là s'emparer de la Sicile et de Carthage, et à la fois, en obtenant des succès, s'agrandir par l'argent et la gloire. Jouissant d'une grande autorité parmi les citoyens, ses désirs

τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα. Φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν, καὶ τῆς διανοίας ὧν καθ' ἓν ἕκαστον, ἐν ὅτῳ γίγνοιτο, ἔπρασσεν, ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν, καὶ δημοσίᾳ κράτιστα διαθέντι τὰ τοῦ πολέμου, ἰδίᾳ ἕκαστοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες, καὶ ἄλλοις ἐπιτρέψαντες, οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν. Τότε δ' οὖν παρελθὼν τοῖς Ἀθηναίοις παρῄνει τοιάδε.

ις΄. « ΚΑῚ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι, ἄρχειν (ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο), καὶ ἄξιος ἅμα νομίζω εἶναι. Ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφέλειαν. Οἱ γὰρ Ἕλληνες καὶ ὑπὲρ δύναμιν μείζω ἡμῶν τὴν πόλιν ἐνόμισαν τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπίαζε θεωρίας, πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι, διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω ἰδιώτης πρότερον, ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην, καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. Νόμῳ μὲν γὰρ τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις ἅμα ὑπονοεῖται. Καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις ἢ ἄλλῳ τῳ λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει, πρὸς δὲ τοὺς ξένους καὶ αὕτη ἰσχὺς φαίνεται. Καὶ οὐκ ἄχρηστος ἡ διάνοια, ὃς ἂν τοῖς ἰδίοις τέλεσι μὴ

étaient plus grands que sa fortune, tant pour l'entretien de ses chevaux que pour ses autres dépenses; ce qui par la suite amena surtout la chute d'Athènes. La plupart des citoyens, craignant dans sa conduite le grand déréglement de ses mœurs, ensuite la grandeur d'esprit qu'il montrait en tout ce qu'il faisait, devinrent ses ennemis comme aspirant à la tyrannie. Son administration publique concernant la guerre fut excellente; mais sa conduite privée étant devenue à charge à tout le monde, les affaires furent confiées à d'autres, et bientôt s'ensuivit la ruine de la république. Ce jour-là, il s'avança dans l'assemblée et il exhorta ainsi les Athéniens :

16. « Le commandement m'appartient plus qu'à d'autres, ô Athéniens (il me faut bien commencer par là, puisque Nicias vient de m'attaquer); oui, je crois même en être digne. Les actions qui me rendent fameux, glorieuses pour mes ancêtres et pour moi, sont en même temps utiles à la patrie. Car les Hellènes, qui croyaient auparavant notre ville abattue par la guerre, s'en sont fait une idée plus grande que sa puissance en voyant ma splendeur aux jeux Olympiques. J'ai lancé dans la carrière sept chars, ce qu'aucun particulier n'avait encore fait avant moi; vainqueur, j'ai remporté de plus un second, un quatrième prix; et tout ce que j'ai fait fut digne de ma victoire. C'est ainsi qu'on obtient un honneur légitime, et de telles actions font en même temps présumer la force. Si, d'ailleurs, quand je brille dans la ville par mes largesses* ou autrement, les citoyens en éprouvent une jalousie bien naturelle, les étrangers voient en cela même de la puissance. Elle n'est donc pas inutile la pensée d'être utile, à ses propres frais, non-seulement à soi-même mais

* Par mes chorégies.

ἑαυτὸν μόνον ἀλλὰ καὶ τὴν πόλιν ὠφελῇ. Οὐδέ γε ἄδικον ἐφ' ἑαυτῷ μέγα φρονοῦντα μὴ ἴσον εἶναι, ἐπεὶ καὶ ὁ κακῶς πράσσων πρὸς οὐδένα τῆς ξυμφορᾶς ἰσομοιρεῖ· ἀλλ' ὥσπερ δυστυχοῦντες οὐ προσαγορευόμεθα, ἐν τῷ ὁμοίῳ τις ἀνεχέσθω καὶ ὑπὸ τῶν εὐπραγούντων ὑπερφρονούμενος, ἢ τὰ ἴσα νέμων τὰ ὅμοια ἀνταξιούτω. Οἶδα δὲ τοὺς τοιούτους, καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον, ἐν μὲν τῷ κατ' αὐτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς ὁμοίοις μὲν μάλιστα, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις ξυνόντας, τῶν δὲ ἔπειτα ἀνθρώπων προσποίησίν τε ξυγγενείας τισὶ καὶ μὴ οὖσαν καταλιπόντας, καὶ ἧς ἂν ὦσι πατρίδος, ταύτῃ αὔχησιν ὡς οὐ περὶ ἀλλοτρίων οὐδ' ἁμαρτόντων, ἀλλ' ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων. Ὧν ἐγὼ ὀρεγόμενος, καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος, τὰ δημόσια σκοπεῖτε εἴ του χεῖρον μεταχειρίζω. Πελοποννήσου γὰρ τὰ δυνατώτατα ξυστήσας ἄνευ μεγάλου ὑμῖν κινδύνου καὶ δαπάνης Λακεδαιμονίους ἐς μίαν ἡμέραν κατέστησα ἐν Μαντινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι· ἐξ οὗ καὶ περιγενόμενοι τῇ μάχῃ οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσι.

ιζ'. « Καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε, καὶ ὀργῇ πίστιν παρασχομένη ἔπεισε. Καὶ νῦν μὴ πεφόβησθε αὐτήν, ἀλλ' ἕως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ

aussi à la république. Et il n'y a pas non plus d'injustice, quand on a haute opinion de soi-même, à n'être pas l'égal des autres. De même que l'infortuné ne voit son mauvais sort partagé par personne, et que dans le malheur on ne nous salue pas, on doit supporter aussi le mépris des hommes fortunés, ou bien qu'une égalité réciproque mette chacun au même niveau. Je sais cependant que de tels hommes, et tous ceux qui se sont distingués par quelque célébrité, sont à charge pendant leur vie, surtout à leurs semblables et ensuite dans leurs rapports avec d'autres; mais après eux laissant à d'autres la prétention d'être de leur origine, bien qu'il n'en soit rien, quelle que soit leur patrie, elle s'en vante et ils ne sont plus pour elle des étrangers ou des hommes d'une mauvaise conduite, mais ses propres enfants, et qui ont fait de belles choses. Moi, aussi ambitiexu d'une telle gloire, qui me rend fameux dans ma vie privée, considérez si je manie plus mal qu'un autre les affaires publiques. Réunissant les peuples les plus puissants du Péloponnèse sans grand danger pour vous et sans grandes dépenses, j'ai réduit les Lacédémoniens à risquer le tout en un seul jour à Mantinée; et bien qu'ils aient eu l'avantage dans le combat, certes ils n'ont plus aujourd'hui la même confiance dans leur audace.

17. « Et tout cela, c'est ma jeunesse, c'est mon étourderie qui semble contre nature, qui m'ayant mis en rapport avec les puissantes villes des Péloponnésiens les a séduites par la convenance de mes discours et leur a donné par mon énergie toute confiance. Maintenant aussi ne la redoutez pas, mais tandis qu'avec elle je fleuris

ἑκατέρου ἡμῶν ὠφελείᾳ. Καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγνώσκετε ὡς ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. Ὄχλοις τε γὰρ ξυμμίκτοις πολυανδροῦσιν αἱ πόλεις, καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς. Καὶ οὐδεὶς δι' αὐτὸ ὡς περὶ οἰκείας πατρίδος οὔτε τὰ περὶ τὸ σῶμα ὅπλοις ἐξήρτηται οὔτε τὰ ἐν τῇ χώρᾳ νομίμοις κατασκευαῖς· ὅ τι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων πείθειν οἴεται ἢ στασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν ἄλλην γῆν, μὴ κατορθώσας, οἰκήσειν, ταῦτα ἑτοιμάζεται. Καὶ οὐκ εἰκὸς τὸν τοιοῦτον ὅμιλον οὔτε λόγου μιᾷ γνώμῃ ἀκροᾶσθαι οὔτε ἐς τὰ ἔργα κοινῶς τρέπεσθαι· ταχὺ δ' ἂν ὡς ἕκαστοι, εἴ τι καθ' ἡδονὴν λέγοιτο, προσχωροῖεν, ἄλλως τε καὶ εἰ στασιάζουσιν, ὥσπερ πυνθανόμεθα. Καὶ μὴν οὐδ' ὁπλῖται οὔτ' ἐκείνοις, ὅσοι περ κομποῦνται, οὔτε οἱ ἄλλοι Ἕλληνες διεφάνησαν τοσοῦτοι ὄντες ὅσοι ἕκαστοι σφᾶς αὐτοὺς ἠρίθμουν, ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη ἡ Ἑλλὰς μόλις ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη. Τά τε οὖν ἐκεῖ, ἐξ ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα καὶ ἔτι εὐπορώτερα ἔσται· βαρβάρους τε γὰρ πολλοὺς ἕξομεν, οἳ Συρακουσίων μίσει ξυνεπιθήσονται αὐτοῖς· καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει, ἢν ὑμεῖς ὀρθῶς βουλεύησθε. Οἱ γὰρ πατέρες ἡμῶν τοὺς αὐτοὺς τούτους, οὕσπερ νῦν φασὶ πολεμίους ὑπολείποντας ἂν ἡμᾶς πλεῖν, καὶ προσέτι τὸν Μῆδον ἐχθρὸν ἔχοντες τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ ἰσχύοντες. Καὶ νῦν οὔτε ἀνέλπιστοί πω μᾶλ-

encore et que Nicias semble être heureux, profitez des avantages en nous deux réunis. Ne changez pas d'avis sur l'expédition de Sicile, dans l'idée que c'est une grande puissance qu'on va attaquer; car ses villes, pleines d'une multitude d'hommes mélangés, sont faciles à changer de constitutions, et à en recevoir d'autres. Aussi nul ne s'applique, comme il le ferait pour sa propre patrie, soit à pourvoir son corps d'armes, ou son pays d'établissements réguliers; mais chacun ne songe qu'au gain qu'il croit pouvoir tirer des affaires soit par son éloquence soit par les séditions qu'il aura excitées, ou bien, s'il ne réussit pas, à partir pour un autre séjour. On doit penser que, dans une multitude semblable, ni la parole ne sera entendue d'un même esprit, ni les choses ne se feront en commun; mais chacun se hâtera de suivre l'avis fait pour lui plaire, surtout si, comme on nous en informe, le pays est divisé en factions. Bien plus, chez eux, les hoplites même ne sont pas en aussi grand nombre qu'on le proclame avec jactance; en général les Hellènes ne sont jamais en réalité aussi nombreux qu'ils se comptent chacun en particulier; la Grèce, jusqu'alors si fort trompée sur ce point, vient de faire avec peine dans la guerre présente un armement convenable. Telle est, si j'en crois les ouï-dire, l'état des choses en Sicile; et il sera même meilleur encore, puisque nous aurons un grand nombre de Barbares qui, par haine contre les Syracusains, les attaqueront avec nous; nos affaires d'ici ne nous seront point un obstacle, si vous prenez de bonnes mesures. Nos pères en effet avaient ces mêmes ennemis qu'aujourd'hui, dit-on, en nous embarquant nous laissons en arrière, et de plus ils avaient le Mède pour ennemi quand ils ac-

λον Πελοποννήσιοι ἐς ἡμᾶς ἐγένοντο, εἴ τε καὶ πάνυ ἔῤῥωνται, τὸ μὲν ἐς τὴν γῆν ἡμῶν ἐσϐάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσι, τῷ δὲ ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν· ὑπόλοιπον γὰρ ἡμῖν ἐστιν ἀντίπαλον ναυτικόν.

ιη΄. « Ὥστε τί ἂν λέγοντες εἰκὸς ἢ αὐτοὶ ἀποκνοῖμεν ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι μὴ βοηθοῖμεν; οἷς χρεὼν, ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ ἀντιτιθέναι ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. Οὐ γὰρ ἵνα δεῦρο ἀντιϐοηθῶσι προσεθέμεθα αὐτοὺς, ἀλλ' ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι. Τήν τε ἀρχὴν οὕτως ἐκτησάμεθα καὶ ἡμεῖς καὶ ὅσοι δὴ ἄλλοι ἦρξαν, παραγιγνόμενοι προθύμως τοῖς ἀεὶ ἢ βαρϐάροις ἢ Ἕλλησιν ἐπικαλουμένοις. Ἐπεὶ, εἴγε ἡσυχάζοιεν πάντες, ἢ φυλοκρινοῖεν οἷς χρεὼν βοηθεῖν, βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ περὶ αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν. Τὸν γὰρ προὔχοντα οὐ μόνον ἐπιόντα τις ἀμύνεται, ἀλλὰ καὶ μὴ ὅπως ἔπεισι προκαταλαμϐάνει. Καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν, ἀλλ' ἀνάγκη, ἐπειδήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιϐουλεύειν, τοὺς δὲ μὴ ἀνιέναι, διὰ τὸ ἀρχθῆναι ἂν ὑφ' ἑτέρων αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. Καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον ὑμῖν

quirent leur empire, qu'ils ne durent qu'à la supériorité de leur flotte. Maintenant, bien que les Péloponnésiens ne soient pas tout à fait sans espoir, s'ils reprennent leur mâle courage, de venir envahir notre territoire, quand même notre expédition ne se ferait pas, ils ne sauraient nous nuire en rien avec leur flotte, car il nous restera toujours assez de vaisseaux pour leur tenir tête.

18. « Sous quel prétexte convenable hésiterions-nous donc? quelle serait notre excuse envers les alliés de Sicile, pour ne pas les secourir? puisque des serments nous unissent à eux, il faut les défendre, et ne pas objecter qu'eux non plus ils ne nous défendront pas à leur tour. Ce n'est pas pour qu'ils nous assistent ici que nous nous les sommes adjoints, mais pour que, nuisibles à nos ennemis de Sicile, ils les empêchent de venir ici nous attaquer. C'est par ce moyen que nous avons acquis l'empire, et nous et tous ceux qui ont dominé; toujours nous avons assisté avec zèle ceux qui ont imploré notre appui, soit Hellènes, soit Barbares; car, si nous tous nous restions tranquilles, ou si nous étions scrupuleux sur le choix de ceux qu'il faut secourir, nous ajouterions peu à notre empire et nous l'exposerions plutôt lui-même. En effet, non-seulement on se défend contre le plus fort lorsqu'il vient nous attaquer, mais aussi on prend les devants pour qu'il n'attaque pas. Il ne nous appartient pas de fixer la limite de notre empire; mais il nous faut, puisque nous en sommes là, contenir les uns par l'habileté, les autres par la force, ou nous risquerions de subir le joug, si nous ne l'imposions pas nous-mêmes aux autres. Vous ne sauriez envisager la

τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ ἐπιτηδεύματα ἐς τὸ ὅμοιον μεταλήψεσθε.

« Λογισάμενοι οὖν τάδε μᾶλλον αὐξήσειν, ἐπ' ἐκεῖνα ἢν ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελοποννησίων τε στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν καὶ ἐπὶ Σικελίαν πλεῦσαι· καὶ ἅμα ἢ τῆς Ἑλλάδος, τῶν ἐκεῖ προσγενομένων, πάσης τῷ εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακουσίους, ἐν ᾧ καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφελησόμεθα. Τὸ δὲ ἀσφαλὲς, καὶ μένειν, ἤν τι προσχωρῇ, καὶ ἀπελθεῖν, αἱ νῆες παρέξουσιν· αὐτοκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων Σικελιωτῶν.

« Καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπραγμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους ἀποστρέψῃ, τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ πατέρες ἡμῶν ἅμα νέοι γεραιτέροις βουλεύοντες ἐς τάδε ἦραν αὐτὰ, καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προαγαγεῖν τὴν πόλιν, καὶ νομίσατε νεότητα μὲν καὶ γῆρας ἄνευ ἀλλήλων μηδὲν δύνασθαι, ὁμοῦ δὲ τό τε φαῦλον καὶ τὸ μέσον καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν μάλιστ' ἂν ἰσχύειν, καὶ τὴν πόλιν, ἂν μὲν ἡσυχάζῃ, τρίψεσθαί τε αὐτὴν περὶ αὑτὴν ὥσπερ καὶ ἄλλο τι, καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι, ἀγωνιζομένην δὲ ἀεὶ προσλήψεσθαί τε τὴν ἐμπειρίαν καὶ τὸ ἀμύνεσθαι οὐ λόγῳ ἀλλ' ἔργῳ μᾶλλον ξύνηθες ἕξειν. Παράπαν τε γιγνώσκω πόλιν μὴ ἀπράγμονα τάχιστ' ἄν μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ

paix du même côté que les autres, à moins que notre conduite se conforme à la leur.

« Considérant donc que nous agrandirons encore plus cet empire, si nous allons en Sicile, montons sur nos vaisseaux, afin d'abattre l'orgueil des Péloponnésiens, lorsqu'on verra que, dédaigneux de notre repos actuel, nous allons attaquer la Sicile elle-même. En réussissant ici, comme il est probable, notre domination sur toute la Grèce en sera bien mieux assurée, ou du moins nous ferons grand mal aux Syracusains; ce qui nous profitera tout autant qu'à nos alliés. Nos vaisseaux nous donneront toute sécurité soit pour rester, si nous avons quelque succès, soit pour nous en aller. Que pourraient contre nous tous les Siceliôtes réunis?

« Et que l'indolence des paroles de Nicias et la division qu'il excite entre les jeunes gens et les hommes âgés ne vous en détournent pas; mais dans l'ordre accoutumé, et de même que nos pères, délibérant en commun jeunes et vieux, ont élevé si haut la république, tâchez pareillement aujourd'hui d'en reculer les bornes. Songez que, sans un secours mutuel, la jeunesse et la vieillesse ne peuvent rien; mais que la faiblesse, la médiocrité et la supériorité mélangées ensemble, sont une force irrésistible; que la république, si elle reste en repos, s'usera d'elle-même, comme toute autre chose, et tous les genres de mérite y dépériront; tandis qu'en combattant, elle ajoutera sans cesse à son expérience et acquerra l'habitude à se défendre non pas en paroles, mais bien en action. Je sais en somme qu'un État affairé périrait bientôt en passant à l'inaction, et que

διαφθαρῆναι, καὶ τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσι. »

ιθ'. Τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν· οἱ δ' Ἀθηναῖοι ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε καὶ τῶν ὁρκίων ὑπομιμνήσκοντες ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον ἢ πρότερον ὥρμηντο στρατεύειν. Καὶ ὁ Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειε, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν ἐπιτάξειε, τάχ' ἂν μεταστήσειεν αὐτούς, παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε.

κ'. « ἘΠΕΙΔῊ πάντως ὁρῶ ὑμᾶς, ὦ Ἀθηναῖοι, ὡρμημένους στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα ὡς βουλόμεθα, ἐπὶ δὲ τῷ παρόντι ἃ γιγνώσκω σημανῶ. Ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας καὶ οὔθ' ὑπηκόους ἀλλήλων οὔτε δεομένας μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τις δουλείας ἄσμενος ἐς ῥᾴω μετάστασιν χωροίη, οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξομένας, τό τε πλῆθος ὡς ἐν μιᾷ νήσῳ πολλὰς τὰς Ἑλληνίδας. Πλὴν γὰρ Νάξου καὶ Κατάνης, ἃς ἐλπίζω ἡμῖν κατὰ τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι, ἄλλαι εἰσὶν ἑπτά, καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα τῇ ἡμετέρᾳ δυνάμει, καὶ οὐχ ἥκιστα ἐπὶ ἃς μᾶλλον πλέομεν, Σελινοῦς καὶ Συράκουσαι. Πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι,

le salut des hommes n'est jamais mieux assuré que lorsqu'en conservant les mœurs et les lois actuelles, fussent-elles encore pires, les citoyens s'y conforment. »

19. C'est ainsi que parla Alcibiades. Les Athéniens, après l'avoir entendu, lui et les exilés égestains et léontins, qui, s'étant avancés dans l'assemblée, les priaient et, en leur rappelant les serments, les suppliaient de les secourir, s'empressèrent encore plus vivement de faire l'expédition. Nicias s'aperçut qu'il ne pourrait plus par le même langage les en détourner, et, croyant qu'il les en dissuaderait par la multitude des préparatifs, s'il leur en imposait de très-grands, s'avança de nouveau dans l'assemblée et leur tint ce discours :

20. « Athéniens, puisque je vous vois tout décidés pour l'expédition, puisse-t-elle réussir à nos souhaits; je vais pourtant vous exposer ce que je crois utile pour le moment. D'après ce que je sais par ouï-dire, nous allons attaquer des villes grandes, indépendantes les unes des autres, et qui ne réclament aucun changement politique, auquel d'autres recourraient avec joie pour passer d'un dur esclavage à une condition plus douce; des villes enfin qui probablement n'échangeraient pas leur liberté contre notre domination. Grande est la population des nombreuses villes helléniques que contient cette seule île, et, excepté Naxos et Catane, qui se joindront à nous, je l'espère, à cause de leur communauté d'origine avec les Léontins, il est sept autres villes non moins bien munies en toutes choses que nous le sommes*, et surtout Sélinonte et Syracuse, contre lesquelles notre expédition est plutôt dirigée. Les hoplites, les archers, les gens de trait y sont nombreux, nombreuses aussi les trirèmes et la foule pour remplir

* Ces villes grecques sont Syracuse, Sélinonte, Géla, Agrigente, Messine, Himère et Camarine.

καὶ τοξόται, καὶ ἀκοντισταὶ, πολλαὶ δὲ τριήρεις καὶ ὄχλος ὁ πληρώσων αὐτάς. Χρήματά τ' ἔχουσι τὰ μὲν ἴδια, τὰ δὲ καὶ ἐν τοῖς ἱεροῖς ἐστι Σελινουντίοις· Συρακουσίοις δὲ καὶ ἀπὸ βαρβάρων τινῶν ἀπαρχὴ ἐσφέρεται. Ὧ δὲ μάλιστα ἡμῶν προέχουσιν, ἵππους τε πολλοὺς κέκτηνται καὶ σίτῳ οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται.

κά. « Πρὸς οὖν τοιαύτην δύναμιν οὐ ναυτικῆς καὶ φαύλου στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν, εἴπερ βουλόμεθα ἄξιόν τι τῆς διανοίας δρᾷν καὶ μὴ ὑπὸ ἱππέων πολλῶν εἴργεσθαι τῆς γῆς, ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι, καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς γενόμενοι, ἄλλοι ἢ Ἐγεσταῖοι, ᾧ ἀμυνούμεθα ἱππικόν. Αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν ἢ ὕστερον ἐπιμεταπέμπεσθαι, τὸ πρῶτον ἀσκέπτως βουλευσαμένους· αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι, γνόντας ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν μέλλομεν πλεῖν καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι καὶ [οὐκ] ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα, ὅθεν ῥᾴδιαι αἱ κομιδαὶ ἐκ τῆς φιλίας ὧν προσέδει, ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρτήσαντες, ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν.

κϐ́. « Ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς ἄγειν καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε ὑπηκόων καὶ ἤν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ πεῖσαι ἢ μισθῷ

les équipages. Elles ont de l'argent chez les particuliers, et les Sélinontiens en ont aussi dans les temples; les Syracusains reçoivent même un tribut que leur payent quelques Barbares. Enfin leur principal avantage sur nous, c'est d'avoir beaucoup de chevaux, et de vivre du blé de leur pays et non de l'étranger.

21. « Donc contre une telle puissance une faible flotte, une faible troupe ne sauraient suffire; il faut aussi qu'une nombreuse armée de terre s'embarque avec nous, si nous voulons rien faire qui soit digne de notre pensée, et ne pas être entravés dans le pays par une cavalerie nombreuse, surtout si les villes effrayées se liguent, et si, ne pouvant nous faire des amis, pour nous seconder nous n'avons que les Égestains pour résister en cavalerie. Il serait honteux, pour n'avoir pas pris d'avance de sages mesures, d'être forcés de nous retirer, ou de faire venir ensuite de nouveaux renforts. Il faut partir d'ici avec des préparatifs considérables, en songeant que nous allons naviguer très-loin de notre pays; que cette expédition ne ressemble pas à celles où vous alliez comme alliés combattre une des contrées voisines soumises à votre obédience d'où les arrivages de ce dont on manque venant d'un pays ami sont faciles, mais que nous nous éloignons dans une terre toute étrangère, d'où, pendant les quatre mois d'hiver, il est difficile même qu'un courrier arrive.

22. « Il me semble donc qu'il nous faut emmener beaucoup d'hoplites, tant des nôtres que de ceux de nos alliés et de nos sujets, et même du Péloponnèse, si nous

προσαγαγέσθαι, καὶ τοξότας πολλοὺς σφενδονήτας, καὶ ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέχωσι, ναυσί τε καὶ πολὺ περιεῖναι, ἵνα καὶ τὰ ἐπιτήδεια ῥᾷον ἐσκομιζώμεθα, τὸν δὲ καὶ αὐτόθεν σῖτον ἐν ὁλκάσι, πυροὺς καὶ πεφρυγμένας κριθὰς, ἄγειν, καὶ σιτοποιοὺς ἐκ τῶν μυλώνων πρὸς μέρος ἠναγκασμένους ἐμμίσθους, ἵνα, ἤν που ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα, ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια (πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι), τά τε ἄλλα ὅσον δυνατὸν ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι, μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν. Τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἕτοιμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἕτοιμα εἶναι.

κγ'. « Ἢν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευασάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικὸν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν τὰ δὲ καὶ διασῶσαι. Πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις οἰκιοῦντας ἰέναι, οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ ᾗ ἂν κατάσχωσιν εὐθὺς κρατεῖν τῆς γῆς, ἢ εἰδέναι ὅτι, ἢν σφάλλωνται, πάντα πολέμια ἕξουσιν. Ὅπερ ἐγὼ φοβούμενος, καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον εὖ βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι (χαλεπὸν δὲ ἀνθρώπους ὄντας), ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι. Ταῦτα γὰρ τῇ τε ξυμπάσῃ

pouvons nous en adjoindre quelques-uns soit par la persuasion soit par une solde. Il faut aussi beaucoup d'archers et de frondeurs, pour résister à la cavalerie ennemie, enfin être supérieurs même de beaucoup en vaisseaux, pour transporter aisément tous les objets nécessaires. Il faudra encore emmener sur des bâtiments de charge le blé d'ici-même, du froment et de l'orge grillée, enrôler de force des boulangers proportionnellement au nombre des moulins pour que, si le mauvais temps nous retient quelque part, l'armée ait des vivres, car toute ville ne pourra pas recevoir une armée si nombreuse; il faut enfin préparer tout le reste autant que possible, et ne pas dépendre d'autrui. Surtout emportons d'ici le plus d'argent possible; car les trésors des Égestains, qu'on dit être tout prêts là-bas, croyez qu'ils pourraient bien n'être prêts qu'en paroles seulement.

23. « Et quand même nous partirions d'ici avec une armée non-seulement égale à la leur, hormis en hoplites qui font leur force, mais quant au reste supérieurs en tout, alors même difficilement pourrons-nous abattre les uns et sauver les autres. Il faut songer que nous allons pour fonder une ville parmi des étrangers et dés ennemis, que, dès le premier jour, là où nous aborderons il nous faut aussitôt nous rendre maîtres du pays ou savoir qu'en cas de revers tout nous deviendra hostile. Dans cette crainte, convaincu qu'il nous faut aviser à bien des choses, et plus encore être heureux (ce qui est difficile étant des hommes), je veux en partant me livrer le moins possible à la fortune, et ne mettre à la voile que rassuré par des préparatifs convenables.

πόλει βεβαιότατα ἡγοῦμαι καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. Εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν. »

κδʹ. Ὁ μὲν Νικίας τοσαῦτα εἶπε νομίζων τοὺς Ἀθηναίους τῷ πλήθει τῶν παραγμάτων ἢ ἀποτρέψειν, ἢ, εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι· οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξηρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο, καὶ τοὐναντίον περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. Καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν, τοῖς δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν καὶ προσκτήσασθαι δύναμιν ὅθεν ἀΐδιον μισθοφορὰν ὑπάρξειν. Ὥστε διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειροτονῶν κακόνους δόξειεν εἶναι τῇ πόλει ἡσυχίαν ἦγε.

κεʹ. Καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν ἥντινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται. Ὁ δὲ ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, τριήρεσι μὲν οὐκ

Voilà, selon moi, ce qui est rassurant pour la république tout entière et salutaire pour nous qui irons combattre. Si quelqu'un est d'un autre avis, je lui cède le commandement. »

24. Ainsi parla Nicias, croyant, par cette multitude de choses, ou détourner les Athéniens de cette expédition, ou, s'il y était contraint, partir parfaitement rassuré. Mais les Athéniens, loin que leur passion pour cette expédition fût amortie par l'embarras des préparatifs, n'en eurent encore que plus d'ardeur pour elle, et l'attente de Nicias fut trompée. Il parut avoir donné de bons conseils, et què dès lors on aurait moins à craindre. L'ardeur de s'embarquer s'empara de tous également; les vieillards, dans l'idée qu'ils soumettraient les pays où ils allaient, ou du moins qu'une grande armée n'éprouverait aucun échec; ceux dans la force de l'âge, par l'envie de voir et de contempler un pays lointain, et dans la confiance qu'ils seraient sauvés; la multitude et le soldat, dans l'espoir de recevoir sans retard de l'argent, et d'accroître la puissance de la république, ce qui leur procurerait une solde perpétuelle. Ainsi dans cet élan général, s'il en était quelqu'un à qui l'entreprise déplaisait, par crainte, en s'y opposant, de paraître malveillant envers la république, il restait tranquille.

25. Enfin, un Athénien, s'étant avancé, interpella Nicias, et lui dit qu'il ne fallait plus ni prétexte ni retard *, mais déclarer à l'instant, en présence de tous, quels préparatifs les Athéniens lui devaient décréter. Nicias, forcé malgré lui, répondit qu'il en conférerait plus à loisir avec ses collègues; mais que d'après ce qu'il

* « Ce n'est plus le moment de s'endormir et de temporiser comme Nicias. » μελλονικιᾶν. Aristoph., *les Oiseaux*, v. 638. Plutarque cite ces vers dans la vie de Nicias.

ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι (αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι), ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται καὶ πλείοσι· τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης, καὶ σφενδονητῶν, καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι ἄξειν.

κϛ'. Ἀκούσαντες δ' οἱ Ἀθηναῖοι ἐψηφίσαντο εὐθὺς αὐτοκράτορας εἶναι· καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. Καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο, καὶ ἔς τε τοὺς ξυμμάχους ἔπεμπον, καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. Ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης καὶ ἐς χρημάτων ἄθροισιν διὰ τὴν ἐκεχειρίαν, ὥστε ῥᾷον πάντα ἐπορίζετο. Καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

κζ'. Ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς), μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. Καὶ τοὺς δράσαντας ᾔδει οὐδεὶς, ἀλλὰ μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο, καὶ προσέτι ἐψηφίσαντο καὶ εἴ τις ἄλλο τι

jugeait pour l'instant, on ne devrait pas mettre en mer avec moins de cent trirèmes; que les Athéniens en fourniraient, pour le transport des hoplites, le nombre qu'ils croiraient pouvoir réunir, et d'autres qu'il fallait faire venir des alliés; que la totalité des hoplites tant des Athéniens que des alliés ne devait pas être moindre de cinq mille, et même plus considérable s'ils le pouvaient; que le reste des préparatifs serait en même proportion tant en archers d'Athènes et de Crète qu'en frondeurs et en tout ce qui serait jugé convenable, pour être prêt au départ.

26. Après l'avoir entendu, les Athéniens décrétèrent aussitôt que, relativement au nombre des troupes et à ce qui concernait toute la navigation, les généraux eussent plein pouvoir de faire ce qu'ils croiraient le mieux pour les Athéniens. On s'occupa ensuite des préparatifs; on députa vers les alliés, et on enrôla des soldats sur les lieux. La Ville s'était récemment rétablie de la peste et de la guerre continue; sa population en âge de porter les armes s'était accrue, et par la suspension d'armes on avait amassé de l'argent*, de sorte qu'on se procurait tout plus facilement. Ces préparatifs occupaient Athènes.

* Il y avait sept mille talents, disent Andocides et Eschines.

27. Sur ces entrefaites, les Hermès de pierre qui étaient dans la ville d'Athènes eurent la plupart dans une nuit la face mutilée. Les Hermès, d'après l'usage du pays, sont des statues carrées, placées en grand nombre soit aux vestibules particuliers soit dans les temples. Personne ne connaissait les coupables; mais on en faisait la recherche publiquement, en promettant de fortes récompenses à ceux qui les dénonceraient*; de plus, on décréta que, si quelqu'un, soit citoyen, soit étranger,

* La récompense était de 100 mines, et de 20 selon Andocides.

οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν, καὶ ξένων, καὶ δούλων. Καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι·

κη'. Μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν Ἑρμῶν οὐδὲν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται ἐν οἰκίαις ἐφ' ὕβρει· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο. Καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον, καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο, καὶ οὐδὲν εἴη αὐτῶν ὅ τι οὐ μετ' ἐκείνου ἐπράχθη, ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν.

κθ'. Ὁ δ' ἐν τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἕτοιμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο), καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν. Καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ, καὶ ὅτι σωφρονέστερον εἴη μὴ μετὰ τοιαύτης αἰ-

soit esclave, connaissait quelque autre impiété commise, il eût à la dénoncer sans crainte. On donna beaucoup d'importance à l'affaire ; car elle semblait être un présage sur l'expédition et tenant à une conjuration pour changer l'état des choses et abolir la démocratie.

28. Il n'y eut point de dénonciation de la part de quelques métœques et de domestiques au sujet des Hermès, mais ils rapportèrent que d'autres statues avaient été précédemment mutilées par des jeunes gens qui dans l'ivresse s'en étaient fait un jeu, et aussi que, dans certaines maisons, on célébrait les mystères par dérision ; ils en accusaient aussi Alcibiades. Saisissant cette accusation, ceux qui en voulaient surtout à Alcibiades parce qu'il leur était un obstacle pour être à la tête du peuple, et qui avaient l'espoir, s'ils le chassaient, de devenir les premiers, exagéraient le crime et se récriaient disant que c'était pour abolir la démocratie qu'on avait profané les mystères et mutilé les Hermès, et que pas un de ces sacriléges ne s'était commis sans lui : ils en donnaient pour preuve la licence anti-démocratique du reste de sa vie.

29. Alcibiades, dans le moment, se défendit contre ces dénonciations, prêt, disait-il, à passer en jugement avant de s'embarquer s'il avait en rien pris part à cet attentat (car déjà les préparatifs du départ étaient terminés), et, dans le cas où sa complicité serait reconnue, à satisfaire la justice, comme aussi, absous, à reprendre son commandement. Il protestait contre les calomnies qui seraient portées contre lui en son absence, et demandait qu'on le mît à mort à l'instant, s'il était coupable, affirmant qu'il était plus sage de ne pas l'envoyer sous le poids d'une telle accusation à la tête d'une aussi grande

τίας, πρὶν διαγνῶσι, πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι. Οἱ δ' ἐχθροὶ δεδιότες τό τε στράτευμα μὴ εὔνουν ἔχῃ, ἢν ἤδη ἀγωνίζηται, ὅ τε δῆμος μὴ μαλακίζηται θεραπεύων ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινὲς, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες, οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτὸν καὶ μὴ κατασχεῖν τὴν ἀγωγὴν, ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς, βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ ἀπόντος ποριεῖν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγωνίσασθαι. Καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην.

λ'. Μετὰ δὲ ταῦτα θέρους μεσοῦντος ἤδη ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. Τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι καὶ τοῖς πλοίοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι, καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν, ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρα ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι. Ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας ὡς εἰπεῖν ὁ ἐν τῇ πόλει, καὶ ἀστῶν καὶ ξένων, οἱ μὲν ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν ἑταίρους, οἱ δὲ ξυγγενεῖς, οἱ δὲ υἱεῖς, καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο, ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο.

armée avant le prononcé du jugement. Mais ses ennemis craignaient que, si on instruisait dès lors son procès, l'armée ne lui fût favorable, et que le peuple ne faiblît, car il caressait Alcibiades, attendu que c'était par son influence que les Argéens et une partie des Mantinéens prenaient part à l'expédition. Pour détourner et entraver cette affaire, ils introduisirent d'autres orateurs qui proposèrent qu'Alcibiades s'embarquât pour le moment et que le départ de la flotte ne fût point retardé, mais qu'il serait rappelé pour être mis en jugement à jour fixe. Ils voulaient, en portant contre lui une accusation plus grave qu'ils devaient trouver plus aisément en son absence, le ramener et le mettre en jugement. Il fut donc résolu qu'Alcibiades s'embarquerait.

30. Après cela, le départ pour la Sicile se fit au milieu déjà de l'été. D'avance on avait fait savoir à la plupart des alliés, aux bâtiments pour les vivres, aux navires et à tout ce qui suivait l'armée en préparatifs, de se rassembler à Corcyre, d'où tous ensemble traverseraient le golfe Ionique jusqu'au promontoire d'Iapygie. Quant aux Athéniens eux-mêmes, et à ceux des alliés qui se trouvaient à Athènes, ils descendirent au Pirée le jour fixé, et dès l'aurore ils remplirent les vaisseaux comme pour prendre le large. Avec eux y descendit aussi le reste de la foule tout entière, pour ainsi dire, qui était dans la ville, tant étrangers que citoyens. Les gens du pays conduisaient chacun les siens, ceux-ci des amis, ceux-là des parents, d'autres leurs fils. Dans leur marche, l'espérance de ce qu'ils allaient acquérir se mêlait aux lamentations pour ceux qu'ils craignaient de ne jamais revoir, en songeant quelle longue navigation les allait éloigner de leur pays.

Καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ τὸ πλῆθος ἑκάστων ὧν ἑώρων, τῇ ὄψει ἀνεθάρσουν. Οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἧκεν ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν.

λα'. Παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν εἰς ἐκεῖνον τὸν χρόνον ἐγένετο. Ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἅγνωνος οὐκ ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων, καὶ τριακόσιοι ἱππῆς, καὶ τριήρεις ἑκατὸν, καὶ Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν. Ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν καὶ παρασκευῇ φαύλῃ, οὗτος δὲ ὁ στόλος ὡς χρόνιός τε ἐσόμενος καὶ κατ' ἀμφότερα, οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθεὶς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθὲν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος καὶ ναῦς παρασχόντος κενὰς ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγοὺς, καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριηράρχων, ἐπιφοράς τε πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἄλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι

En ce moment, comme ils devaient déjà se quitter pour s'exposer aux périls, les maux s'offraient plus vifs à leur esprit que quand ils décrétaient l'expédition. Néanmoins, à l'aspect de cette grande puissance qu'ils avaient sous les yeux, ils reprenaient courage. Les étrangers et le reste de la foule vinrent contempler ce spectacle, dont la pensée leur semblait magnifique et incroyable.

31. Cet appareil en effet des forces helléniques, le premier qu'une seule ville eût encore déployé sur mer, fut le plus somptueux et le plus beau que l'on eût vu jusqu'alors. Mais pour le nombre des vaisseaux et des hoplites, l'expédition de Périclès à Épidaure, et une semblable d'Hagnôn à Potidée, ne furent pas inférieures ; car il y eut quatre mille hoplites des Athéniens mêmes, trois cents cavaliers, cent trirèmes, cinquante autres trirèmes de Lesbos et de Chios, et en outre un grand nombre d'alliés, qui partirent ensemble. Mais ce fut pour une courte traversée et avec un chétif appareil; tandis que cette expédition fut préparée pour une longue durée et, afin de servir doublement, selon le besoin, sur mer à la fois et sur terre. La flotte fut laborieusement apprêtée à grands frais par les triérarques et par l'État; le trésor public donnait par jour une drachme à chaque matelot *, et fournissait des vaisseaux vides, dont soixante légers et quarante destinés au transport des hoplites, indépendamment du très-puissant secours maritime des meilleurs serviteurs que leur fournissaient les triérarques, qui donnaient aux matelots thranites et aux rameurs un surcroît à la solde payée par le trésor public, et employaient à la décoration de leurs navires des simulacres et ornements somptueux, chacun mettant le plus grand zèle

* C'était le double de la paye ordinaire qui était de 3 oboles. Au siége de Potidée on paya aussi la solde le double, III, 17.
Voyez les Observations.

χρησαμένων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου ὅπως αὐτῷ τινι εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει καὶ τῷ ταχυναυτεῖν· τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν. Ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος προσετάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν. Εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν πόλεως ὅσα τε ἤδη προσετετελέκει καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλε, τῶν δὲ ἰδιωτῶν ἅ τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀνηλώκει καὶ ὅσα ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ τοῦ ἐκ δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον ὡς ἐπὶ χρόνιον στρατείαν, καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει, πολλὰ ἂν τάλαντα εὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. Καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο ἢ στρατιᾶς πρὸς οὓς επήεσαν ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

λϐʹ. Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν καὶ ἐσέκειτο πάντα ἤδη ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ

pour que son vaisseau l'emportât par quelque beauté et la rapidité de sa marche. L'infanterie fut choisie parmi les rôles d'élite, et il y eut bien des disputes entre eux pour le choix des armes et ce qui décore le soldat. Chacun, dans le grade qui lui était assigné, voulait se distinguer des autres et montrer un étalage de force et de grandeur pour en imposer à tous les Hellènes plutôt qu'un armement contre des ennemis. Car, si l'on avait calculé toute la dépense publique de la Ville et celle des guerriers de l'expédition en particulier, les sommes que la Ville avait déjà dépensées et celles dont étaient pourvus les généraux qu'elle envoyait, les frais que fit chaque particulier pour sa personne et chaque triérarque pour son vaisseau, et tous ceux qu'ils devaient faire encore, sans compter les provisions de voyage que chacun, outre la solde qu'il recevait du trésor public, avait préparées pour une longue expédition, et aussi les objets que des soldats ou des marchands avaient embarqués avec eux pour faire des échanges, on aurait trouvé que tout le numéraire en talents exporté d'Athènes était considérable. Cette expédition ne fut pas moins fameuse par son étonnante audace et par l'éclat de son aspect que par la supériorité de l'armée sur ceux qu'on allait attaquer, et par l'immense espoir dans l'avenir en raison de tels préparatifs.

32. Les équipages étaient à bord des vaisseaux, et tout l'approvisionnement avec lequel on devait partir était déjà embarqué, quand la trompette donna le signal

ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο, κρατῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες. Ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς τῶν τε πολιτῶν καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι. Παιωνίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς, ἀνήγοντο καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες, ἅμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο. Καὶ οἱ μὲν ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι. Ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδὲν, ἀλλὰ καὶ γενομένης ἐκκλησίας, ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων, τῶν μὲν πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς τῶν Ἀθηναίων, τῶν δὲ τὰ ἐναντία λεγόντων, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε καὶ παρῄνει τοιάδε.

λγʹ. « ἌΠΙΣΤΑ μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινὲς, δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπισχήσω κινδυνευούσης τῆς πόλεως, πείθων γε ἐμαυτὸν σαφέστερόν τι ἑτέρου

du silence. Les prières d'usage avant le départ ne se firent pas en particulier sur chaque navire, mais sur la flotte entière à la voix du héraut. On versa le vin dans les cratères à l'armée tout entière; soldats et chefs firent les libations dans des coupes d'or et d'argent. Sur terre le reste de la foule des citoyens unissaient les leurs, et aussi tout assistant qui était favorable. Après avoir chanté le pæan et terminé les libations, on mit à la voile. D'abord les vaisseaux sortirent du port rangés à la file, puis jusqu'à Égine rivalisèrent à qui voguerait le mieux. Ils s'empressèrent ensuite d'arriver à Corcyre, où se rassemblait aussi l'autre armée des alliés. La nouvelle de cette expédition parvenait de beaucoup d'endroits à Syracuse; mais longtemps on n'y voulut rien croire. Toutefois on convoqua une assemblée, où les discours suivants furent prononcés, les uns par ceux qui croyaient à l'expédition des Athéniens, les autres par ceux qui assuraient le contraire. Hermocrates, fils d'Hermôn, s'avança au milieu de l'assemblée, et, comme se croyant bien informé de ces choses, prit la parole et donna cet avis :

33. « En vous disant la vérité sur la réalité de l'expédition, je semblerai peut-être, comme aussi quelques autres, annoncer une chose incroyable, mais à répéter et propager des faits que l'on ne veut pas croire exacts on perd tout crédit et l'on passe même pour insensé. Convaincu toutefois d'être mieux informé que d'autres, la crainte ne m'empêchera pas de parler quand la république est en danger. Les Athéniens s'avancent

εἰδὼς λέγειν. Ἀθηναῖοι γὰρ ἐφ' ἡμᾶς, ὃ πάνυ θαυμάζετε, πολλῇ στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ, πρόφασιν μὲν Ἐγεσταίων ξυμμαχίᾳ καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς Σικελίας ἐπιθυμίᾳ, μάλιστα δὲ τῆς ἡμετέρας πόλεως, ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἆλλα ἕξειν. Ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτοὺς, καὶ μήτε καταφρονήσαντες ἄφρακτοι ληφθήσεσθε, μήτε ἀπιστήσαντες τοῦ ξύμπαντος ἀμελήσετε. Εἰ δέ τῳ καὶ πιστὰ, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. Οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τ' ἔσονται ἢ πάσχειν, οὔθ', ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται, ἀνωφελεῖς, ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον, μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν ξυμμαχεῖν, καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς, ἢ ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν (οὐ γὰρ δὴ μὴ τύχωσί γε ὧν προσδέχονται φοβοῦμαι), κάλλιστον δὴ ἔργων ἡμῖν ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. Ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι ἢ Ἑλλήνων ἢ βαρβάρων, πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες, κατώρθωσαν. Οὔτε γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων ἔρχονται (πάντα γὰρ ὑπὸ δέους ξυνίσταται), ἤν τε δι' ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίσωσιν, ὅμως καταλείπουσιν. Ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον πολλὰ σφα-

contre nous, vous en êtes tout étonnés, avec une nombreuse armée et de mer et de terre. Leur prétexte est l'alliance des Égestains et le rétablissement des Léontins; mais, dans le fait, ils convoitent la Sicile, et surtout notre Ville ; ils croient qu'une fois maîtres de celle-ci, ils s'empareront aisément du reste. Comme ils vont donc bientôt arriver, voyez par quels moyens vous pourrez le mieux les repousser ; et prenez garde par mépris pour eux de vous laisser surprendre désarmés, et par incrédulité de ne pas veiller au salut de l'État. Si cependant quelqu'un croit à leur arrivée, qu'il ne s'épouvante pas de leur audace et de leur puissance ; car ils ne pourront nous faire plus de mal qu'ils n'en souffriront eux-mêmes. La grandeur même de la flotte avec laquelle ils viennent ne nous sera pas inutile, et nos affaires n'en iront que bien mieux avec les autres Sicéliôtes, puisque, saisis de frayeur, ils seront plus disposés à s'allier à nous. Si même nous parvenons à les abattre ou à les repousser sans avoir rien fait de ce qu'ils désirent (et certes je ne crains pas qu'ils obtiennent ce à quoi ils s'attendent), ce sera pour nous le plus bel événement, et je ne le crois point inespéré. Peu de grandes flottes en effet, soit d'Hellènes soit de Barbares, quand elles se sont avancées bien loin de chez eux, ont réussi. Elles n'arrivent pas plus nombreuses que les habitants du pays et leurs voisins ; car la crainte les réunit tous ; et si, faute de vivres, elles succombent en pays étranger, quoique la plupart de leurs malheurs viennent de leurs propres fautes, elles en laissent la gloire à ceux auxquels elles s'attaquaient. C'est ainsi que ces Athéniens eux-mêmes, après les revers nombreux et éprouvés contre toute raison par le Mède, grandi-

λέντος, ἐπὶ τῷ ὀνόματι ὡς ἐπ' Ἀθήνας ᾔει ηὐξήθησαν, καὶ ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι.

λδʹ. « Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα, καὶ ἐς τοὺς Σικελοὺς πέμποντες τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φιλίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι, ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες ὡς κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμαχίαν ποιώμεθα ἡμῖν, ἢ μὴ δέχωνται Ἀθηναίους. Δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι· οὐ γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ' ἀεὶ διὰ φόβου εἰσὶ μή ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν, ὥστε τάχ' ἂν ἴσως, νομίσαντες, εἰ τάδε προήσονται, καὶ ἂν σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι κρύφα γε ἢ φανερῶς ἢ ἐξ ἑνός γέ του τρόπου ἀμῦναι. Δυνατοὶ δέ εἰσι μάλιστα τῶν νῦν, βουληθέντες· χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ τἄλλα εὐπορεῖ. Πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ ἐς Κόρινθον δεόμενοι δεῦρο κατὰ τάχος βοηθεῖν, καὶ τὸν ἐκεῖ πόλεμον κινεῖν. Ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον, ὑμεῖς τε διὰ τὸ ξύνηθες ἥσυχον ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται. Σικελιῶται γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ μή, ὅτι πλεῖστοι μεθ' ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυτικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς, ἀπαντῆσαι Ἀθηναίοις ἐς Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐτοῖς ὅτι οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγὼν ἢ

rent par cette parole : C'est contre Athènes qu'il marchait. Nous pouvons espérer qu'il en sera de même pour nous.

34. « Rassurons-nous donc, et préparons-nous ici. Envoyons chez les Sicèles, pour raffermir davantage les uns, et tâchons de gagner l'amitié et l'alliance des autres ; envoyons aussi des députés dans le reste de la Sicile, pour lui faire voir que le danger est commun ; envoyons-en aussi en Italie, afin qu'elle s'allie à nous ou ne reçoive pas les Athéniens. Je crois bon aussi de députer à Carthage ; car, loin d'être sans inquiétude, ses habitants appréhendent toujours que les Athéniens n'arrivent contre leur ville. Peut-être, songeant aux maux dont elle-même serait menacée, si elle ne veut pas agir, voudra-t-elle nous secourir ou ouvertement, ou en secret, ou n'importe comment. Personne mieux que les Carthaginois, s'ils le veulent, ne peut aujourd'hui nous venir puissamment en aide ; car ils possèdent beaucoup d'or et d'argent, moyens de succès dans la guerre et en toute chose. Envoyons aussi à Lacédémone et à Corinthe les prier de se hâter de nous secourir, et d'attiser la guerre en Grèce.

« Mais ce que je crois le plus opportun, et, bien que votre quiétude habituelle soit très-difficile à réveiller, je vais vous le dire : si tout ce que nous sommes de Siciliôtes, ou du moins le plus grand nombre réuni à nous, mettant en mer tous nos vaisseaux avec des vivres pour deux mois, et allant à la rencontre des Athéniens à Tarente et au cap d'Iapygie, leur montrions qu'ils ne sauraient s'attaquer à la Sicile qu'après avoir pu franchir

τοῦ ἐκείνους περαιωθῆναι τὸν Ἰόνιον, μάλιστ' ἂν αὐτοὺς ἐκπλήξαιμεν, καὶ ἐς λογισμὸν καταστήσαιμεν ὅτι ὁρμώμεθα μὲν ἐκ φιλίας χώρας φύλακες (ὑποδέχεται γαρ ἡμᾶς Τάρας), τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ πάσης τῆς παρασκευῆς, χαλεπὸν δὲ διὰ πλοῦ μῆκος ἐν τάξει μεῖναι, καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη βραδεῖά τε καὶ κατ' ὀλίγον προσπίπτουσα.

Εἰ δ' αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρῳ κουφίσαντες προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθείμεθ' ἂν κεκμηκόσιν, εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα· οἱ δὲ, μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίᾳ περαιωθέντες, ἀποροῖεν ἂν κατὰ χωρία ἔρημα, καὶ ἢ μένοντες πολιορκοῖντο ἂν, ἢ πειρώμενοι παραπλεῖν τήν τε ἄλλην παρασκευὴν ἀπολίποιεν ἂν, καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέβαια ἔχοντες, εἰ ὑποδέξοιντο, ἀθυμοῖεν.

Ὥστ' ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκλειομένους αὐτοὺς οὐδ' ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ' ἢ διαβουλευσαμένους καὶ κατασκοπαῖς χρωμένους, ὁπόσοι τ' ἐσμὲν καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ καταλῦσαι ἂν τὸν πλοῦν, ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν, ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου καὶ ἀσμένου ἂν πρόφασιν λαβόντος, εἴ τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφθείη. Ἀγγελλοίμεθα δ' ἂν (εὖ οἶδ' ὅτι) ἐπὶ τὸ πιλεῖον· τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμα

le golfe Ionique, par là nous les effrayerions fort et nous leur ferions croire que nous sortons d'un pays ami confié à notre garde (car Tarente nous accueillera favorablement). Ayant eux-mêmes une vaste mer à traverser avec tout leur appareil, il est difficile, dans un si long trajet, de rester en bon ordre, et leur flotte, s'avançant lentement et fractionnée, sera repoussée facilement.

« Supposant même qu'allégés des vaisseaux de charge ils fondent sur nous avec la foule de leurs vaisseaux légers, s'ils naviguent à la rame, nous les assaillirons fatigués ; et si cela ne nous convient pas, nous avons Tarente pour refuge. Mais eux qui, dans la vue de livrer un combat naval, auront fait le trajet avec peu de provisions, en manqueront dans des lieux déserts. S'ils y restent, ils seront assiégés; s'ils tentent de longer la côte, ils abandonneront leurs bagages, et dans l'incertitude de l'accueil des villes, ils se décourageront.

« Pour moi donc, je pense que, retenus par ces raisons, ils ne partiront pas même de Corcyre; qu'occupés à délibérer et à s'enquérir par des vedettes du nombre de nos vaisseaux et où ils sont, ils seront rejetés à la saison d'hiver, ou qu'effrayés par notre apparition inattendue, ils renonceront à venir ici. D'ailleurs, le plus expérimenté de leurs généraux, à ce que j'apprends, commande à contre-cœur; et l'aspect d'un grand déploiement de nos forces lui sera un prétexte qu'il saisira avec joie. On exagérera nos ressources, j'en suis sûr. Les opinions des hommes se règlent sur ce qu'on dit; et celui qui attaque le premier ou qui manifeste aux assaillants qu'il se défendra, est plus redouté, se montrant ainsi capable de lutter à force égale. C'est

ἵστανται, καὶ τοὺς προεπιχειροῦντας ἢ τοῖς γε ἐπιχειροῦσι προδηλοῦντας ὅτι ἀμυνοῦνται μᾶλλον πεφόβηνται, ἰσοκινδύνους ἡγούμενοι. Ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. Ἐπέρχονται γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις, δικαίως κατεγνωκότες ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν· εἰ δ' ἴδοιεν παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. Πείθεσθε οὖν, μάλιστα μὲν ταῦτα τολμήσαντες, εἰ δὲ μὴ, ὅτι τάχιστα τἄλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν, καὶ παραστῆναι παντὶ τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι, τὸ δ' ἤδη τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον ἂν ξυμβῆναι. Οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ (εὖ οἶδ' ὅτι) ἤδη εἰσὶ, καὶ ὅσον οὔπω πάρεισι.»

λε΄. Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπε, τῶν δὲ Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει, τοῖς δὲ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅ τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν. Ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. Ὀλίγον δ' ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον. Παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε προστάτης ἦν καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

ce que les Athéniens éprouveront maintenant. Ils viennent nous attaquer dans l'idée que nous ne les repousserons pas; et ils ont raison de nous mépriser, ne les ayant pas abattus en nous joignant aux Lacédémoniens. Mais si contre leur attente ils nous voient agir avec une audace qu'ils ne soupçonnent pas, ils seront plus effrayés de ce coup imprévu que de nos forces réelles.

« Croyez-moi donc; osez hardiment ce que je vous conseille, ou bien, préparez-vous en toute hâte pour la guerre, et songez tous que le mépris pour l'agresseur se manifeste par des actes énergiques, et que les préparatifs faits par des soins méticuleux vous donnant toute sécurité, agir comme étant déjà dans le péril est de toutes les mesures la plus salutaire. Les Athéniens viennent contre nous; ils sont déjà sur mer, j'en suis sûr; bientôt ils vont paraître. »

35. Tel fut le discours d'Hermocrates. Le peuple de Syracuse se livra à de longs débats, les uns sur l'impossibilité de l'arrivée des Athéniens, les autres sur la fausseté des assertions d'Hermocrates. Et quand même ils arriveraient, disaient les autres, quel mal pourraient-ils faire, qu'ils n'en éprouvassent de plus grand en retour? D'autres enfin montraient un profond mépris pour cette affaire et la tournaient en dérision. Un petit nombre seulement croyait Hermocrates et redoutait l'avenir. Athénagoras, chef du parti populaire, et jouissant alors d'un très-grand crédit parmi le peuple, s'avança et parla de cette manière dans l'assemblée :

λϛ'. « ΤΟΥΣ μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω κακῶς φρονῆσαι, καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ δειλός ἐστιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δ' ἀγγέλλοντας τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι. Οἱ γὰρ δεδιότες ἰδίᾳ τι βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται. Καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται· οὐκ ἀπὸ ταὐτομάτου, ἐκ δὲ ἀνδρῶν, οἵπερ ἀεὶ τάδε κινοῦσι, ξύγκεινται.

« Ὑμεῖς δὲ, ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι σκοποῦντες λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι δεινοὶ καὶ πολλῶν ἔμπειροι, ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ, δράσειαν. Οὐ γὰρ αὐτοὺς εἰκὸς, Πελοποννησίους τε ὑπολιπόντας καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους, ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω ἑκόντας ἐλθεῖν, ἐπεὶ ἔγωγε ἀγαπᾷν οἴομαι αὐτοὺς ὅτι οὐχ ἡμεῖς ἐπ' ἐκείνους ἐρχόμεθα, πόλεις τοσαῦται καὶ οὕτω μεγάλαι.

λζ'. « Εἰ δὲ δὴ, ὥσπερ λέγονται, ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου διαπολεμῆσαι, ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται, τὴν δὲ ἡμετέραν πόλιν αὐτὴν τῆς νῦν στρατιᾶς, ὥς φασιν, ἐπιούσης, καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι, οἷς γ' ἐπίσταμαι οὔθ' ἵππους ἀκολουθήσοντας, οὐδ' αὐτόθεν ποριεῖσθαι σομένους εἰ μὴ ὀλίγους τινὰς

36. « Quiconque ne veut pas que les Athéniens soient assez insensés pour venir ici tomber en nos mains, est ou un lâche ou un ennemi de la république. Quant aux gens qui annoncent ces nouvelles pour nous effrayer, je ne m'étonne point de leur audace, mais de leur ineptie, s'ils croient qu'on ne les devine pas. Ceux en effet qui craignent pour leur personne cherchent à effrayer la Ville, afin de cacher dans la consternation générale la leur elle-même. Tel est le but de ces nouvelles, qui ne sont pas le produit du hasard, mais des hommes qui excitent toujours de telles agitations.

« Vous, cependant, si vous êtes sages, vous examinerez ce qu'il convient de faire, non en raison de ce que vous annoncent de telles gens, mais de ce qu'on doit attendre d'hommes habiles et de grande expérience, tels que je me figure les Athéniens. Il n'est pas probable qu'ils laissent derrière eux les Péloponnésiens, et qu'avant d'avoir terminé définitivement la guerre de ce côté, ils viennent entreprendre de gaieté de cœur une autre guerre non moins importante. Quant à moi, je pense qu'ils sont contents de ce que nous n'allons pas les attaquer nous-mêmes, qui formons des États si nombreux et si grands.

37. « Et quand même ils viendraient, comme on le dit, je crois la Sicile plus en état que le Péloponnèse de soutenir la guerre, d'autant qu'elle est mieux pourvue de tout; certes notre ville à elle seule est bien autrement puissante que l'armée qui, dit-on, s'avance aujourd'hui, fût-elle elle-même deux fois plus nom-

παρ' Ἐγεσταίων, οὐδ' ὁπλίτας ἰσοπλήθεις τοῖς ἡμετέροις ἐπὶ νεῶν γε ἐλθόντας· μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι, τήν τε ἄλλην παρασκευὴν, ὅσην δεῖ ἐπὶ πόλιν τοσήνδε πορισθῆναι, οὐκ ὀλίγην οὖσαν. Ὥστε, παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ πόλιν ἑτέραν τοσαύτην, ὅσαι Συράκουσαί εἰσιν, ἔλθοιεν ἔχοντες καὶ ὅμορον οἰκήσαντες τὸν πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι, ἤ πού γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ (ξυστήσεται γὰρ) στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι, καὶ ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. Τὸ δὲ ξύμπαν οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι· τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω.

λη'. « Ἀλλὰ ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι γιγνώσκοντες τὰ σφέτερα αὐτῶν (εὖ οἶδ' ὅτι) σώζουσι, καὶ ἐνθένδε ἄνδρες οὔτε ὄντα οὔτε ἂν γενόμενα λογοποιοῦσιν, οὓς ἐγὼ οὐ νῦν πρῶτον, ἀλλ' ἀεὶ ἐπίσταμαι ἤτοι λόγοις γε τοιοῖσδε καὶ ἔτι τούτων κακουργοτέροις ἢ ἔργοις βουλομένους καταπλήξαντας τὸ ὑμέτερον πλῆθος αὐτοὺς τῆς πόλεως ἄρχειν. Καὶ δέδοικα μέντοι μή ποτε πολλὰ πειρῶντες καὶ κατορθώσωσιν· ἡμεῖς δὲ κακοὶ, πρὶν ἐν τῷ παθεῖν ὦμεν, προφυλάξασθαί τε καὶ αἰσθόμενοι ἐπεξελθεῖν. Τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν ἡσυχάζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς πολεμίους πλείονας ἢ πρὸς αὐτὴν ἀναι-

breuse. Je sais aussi qu'ils n'amèneront point de cavalerie; qu'ils n'en pourront trouver ici, si ce n'est quelque peu chez les Égestains, et qu'il ne viendra pas sur leurs vaisseaux autant d'hoplites que nous en avons. Pour parvenir ici, une navigation d'aussi longue durée serait difficile même à des vaisseaux non chargés, et ce qu'il leur faut transporter pour s'attaquer à une ville si grande que la nôtre n'est pas un petit embarras. C'est ce qui me fait croire que, si les Athéniens arrivaient possesseurs d'une autre ville aussi grande que Syracuse, et qu'établis sur la frontière ils nous fissent la guerre, ils échapperaient difficilement à une entière destruction; à plus forte raison quand dans la Sicile en armes, car elle s'unira tout entière, l'ennemi descendu de ses vaisseaux et retranché dans un camp ne pourra, crainte de notre cavalerie, s'écarter de ses petites tentes et de ce qui lui est nécessaire. Pour tout dire, je crois qu'ils ne sauraient même occuper notre campagne, tant nos moyens me semblent supérieurs aux leurs.

38. « Mais, tout ce que j'avance, les Athéniens le savent aussi bien que nous et ne s'occupent, j'en suis sûr, qu'à préserver leurs propres biens; tandis que des hommes ici inventent ce qui n'est pas et ne saurait être. Ces gens-là, je les connais non d'aujourd'hui, mais de tout temps : par de semblables discours et de plus perfides encore, même par des actes, ils veulent en effrayant votre peuple s'emparer de la Ville. Et je crains qu'un jour, par toutes leurs menées, ils ne réussissent, et que par notre lâcheté nous ne puissions nous prémunir avant d'éprouver le péril et nous en venger après l'avoir connu. C'est ainsi que notre ville jouit si rarement du repos, et est en proie à tant de séditions et de luttes

ρεῖται, τυραννίδας δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους. Ὧν ἐγὼ πειράσομαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μή ποτε ἐφ' ἡμῶν τι περιιδεῖν γενέσθαι, ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μόνον αὐτοφώρους (χαλεπὸν γὰρ ἐπιτυγχάνειν), ἀλλὰ καὶ ὧν βούλονται μὲν, δύνανται δ' οὔ (τὸν γὰρ ἐχθρὸν οὐχ ὧν δρᾷ μόνον, ἀλλὰ καὶ τῆς διανοίας προαμύνεσθαι χρὴ, εἴπερ καὶ μὴ προφυλαξάμενός τις προπείσεται)· τοὺς δ' αὖ ὀλίγους τὰ μὲν ἐλέγχων, τὰ δὲ φυλάσσων, τὰ δὲ καὶ διδάσκων· μάλιστα γὰρ δοκῶ ἄν μοι οὕτως ἀποτρέπειν τῆς κακουργίας. Καὶ δῆτα, ὃ πολλάκις ἐσκεψάμην, τί καὶ βούλεσθε, ὦ νεώτεροι; πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον· ὁ δὲ νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμένους ἐτέθη ἀτιμάζειν. Ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι; καὶ πῶς δίκαιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι;

λθ'. « Φήσει τις δημοκρατίαν οὔτε ξυνετὸν οὔτ' ἴσον εἶναι, τοὺς δ' ἔχοντας τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους. Ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετοὺς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλοὺς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. Ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δ' ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ

plus fréquentes contre elle-même que contre les ennemis, et parfois contre des tyrannies et des pouvoirs iniques. Je tâcherai donc, si vous voulez suivre mes avis, que rien de semblable ne puisse jamais se renouveler de nos jours. Avec vous, qui formez le plus grand nombre, c'est à la persuasion que j'aurai recours, et, contre les artisans de ces trames, aux châtiments, aussi bien contre ceux pris en flagrant délit (quoique difficiles à découvrir), que contre d'autres impuissants à accomplir les crimes qu'ils méditent. Car c'est d'avance qu'il faut se défendre contre les atteintes et même contre les intentions de l'ennemi, puisque ne se prémunissant pas d'avance, d'avance on souffrira. Quant aux oligarques, je veux les réfuter, m'en défendre et même les instruire; c'est le meilleur moyen, selon moi, de les détourner du crime. D'ailleurs, ô jeunes gens, car c'est à quoi j'ai souvent réfléchi, que voulez-vous enfin? commander déjà? Mais la loi le défend, et cette loi fut établie plutôt pour vous priver des honneurs vu l'incapacité de votre âge, que pour vous en priver quand vous vous serez rendus capables*. Mais vous ne voulez pas être confondus par la loi dans ce niveau de la foule, et comment serait-il juste pour des égaux de ne pas jouir de l'égalité?

* Ceci semble une allusion faite par Thucydides à la jeunesse d'Alcibiades.

39. « On dira que la démocratie n'a ni intelligence ni justice, et que les riches sont même les plus capables de gouverner le mieux. J'affirme que le peuple s'appelle le Tout, et l'oligarchie une fraction; puis, que les riches excellent à garder les richesses, les intelligents à donner les meilleurs conseils, et la multitude à juger le mieux après avoir entendu. Dans une démocratie, toutes ces classes jouissent d'une parfaite égalité, chacune en partie, toutes en commun; tandis que l'oligarchie

καὶ ξύμπαν ἀφελομένη ἔχει· ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει κατασχεῖν. Ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοί ἐστε ὧν ἐγὼ οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε.

μ'. « Ἀλλ' ἤτοι μαθόντες γε ἢ μεταγνόντες τὸ τῆς πόλεως ξύμπασι κοινὸν αὔξετε, ἡγησάμενοι τοῦτο μὲν ἂν καὶ ἴσον καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν ἤπερ τὸ τῆς πόλεως πλῆθος μετασχεῖν, εἰ δ' ἄλλα βουλήσεσθε, καὶ τοῦ παντὸς κινδυνεῦσαι στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγγελιῶν ὡς πρὸς αἰσθομένους καὶ μὴ ἐπιτρέψοντας ἀπαλλάγητε. Ἡ γὰρ πόλις ἥδη, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὑτῆς, καὶ στρατηγοί εἰσιν ἡμῖν, οἳ σκέψονται αὐτά· καὶ εἰ μή τι αὐτῶν ἀληθές ἐστιν, ὥσπερ οὐκ οἴομαι, οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ ἑλομένη ὑμᾶς ἄρχοντας αὐθαίρετον δουλείαν ἐπιβαλεῖται, αὐτὴ δ' ἐφ' αὑτῆς σκοποῦσα τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυναμένους κρινεῖ, καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔργῳ φυλασσομένη μὴ ἐπιτρέπειν πειράσεται σώζειν. »

μα'. Τοιαῦτα μὲν Ἀθηναγόρας εἶπε, τῶν δὲ στρατηγῶν εἷς ἀναστὰς ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε. « Διαβολὰς μὲν οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους οὔτε τοὺς ἀκούοντας ἀποδέχε-

fait participer tout le peuple aux périls ; mais quant aux profits, non contente de s'en attribuer la grosse part, elle prend le tout et le garde ; c'est à cela qu'aspirent vos hommes puissants et votre jeunesse, mais ils n'y parviendront jamais dans une grande Ville. Cependant encore aujourd'hui, ô les plus insensés de tous les hommes, vous êtes ou les plus ineptes des Hellènes à moi connus, si vous ne voyez pas que vous courez à votre ruine, ou les plus coupables, si, le sachant, vous osez persister:

40. « Mieux informés donc, ou changeant d'avis, accroissez pour tous le bien public, et croyez que les gens de bien parmi vous y participeraient autant et plus même que le peuple de la Ville. Si vous avez d'autres vues, vous risquez de tout perdre. Cessez d'apporter de pareilles nouvelles à ceux qui devinent vos projets, et ne les toléreront pas. Car déjà cette Ville, quand même les Athéniens viendraient, saura les repousser d'une manière digne d'elle. Nous avons des généraux qui y veilleront; et si rien de tout cela n'est vrai, comme je le crois, la Ville ne se laissera pas effrayer par vos nouvelles, et ne s'imposera pas un esclavage volontaire, en vous choisissant pour chefs. Mais, se consultant elle-même, elle jugera que vos paroles équivalent à des actes, et loin de se laisser ravir sa liberté en les écoutant, c'est par la vigilance et des actions énergiques qu'elle tâchera de la sauver. »

41. Ainsi parla Athénagoras. Un des généraux, s'étant levé, sans permettre qu'aucun autre intervînt, dit lui-même ce qui suit sur la question présente : « Il n'est point sage de recourir à des calomnies mutuelles ou

σθαι, πρὸς δὲ τὰ ἐσαγγελλόμενα μᾶλλον ὁρᾷν, ὅπως εἶς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις καλῶς τοὺς ἐπιόντας παρασκευασόμεθα ἀμύνεσθαι. Καὶ ἣν ἄρα μηδὲν δεήσῃ, οὐδεμία βλάβη τοῦ γε τὸ κοινὸν κοσμηθῆναι καὶ ἵπποις, καὶ ὅπλοις, καὶ τοῖς ἄλλοις, οἷς ὁ πόλεμος ἀγάλλεται. Τὴν δ' ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν, καὶ τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. Τὰ δὲ καὶ ἐπιμεμελήμεθα ἤδη, καὶ ὅ τι ἂν αἰσθώμεθα, ἐς ὑμᾶς οἴσομεν. »

Καὶ οἱ μὲν Συρακούσιοι, τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ, διελύθησαν ἐκ τοῦ ξυλλόγου.

μϐ'. Οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε καὶ οἱ ξύμμαχοι ἅπαντες ἦσαν. Καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο, καὶ τρία μέρη νείμαντες, ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα πλέοντες ἀπορῶσιν ὕδατος, καὶ λιμένων, καὶ τῶν ἐπιτηδείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἄλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι· ἔπειτα δὲ προύπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται. Καὶ εἴρητο αὐταῖς προαπαντᾷν, ὅπως ἐπιστάμενοι καταπλέωσι.

μγ'. Μετὰ δὲ ταῦτα τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κερκύρας ἐς τὴν Σικελίαν ἐπεραιοῦντο τριή-

d'y prêter l'oreille, mais plutôt de voir, d'après ce qu'on annonce, comment chacun en particulier et toute la Ville en commun nous nous préparerons tous à repousser les assaillants. Quand même on ne manquerait de rien, il n'y a aucun risque à bien pourvoir l'État en chevaux, en armes et en tout ce qui enorgueillit la guerre. C'est à nous à veiller avec soin à cet examen, et aussi à envoyer aux villes des députés pour savoir tout ce qui peut nous être nécessaire. Déjà nous y avons pourvu en partie, et tout ce que nous aurons appris nous vous le dirons. »

Les Syracusains, après ce discours du général, se retirèrent de l'assemblée.

42. Déjà les Athéniens étaient à Corcyre, eux et tous leurs alliés. D'abord les généraux firent une nouvelle revue de l'armée, et se concertèrent sur l'ordre dans lequel ils devaient aborder et camper. Ils divisèrent l'armée en trois parties, et se les partagèrent au sort, de peur que, s'ils naviguaient tous ensemble, ils ne manquassent d'eau, de ports et de vivres dans les lieux où ils aborderaient, et aussi afin que l'armée eût en tout plus de subordination, et fût plus facile à commander, chaque division étant soumise à un général. Puis ils s'empressèrent d'envoyer en Italie et en Sicile trois vaisseaux pour s'informer des villes qui les recevraient, avec ordre de revenir à la rencontre de la flotte, afin d'être renseignés avant d'aborder.

43. Cela fait, les Athéniens levèrent l'ancre de Corcyre et firent voile vers la Sicile avec l'appareil

ρεσι μὲν ταῖς πάσαις τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατὸν, καὶ δυοῖν Ῥοδίοιν πεντηκοντόροιν (τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατὸν, ὧν αἱ μὲν ἑξήκοντα ταχεῖαι, αἱ δ' ἄλλαι στρατιώτιδες, τὸ δὲ ἄλλο ναυτικὸν Χίων καὶ τῶν ἄλλων ξυμμάχων), ὁπλίταις δὲ τοῖς ξύμπασιν ἑκατὸν καὶ πεντακισχιλίοις (καὶ τούτων Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ θῆτες ἐπιβάται τῶν νεῶν, ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν τῶν ὑπηκόων, οἱ δ' Ἀργείων πεντακόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι), τοξόταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις (καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν), καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς φυγάσιν εἴκοσι καὶ ἑκατόν, καὶ ἱππαγωγῷ μιᾷ τριάκοντα ἀγούσῃ ἱππέας.

μδʹ. Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. Τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοὶ καὶ τοὺς σιτοποιοὺς ἔχουσαι καὶ λιθολόγους καὶ τέκτονας καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ ἑκατὸν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει· πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλλε τὸν Ἰόνιον κόλπον. Καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν Ἰαπυγίαν καὶ πρὸς Τάραντα καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν

que voici : l'ensemble des trirèmes s'élevait à cent trente-quatre, plus deux pentécontores de Rhodes. Dans ce nombre étaient cent trirèmes d'Athènes, dont soixante légères; les autres portaient les gens de guerre. Chios et les autres alliés avaient fourni le reste de la flotte. Les hoplites étaient en tout cinq mille cent hommes (dont quinze cents Athéniens portés sur le rôle, et sept cents thètes* dont on fit des soldats de marine ; le reste était des troupes alliées, fournies les unes par les villes sujettes, et cinq cents hommes par les Argéens : il y avait aussi deux cent cinquante Mantinéens et mercenaires). Les archers formaient en tout quatre cent quatre-vingts hommes, dont les quatre-vingts étaient Crétois. Il y avait sept cents frondeurs rhodiens, et cent vingt bannis de Mégare, armés à la légère. Un seul vaisseau pour le transport des chevaux portait trente cavaliers.

* Quatrième classe des citoyens, et la plus pauvre.

44. Tel fut pour cette guerre le premier armement considérable qui traversa la mer. Il était suivi de trente bâtiments pour le transport du blé, portant les vivres, les boulangers, les maçons, les charpentiers, et tous les instruments nécessaires aux fortifications. Cent bâtiments faisaient forcément partie du convoi; plusieurs autres navires et bâtiments de charge suivaient l'armée volontairement pour faire le négoce. Tous ces navires, sortant alors de Corcyre, traversèrent le golfe Ionique. L'armement entier, après avoir abordé, une partie au cap d'Iapygie, une autre à Tarente et là où il fut possible à chacun, côtoya l'Italie. On ne les recevait ni

πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὅρμῳ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις, ἕως ἀφίκοντο ἐς Ῥήγιον, τῆς Ἰταλίας ἀκρωτήριον. Καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο, καὶ ἔξω τῆς πόλεως, ὡς αὐτοὺς εἴσω οὐκ ἐδέχοντο, στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον, καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν. Καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας ὄντας Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν· οἱ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι, ἀλλ', ὅ τι ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν. Οἱ δὲ πρὸς τὰ ἐν Σικελίᾳ πράγματα ἐσκόπουν ὅτῳ τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

με'. Τοῖς δὲ Συρακουσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο ὅτι ἐν Ῥηγίῳ αἱ νῆές εἰσι καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ, καὶ οὐκέτι ἠπίστουν. Καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα μὲν φύλακας, πρὸς δὲ τοὺς πρέσβεις, καὶ ἐς τὰ περιπόλια τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον, τά τε ἐν τῇ πόλει ὅπλων ἐξετάσει καὶ ἵππων ἐσκόπουν εἰ ἐντελῆ ἐστι, καὶ τἆλλα ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι καθίσταντο.

μϛ'. Αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παρα-

dans les marchés ni dans les villes, on leur permettait seulement d'ancrer pour faire de l'eau, ce qui leur fut même refusé par la ville de Tarente et par les Locriens. Ils arrivèrent enfin à Rhégion, promontoire d'Italie, et c'est là qu'ils se rassemblèrent. Comme on ne les reçut pas dans la ville, ce fut en dehors qu'ils dressèrent leur camp, dans l'hiéron de Diane, où un marché leur fut accordé. Après avoir tiré leurs vaisseaux à terre, ils se reposèrent et firent des ouvertures aux Rhégiens réclamant d'eux, puisqu'ils étaient Chalcidéens, de secourir les Léontins qui étaient aussi Chalcidéens. Les Rhégiens répondirent qu'ils resteraient neutres, et n'agiraient que de concert avec les autres Italiôtes. Les Athéniens observaient l'état des choses en Sicile, et par quel moyen ils pourraient le mieux réussir; en même temps, ils attendaient d'Égeste le retour des vaisseaux expédiés en avant, pour savoir s'il s'y trouvait en effet tout l'argent que les envoyés avaient annoncé à Athènes.

45. Cependant les Syracusains recevaient déjà de plusieurs endroits, et par ceux-là mêmes qu'on avait envoyés en observation, la nouvelle certaine que les vaisseaux d'Athènes étaient à Rhégion. D'après cela, n'ayant plus aucun doute ils prirent contre eux leurs dispositions d'un accord unanime. Ils envoyèrent partout chez les Sicèles, ici des gardes, là des députés; mirent des garnisons dans les péripolies* du pays; et ayant fait dans la Ville la revue des armes et des chevaux, ils examinèrent si rien ne manquait; enfin, ils disposèrent tout comme pour une guerre imminente et presque commencée.

* Forts disséminés dans le pays.

46. Les trois vaisseaux envoyés en avant à Égeste re-

γίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον ἀγγέλλουσαι ὅτι τἆλλα μὲν οὐκ ἔστι χρήματα, ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα φαίνεται. Καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκεκρούκει καὶ οἱ Ῥηγῖνοι οὐκ ἐθελήσαντες ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν καὶ εἰκὸς ἦν μάλιστα Λεοντίνων τε ξυγγενεῖς ὄντας καὶ σφίσιν ἀεὶ ἐπιτηδείους. Καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ παρὰ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. Οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε, ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν τῶν χρημάτων. Ἔς τε τὸ ἐν Ἔρυκι ἱερὸν τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς, ἐπέδειξαν τὰ ἀναθήματα, φιάλας τε καὶ οἰνοχόας, καὶ θυμιατήρια, καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην, ἃ ὄντα ἀργυρᾶ πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως χρημάτων παρείχετο· καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηριτῶν, τά τε ἐξ αὐτῆς Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων αἰτησάμενοι, ἐσέφερον ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι. Καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων καὶ πανταχοῦ πολλῶν φαινομένων, μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριήρων Ἀθηναίοις παρεῖχε, καὶ ἀφικόμενοι ἐς τὰς Ἀθήνας διεθρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν. Καὶ οἱ μὲν, αὐτοί τε ἀπατηθέντες καὶ τοὺς ἄλλους τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λό-

vinrent à Rhégion annoncer aux Athéniens que, de tout l'argent qu'on avait promis, il ne paraissait y avoir que trente talents. Les généraux se trouvèrent soudain découragés de ce premier contre-temps et du refus des Rhégiens de concourir à l'expédition malgré les instances qu'on leur fit d'abord, et la probabilité de leur assentiment, vu leur commune origine avec les Léontins et leur ancienne amitié avec Athènes. Quant à Égeste, Nicias s'y était attendu, mais les deux autres généraux en furent surpris. Voici ce que les Égestains avaient imaginé, quand les premiers députés d'Athènes vinrent chez eux pour s'informer de leur état pécuniaire : ils les conduisirent à Éryx, dans le temple de Vénus, et leur montrèrent les offrandes qui s'y trouvaient pour le vin, des fioles, des aiguières, des encensoirs et beaucoup d'autres objets qui, tout en étant d'argent avaient une apparence bien supérieure à leur peu de valeur. Ils invitèrent chez eux en particulier les matelots des trirèmes; et, après avoir rassemblé les coupes d'or et d'argent qu'il y avait à Égeste même et emprunté celles des villes voisines, phœniciennes et helléniques, ils les faisaient apporter dans les repas, comme étant la propriété de chacun. Cette même vaisselle servait donc le plus souvent à tous, en sorte que partout, à la vue d'une telle quantité, les Athéniens des trirèmes en étaient éblouis; et, de retour à Athènes, ils ne parlaient partout que des grandes richesses qu'ils avaient vues. Ces gens, trompés eux-mêmes, induisirent ainsi les autres en erreur; et quand le bruit se fut répandu qu'il n'y avait point à Égeste l'argent annoncé, ils reçurent de grands reproches de la part des soldats. Les généraux délibérèrent sur les circonstances présentes.

γος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν· οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο.

μζ´. Καὶ Νικίου μὲν ἦν γνώμη πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ, ἐφ' ὅπερ μάλιστα ἐπέμφθησαν, καὶ, ἢν μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι, πρὸς ταῦτα βουλεύεσθαι, εἰ δὲ μὴ, ταῖς ἑξήκοντα ναυσὶν, ὅσας περ ᾐτήσαντο, ἀξιοῦν διδόναι αὐτοὺς τροφὴν, καὶ παραμείναντας Σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς, καὶ οὕτω παραπλεύσαντας τὰς ἄλλας πόλεις καὶ ἐπιδείξαντας μὲν τὴν δύναμιν τῆς Ἀθηναίων πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς φίλους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν μή τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε ὦσιν ὠφελῆσαι, ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι, καὶ τῇ πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν.

μη´. Ἀλκιβιάδης δὲ οὐκ ἔφη χρῆναι, τοσαύτῃ δυνάμει ἐκπλεύσαντας, αἰσχρῶς καὶ ἀπράκτως ἀπελθεῖν, ἀλλ' ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι πλὴν Σελινοῦντος καὶ Συρακουσῶν τὰς ἄλλας, καὶ πειρᾶσθαι καὶ τοὺς Σικελοὺς τοὺς μὲν ἀφιστάναι ἀπὸ τῶν Συρακουσίων, τοὺς δὲ φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν ἔχωσι, πρῶτον δὲ πείθειν Μεσσηνίους (ἐν πόρῳ γὰρ μάλιστα καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας, καὶ λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην

47. L'avis de Nicias était de faire voile avec toute la flotte pour Sélinonte, principal but de l'expédition, et, si les Égestains fournissaient de l'argent pour toute l'armée, de se décider en conséquence, sinon, de les requérir de pourvoir à la subsistance des soixante vaisseaux qu'ils avaient demandés, de s'arrêter à Sélinonte, jusqu'à ce qu'on eût réconcilié ses habitants avec les Égestains, soit de force, soit par un accord, de côtoyer les autres villes de la Sicile, et, après avoir étalé la puissance de la ville d'Athènes, et montré son zèle en faveur de ses amis et de ses alliés, de revenir (à moins qu'on ne pût vite et inopinément être utile aux Léontins, ou s'attacher quelque autre ville), enfin de ne pas mettre Athènes en danger par des dépenses qu'elle aurait à supporter.

48. Alcibiades dit qu'il ne convenait pas, après avoir mis en mer avec des forces si considérables, de s'en retourner honteusement et sans avoir rien fait; mais qu'il fallait envoyer des hérauts dans toutes les villes, excepté Sélinonte et Syracuse, et faire aussi des tentatives auprès des Sicèles, pour en détacher de Syracuse une partie et gagner l'amitié des autres qui fourniraient des subsistances et des troupes; mais d'abord mettre dans ses intérêts les Messiniens, dont la ville, située sur le passage le plus voisin de la Sicile, rendait son abord facile, et offrirait à l'armée un port et un mouillage très-convenables; enfin, qu'après s'être attiré les villes

ἔσεσθαι)· προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας μεθ' ὧν τις πολεμήσει, οὕτως ἤδη Συρακούσαις και Σελινοῦντι ἐπιχειρεῖν, ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν, οἱ δὲ Λεοντίνους ἐῶσι κατοικίζειν.

μθ'. Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι, ἕως ἔτι ἀπαράσκευοί τέ εἰσι καὶ μάλιστα ἐκπεπληγμένοι. Τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον· Αἰφνίδιον δὲ ἢν προσπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται, μάλιστ' ἂν σφεῖς περιγενέσθαι, καὶ κατὰ πάντα ἂν αὐτοὺς ἐκφοβῆσαι, τῇ τε ὄψει (πλεῖστοι γὰρ ἂν νῦν φανῆναι) καὶ τῇ προσδοκίᾳ ὧν πείσονται, μάλιστα δ' ἂν τῷ αὐτίκα κινδύνῳ τῆς μάχης Εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀπολειφθῆναι ἔξω, διὰ τὸ ἀπιστεῖν σφᾶς μὴ ἥξειν, καὶ ἐσκομιζομένων αὐτῶν τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἢν πρὸς τῇ πόλει κρατοῦσα καθέζηται. Τούς τε ἄλλους Σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμμαχήσειν, καὶ σφίσι προσιέναι, καὶ οὐ διαμελλήσειν περισκοποῦντας ὁπότεροι κρατήσουσι. Ναύσταθμον δὲ, ἐπαναχωρήσαντας καὶ ἐφορμηθέντας, Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι, ἃ ἦν ἔρημα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.

ν'. Λάμαχος μὲν ταῦτα εἰπὼν, ὅμως προσέθετο καὶ

et avoir reconnu celles avec lesquelles on ferait en commun la guerre, on attaquerait alors Syracuse et Sélinonte, à moins que celle-ci ne s'accordât avec les Égestains, et que celle-là ne consentît au rétablissement des Léontins.

49. Lamachos dit ouvertement qu'il fallait cingler vers Syracuse, et livrer la bataille près de la ville au plus vite, pendant que l'ennemi était encore sans défense et dans la plus grande consternation; vu qu'au premier abord toute armée est très-redoutable; tandis que, si elle temporise, on reprend courage avant de la voir, et on la méprise encore plus après l'avoir vue; mais que, si les Athéniens tombaient à l'improviste sur l'ennemi que l'expectative terrifiait, ils auraient le dessus sans peine par l'effroi que causerait tout à la fois leur aspect (la peur grossirait leur nombre), l'attente des maux qu'on aurait à souffrir, et surtout le danger immédiat du combat; que, parmi les Syracusains, plusieurs devaient être restés au dehors dans leurs champs, ne croyant pas que les Athéniens viendraient; et qu'au moyen des approvisionnements apportés, l'armée ne manquerait pas d'argent, lorsque victorieuse elle viendrait assiéger la ville; que dès lors les autres Sicéliôtes, abandonnant l'alliance de Syracuse, préféreraient celle d'Athènes, sans différer pour épier quelles seraient les chances de la victoire. Lamachos ajouta qu'il fallait retourner à Mégara, s'y tenir en station, se faire un mouillage de cette place abandonnée, qui, par terre et par mer, n'était pas fort éloignée de Syracuse.

50. Telle fut l'opinion de Lamachos, qui se rangea

αὐτὸς τῇ Ἀλκιβιάδου γνώμῃ. Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης, τῇ αὑτοῦ νηῒ διαπλεύσας ἐς Μεσσήνην, καὶ λόγους ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτοὺς, ὡς οὐκ ἔπειθεν, ἀλλ' ἀπεκρίναντο πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν δ' ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ Ῥήγιον. Καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν οἱ στρατηγοὶ καὶ τὰ ἐπιτήδεια λαβόντες παρέπλεον ἐς Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες καὶ ἕνα σφῶν αὐτῶν. Ναξίων δὲ δεξαμένων τῇ πόλει, παρέπλεον ἐς Κατάνην. Καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο (ἐνῆσαν γὰρ αὐτόθι ἄνδρες τὰ Συρακουσίων βουλόμενοι), ἐκομίσθησαν ἐπὶ τὸν Τηρίαν ποταμὸν, καὶ αὐλισάμενοι τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον ἐπὶ κέρως, ἔχοντες τὰς ἄλλας ναῦς· Δέκα δὲ τῶν νεῶν προὔπεμψαν ἐς τὸν μέγαν λιμένα πλεῦσαί τε καὶ κατασκέψασθαι εἴ τι ναυτικόν ἐστι καθειλκυσμένον, καὶ κηρύξαι ἀπὸ τῶν νεῶν προσπλεύσαντας ὅτι Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων ὡς παρὰ φίλους καὶ εὐεργέτας Ἀθηναίους ἀδεῶς ἀπιέναι. Ἐπεὶ δ' ἐκηρύχθη, καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην.

να'. Καὶ ἐκκλησίας γενομένης, τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς ἐσελθόντας

toutefois lui-même à l'avis d'Alcibiades. C'est alors que celui-ci passa sur son vaisseau à Messine, et fit aux habitants des propositions d'alliance, qui ne furent pas acceptées; et, sur leur réponse qu'on ne saurait recevoir l'armée dans la ville, mais qu'on lui accorderait un marché en dehors, il fit voile pour Rhégion. Les généraux aussitôt armèrent de troupes soixante vaisseaux, prirent des vivres et cinglèrent le long des côtes vers Naxos, laissant à Rhégion un des leurs avec le reste de l'armée. Après avoir été reçus par les Naxiens dans leur ville, ils longèrent la côte jusqu'à Catane. Mais les Catanæens ayant refusé de les recevoir (il y avait là un parti favorable aux Syracusains), ils se portèrent vers le fleuve Térias, y passèrent la nuit, et le lendemain voguèrent vers Syracuse, en faisant marcher à la file ce qui leur restait de vaisseaux; car ils en avaient expédié dix en avant, avec ordre de se rendre dans le grand port, d'observer si quelque escadre y était mise à flot, et, en s'approchant du rivage, de proclamer du haut des vaisseaux que les Athéniens venaient pour rétablir les Léontins dans leur ville, comme étant leurs parents et alliés; qu'ainsi donc les Léontins qui se trouvaient à Syracuse pouvaient se rendre sans crainte auprès des Athéniens, leurs amis et bienfaiteurs. Après avoir fait cette proclamation et observé la ville, les ports et tous les lieux d'alentour, d'où il fallait diriger les attaques, ils revinrent à Catane.

51. Les Catanæens, ayant convoqué une assemblée, refusèrent de recevoir l'armée, mais permirent aux gé-

ἐκέλευον εἴ τι βούλονται εἰπεῖν. Καὶ λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων, οἱ στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον διελόντες, καὶ ἐσελθόντες ἠγόραζον ἐς τὴν πόλιν. Τῶν δὲ Καταναίων οἱ μὲν τὰ τῶν Συρακουσίων φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι ὑπεξῆλθον οὐ πολλοί τινες οἱ δὲ ἄλλοι ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις, καὶ τὸ ἄλλο στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν. Μετὰ δὲ τοῦτο πλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον, πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.

νβʹ. Ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης ὡς, εἰ ἔλθοιεν, προσχωροῖεν ἄν, καὶ ὅτι Συρακούσιοι πληροῦσι ναυτικόν. Ἁπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν πρῶτον μὲν ἐπὶ Συρακούσας· καὶ, ὡς οὐδὲν εὗρον ναυτικὸν πληρούμενον, παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης, καὶ σχόντες ἐς τὸν αἰγιαλὸν, ἐπεκηρυκεύοντο. Οἱ δ' οὐκ ἐδέχοντο λέγοντες σφίσι τὰ ὅρκια εἶναι μιᾷ νηῒ καταπλεόντων Ἀθηναίων δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν. Ἄπρακτοι δὲ γενόμενοι, ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συρακουσίας, καὶ ἁρπαγὴν ποιησάμενοι, καὶ τῶν Συρακουσίων ἱππέων βοηθησάντων καὶ τῶν ψιλῶν τινὰς ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην.

νγʹ. Καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν

néraux d'entrer et de dire ce qu'ils voulaient. Pendant qu'Alcibiades parlait, et que l'attention des habitants se portait vers l'assemblée, les soldats, sans être aperçus, démolirent une petite porte mal murée, et, s'étant introduits dans la ville, y faisaient des emplettes. Dès que ceux des Catanæens, partisans de Syracuse, virent l'armée dans la ville, saisis de frayeur, ils s'en évadèrent; les autres en petit nombre votèrent pour l'alliance avec les Athéniens, et permirent qu'on fît venir de Rhégion le reste des troupes. Ensuite les vaisseaux athéniens voguèrent vers Rhégion, revinrent débarquer à Catane avec toute l'armée, et y campèrent.

52. On leur annonçait de Camarine que cette ville se rendrait à eux s'ils y allaient, et que les Syracusains équipaient une flotte. Ils partirent donc avec toute l'armée et se rendirent d'abord à Syracuse, en longeant la côte; et, n'y ayant trouvé aucune flotte équipée, ils continuèrent leur route jusqu'à Camarine, abordèrent au rivage et envoyèrent un héraut aux Camarinæens. Mais ceux-ci ne les accueillirent pas, alléguant que d'après leurs serments, ils ne pouvaient recevoir les Athéniens que s'ils arrivaient sur un seul vaisseau, à moins qu'un plus grand nombre n'eût été mandé par eux-mêmes. Les Athéniens, n'ayant pu rien obtenir, s'en retournèrent et descendirent sur un point du territoire de Syracuse, où ils firent du butin; mais, comme la cavalerie syracusaine accourut et leur tua quelques soldats de la troupe légère qui s'étaient dispersés, ils revinrent à Catane.

53. Ils y trouvèrent la galère Salaminienne, qui arri-

Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ᾽ ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν μετ᾽ αὐτοῦ μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν. Οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς Ἑρμᾶς δρασθέντων, καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτὰς, ἀλλὰ πάντας ὑπόπτως ἀποδεχόμενοι διὰ πονηρῶν ἀνθρώπων πίστιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν, χρησιμώτερον ἡγούμενοι εἶναι βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρίαν τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον διαφυγεῖν. Ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην, καὶ προσέτι οὐδ᾽ ὑφ᾽ ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν ἀλλ᾽ ὑπὸ τῶν Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ καὶ πάντα ὑπόπτως ἐλάμβανε.

νδʹ. Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι᾽ ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων οὐδὲ περὶ τοῦ γενομένου ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος, ὥσπερ οἱ πολλοὶ οἴονται, ἀλλ᾽ Ἱππίας πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. Γενομένου

vait d'Athènes, envoyée contre Alcibiades pour lui ordonner de venir se justifier de ce dont la république l'accusait, et contre quelques autres des soldats qui avaient été dénoncés avec lui, les uns comme ayant profané les mystères, et les autres pour l'affaire des hermès. Depuis le départ de l'armée, les Athéniens n'avaient pas ralenti leurs recherches sur l'attentat commis au sujet des mystères et des hermès. Sans examiner les dénonciateurs, dans leurs soupçons ils les accueillaient tous, et, sur la foi d'hommes pervers, arrêtaient et mettaient aux fers de très-honorables citoyens. Ils jugeaient plus utile d'employer la violence pour bien scruter cette affaire et découvrir la vérité, que de laisser échapper même un honnête homme accusé sans autre preuve que la perversité du délateur. Car le peuple, sachant par ouï-dire que la tyrannie de Pisistrate et de ses fils avait fini par être dure, et que de plus elle ne fut abolie ni par lui-même ni par Harmodios, mais par les Lacédémoniens, était toujours dans la crainte et tout lui était suspect.

54. L'entreprise audacieuse d'Aristogiton et d'Harmodios fut le résultat d'une aventure amoureuse. En exposant plus au long cet événement, je démontrerai que ni d'autres peuples, ni les Athéniens eux-mêmes, n'ont rien dit d'exact sur leurs tyrans ni sur cet événement. Pisistrate* étant mort en possession de la tyrannie dans un âge avancé, ce ne fut pas, ainsi qu'on le croit généralement, Hipparque, mais Hippias qui

* Pisistrate II.

δὲ Ἀρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ, Ἀριστογείτων ἀνὴρ τῶν ἀστῶν, μέσος πολίτης, ἐραστὴς ὢν εἶχεν αὐτόν. Πειραθεὶς δὲ ὁ Ἀρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, καὶ οὐ πεισθεὶς, καταγορεύει τῷ Ἀριστογείτονι· Ὁ δὲ ἐρωτικῶς περιαλγήσας, καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτὸν, ἐπιβουλεύει εὐθὺς ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως κατάλυσιν τῇ τυραννίδι. Καὶ ἐν τούτῳ ὁ Ἵππαρχος, ὡς, αὖθις πειράσας, οὐδὲν μᾶλλον ἔπειθε τὸν Ἀρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾷν, ἐν τόπῳ δέ τινι ἀφανεῖ, ὡς οὐ διὰ τοῦτο δὴ, παρεσκευάζετο προπηλακιῶν αὐτόν. Οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλοὺς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων, τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν, καὶ τοὺς πολέμους διέφερον, καὶ ἐς τὰ ἱερὰ ἔθυον. Τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀεί τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. Καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίοις ἀρχὴν, καὶ Πεισίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντος υἱὸς, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου. Καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ, ἠφάνισε τοὐπίγραμμα· τοῦ

eut le pouvoir comme fils aîné. Harmodios, à la fleur de l'âge, était d'une éclatante beauté; Aristogiton, citoyen de condition moyenne, en fut épris et réussit dans sa passion. Les propositions d'Hipparque, fils de Pisistrate, furent rejetées d'Harmodios, qui en instruisit Aristogiton. Celui-ci, frappé d'une très-grande douleur amoureuse, et craignant qu'Hipparchos n'usât de sa puissance pour s'emparer d'Harmodios par la force, se préoccupa aussitôt d'user de son crédit pour détruire la tyrannie. Cependant Hipparque, qui dans une seconde tentative n'avait pas mieux réussi auprès d'Harmodios, ne voulut employer aucune violence, mais se préparait à lui faire un affront d'une manière indirecte, comme si de rien n'était. Hipparque, pour son administration en général, n'était pas odieux au peuple et gouvernait sans mériter le blâme. Ces tyrans s'appliquèrent le plus possible à gouverner avec grande vertu et sagesse; et, ne levant sur les Athéniens que le vingtième des revenus, ils ornèrent leur ville de beaux établissements; ils supportaient le poids des guerres, et sacrifiaient dans les temples. Mais, pour tout le reste, c'était la ville elle-même qui se régissait d'après les anciennes lois. Ils avaient soin cependant que quelques-uns de leur famille occupassent toujours les principaux emplois. Plusieurs d'entre eux eurent à Athènes la magistrature annuelle, entre autres Pisistrate, fils du tyran Hippias, et portant le nom de son grand-père. Ce Pisistrate était archonte lorsqu'il dédia l'autel des douze dieux qui est dans la place publique, et celui d'Apollôn au temple Pythien. Plus tard, le peuple athénien, ayant ajouté aux constructions pour exhausser l'autel qui était dans la place, fit disparaître l'inscrip-

δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν ἐστιν ἀμυδροῖς γράμμασι λέγον τάδε·

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
Θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

νε'. Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἳ αὐτῷ ἐκ Μυῤῥίνης τῆς Καλλίου τοῦ Ὑπερεχίδου θυγατρὸς ἐγένοντο. Εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι. Καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπεοικότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. Οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες τοῖς μὲν πολίταις φοβερὸν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ

tion ; mais celle de l'autel qui est dans le temple Pythien se voit encore en lettres en partie effacées ; elle porte ceci :

« Pisistrate, fils d'Hippias, posa dans le temple d'Apollôn Pythien ce monument de son archontat. »

55. Qu'Hippias ait régné comme fils aîné, c'est ce que j'affirme, le sachant par tradition orale plus exactement que d'autres ; on peut aussi s'en convaincre par ce qui suit. Il paraît que parmi ses frères légitimes il fut le seul qui eut des enfants, comme l'indique l'autel et la stèle érigée dans la citadelle d'Athènes au sujet de l'iniquité des tyrans. On n'y trouve inscrit aucun enfant de Thessalos ni d'Hipparchos, mais cinq enfants d'Hippias ; il les eut de Myrrhine, fille de Callias, fils d'Hypéréchides ; il était naturel en effet que l'aîné se mariât le premier. D'ailleurs sur la première stèle il est inscrit le premier après son père ; ce qui n'est pas moins naturel puisqu'étant l'aîné, il lui succédait au gouvernement. Il me semble en outre qu'Hippias n'aurait pu sans peine s'emparer immédiatement de la tyrannie, si le jour même où Hipparchos mourait dans l'exercice du pouvoir il lui eût succédé. Mais par l'habitude antérieurement prise de se faire craindre des citoyens et de bien choisir ses gardes, il maintint son pouvoir dans la plus profonde sécurité, et n'éprouva pas l'embarras où il se serait trouvé, si plus jeune que son frère, il n'eût pu dès longtemps se familiariser au gouvernement. Or, il arriva qu'Hipparchos, devenu célèbre par sa malheureuse aventure,

δὲ ξυνέβη τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

νϛ'. Τὸν δ' οὖν Ἁρμόδιον, ἀπαρνηθέντα τὴν πείρασιν, ὥσπερ διενοεῖτο, προὐπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινι, ἀπήλασαν λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι. Χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου, πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ Ἀριστογείτων παρωξύνετο. Καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομπὴν πέμψαντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτοὺς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους. Ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες ἀσφαλείας οὕνεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παραχρῆμα ἔχοντάς γε ὅπλα ἐθελήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν.

νζ'. Καὶ ὡς ἐπῆλθεν ἡ ἑορτὴ, Ἱππίας μὲν ἔξω εν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δρουφόρων διεκόσμει ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι, ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων ἔχοντες ἤδη τὰ ἐγχειρίδια ἐς τὸ ἔργον προήεσαν. Καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ (ἦν δὲ πᾶσιν εὐπρόσοδος ὁ Ἱππίας), ἔδεισαν καὶ ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσε-

acquit aussi dans la suite le renom d'avoir occupé la tyrannie.

56. Cependant Hipparchos outragea, comme il en avait l'intention, Harmodios, qui avait repoussé sa tentative. Une sœur de celui-ci, jeune vierge, désignée pour venir porter la corbeille sacrée dans une solennité, en fut chassée, sous prétexte qu'on n'avait pu l'inviter à un honneur dont elle était indigne. Harmodios supporta cet affront avec peine, et, à cause de lui Aristogiton en fut encore plus irrité. Après avoir pris toutes les mesures, de concert avec ceux qui devaient participer au complot, ils attendirent les grandes Panathénées, seul jour où le rassemblement en armes de ceux qui formaient le cortége n'inspirait pas de défiance : tous deux devaient porter les premiers coups, et les conjurés accourir à leur secours contre les gardes. Pour plus de sûreté, les conspirateurs étaient peu nombreux et ils espéraient que ceux qui n'étaient pas prévenus, dès qu'ils verraient même un petit nombre se dévouer n'hésiteraient pas, étant armés, à se délivrer aussitôt eux-mêmes.

57. La fête arrivée, Hippias, hors de la ville, dans l'endroit appelé le Céramique, réglait avec ses gardes tous les détails concernant la marche du cortége, lorsque Harmodios et Aristogiton, armés déjà de leurs poignards, s'avancèrent pour le frapper. Mais, voyant un de leurs conjurés causer familièrement avec Hippias (car Hippias était accessible à tous), saisis de crainte, ils se crurent dénoncés et sur le point d'être arrêtés. Ils voulurent donc auparavant se venger, s'ils le pouvaient, de l'auteur d'un outrage qui leur faisait ris-

σθαι. Τὸν λυπήσαντα οὖν σφᾶς, καὶ δι' ὅνπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσασθαι, καὶ ὥσπερ εἶχον ὥρμησαν εἴσω τῶν πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον, καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον, καὶ ἀποκτείνουσιν αὐτόν. Καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα διαφεύγει ὁ Ἀριστογείτων, ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται.

νη'. Ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικὸν, οὐκ ἐπὶ τὸ γενόμενον ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας, πρότερον ἢ αἰσθέσθαι αὐτοὺς ἄποθεν ὄντας, εὐθὺς ἐχώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν ἐκέλευσεν αὐτοὺς, δείξας τι χωρίον, ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. Καὶ οἱ μὲν ἀνεχώρησαν οἰόμενοί τι ἐρεῖν αὐτὸν, ὁ δὲ, τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς οὓς ἐπῃτιᾶτο καὶ εἴ τις εὑρέθη ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.

νθ'. Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. Τοῖς δ' Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη, καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν τῶν τε πολιτῶν πολ-

quer leur vie ; sans plus attendre, ils franchirent les portes de la ville, et, rencontrant Hipparchos près de l'endroit nommé Léôcorion, ils tombèrent sur lui; soudain, sans réfléchir et pleins de colère, l'un de jalousie, l'autre pour l'outrage qu'il avait reçu, ils le frappèrent à coups redoublés et le tuèrent. Aristogiton s'échappa pour l'instant aux gardes dans la foule qui accourut; mais, arrêté plus tard, son sort n'en fut pas meilleur. Quant à Harmodios, il fut aussitôt tué là sur les lieux.

58. Dès que cette nouvelle fut parvenue à Hippias au Céramique, il se rendit, non sur le lieu même, mais vers ceux qui escortaient la pompe avec leurs armes, avant qu'ils eussent pu rien savoir, vu leur éloignement; composant son visage pour cacher ce malheur, il leur enjoignit de se rendre sans armes à un endroit qu'il leur désigna. Ils y allèrent, croyant qu'il avait quelque chose à leur dire; mais Hippias, ayant donné l'ordre à ses satellites de recevoir les armes, choisit aussitôt ceux qu'il soupçonnait et quiconque fut trouvé muni d'un poignard; car, dans les processions, on portait d'ordinaire le bouclier et la lance.

59. C'est ainsi qu'un dépit amoureux fit naître ce complot, et que, par une terreur soudaine, Harmodios et Aristogiton se portèrent à cette audace désespérée. Après cet événement la tyrannie fut plus dure pour les Athéniens, et dès lors Hippias, rendu plus craintif, fit périr un grand nombre de citoyens tout en considérant si, en cas de révolution, il verrait au dehors

λοὺς ἔκτεινε καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφάλειάν τινα ὁρῴη, μεταβολῆς γενομένης, ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖος ὢν Λαμψακηνῷ ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. Καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε·

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
 Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις,
Ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
 Παίδων τ' οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

Τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων, καὶ παυθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνιδῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπονδος ἔς τε Σίγειον καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοστῷ ἤδη γέρων ὢν μετὰ Μήδων ἐστράτευσεν.

ξʹ. Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων, καὶ μιμνησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. Καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων πολλοί τε καὶ ἀξιόλογοι ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν, καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο,

où trouver son salut. Il donna donc, lui Athénien, sa fille Archédice à un homme de Lampsaque, à Æantides, fils d'Hippoclès, tyran de Lampsaque, parce qu'il savait cette famille en grand crédit auprès du roi Darius. Le tombeau d'Archédice est à Lampsaque et porte cette inscription :

« Cette poussière couvre Archédice, fille d'Hippias, cet homme qui dans la Grèce fut au premier rang parmi ses contemporains ; le père, le mari, les frères, les fils d'Archédice furent des tyrans, et néanmoins l'insolence n'égara point son âme. »

Hippias occupa encore trois ans la tyrannie à Athènes ; la quatrième année il fut déposé par les Lacédémoniens et par les Alcméônides exilés ; il partit, en vertu d'une convention, pour Sigéon, et vint chez Æantidès à Lampsaque, d'où il passa auprès du roi Darius : c'est de là qu'après vingt ans, déjà vieux, il vint avec les Mèdes combattre à Marathôn.

60. Le peuple athénien qui pensait à ces événements, et se rappelait tout ce qu'il en savait par ouï-dire, était alors devenu sévère et soupçonneux contre les prévenus de la profanation des mystères. Il croyait que tout avait été fait en vue d'un complot oligarchique et tyrannique. Comme, par l'effet de cette irritation des esprits, déjà plusieurs hommes respectables étaient en prison, sans qu'on entrevît de terme à ces rigueurs, et que, de jour en jour, l'exaspération portait à la férocité et multipliait les arrestations, alors, un des prisonniers, qui semblait être le plus coupable, fut amené par l'un de ses compagnons de captivité à donner des renseignements vrais

ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν, ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινὸς εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον. Λέγων δὲ ἔπεισεν αὐτὸν ὡς χρὴ, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησάμενον σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀδείας ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. Καὶ ὁ μὲν αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων, ἄσμενος λαβὼν, ὡς ᾤετο, τὸ σαφὲς, καὶ δεινὸν ποιούμενοι πρότερον εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους μετ' αὐτοῦ, ὅσων μὴ κατηγορήκει, ἔλυσαν, τοὺς δὲ καταιτιαθέντας, κρίσεις ποιήσαντες, τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. Κἀν τούτῳ οἱ μὲν παθόντες ἄδηλον ἦν εἰ ἀδίκως ἐτετιμώρηντο, ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι περιφανῶς ὠφέλητο.

ξα΄. Περὶ δὲ τοῦ Ἀλκιβιάδου, ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικὰ, ὧν ἐπαίτιος ἦν,

ou faux, — les conjectures là-dessus sont partagées; personne ni alors, ni plus tard, n'ayant pu rien dire de clair quant aux auteurs de ce fait, — et pour le persuader on lui dit qu'il fallait, ne fût-il pas coupable, se sauver lui-même en obtenant sa grâce, et délivrer la ville des soupçons existants; qu'il assurerait bien mieux son salut par un aveu suivi de l'impunité que par des dénégations qui le feraient mettre en jugement. Le prisonnier s'accusa donc lui-même et accusa d'autres aussi de la mutilation des hermès. Le peuple athénien reçut avec joie ce qu'il crut la vérité. Indigné jusqu'alors de ne pouvoir découvrir ceux qui avaient conspiré contre la démocratie, il relâcha aussitôt le dénonciateur et tous ceux que celui-ci n'avait pas accusés. Quant aux dénoncés, tous ceux qu'on put arrêter furent jugés et tués; ceux qui s'étaient échappés furent condamnés à mort, et de l'argent fut publiquement promis à qui les tuerait. On ignorait cependant si ceux qui périrent furent injustement punis; mais le reste de la ville éprouva dès lors un soulagement manifeste.

61. Quand Alcibiades fut mis en cause comme sacrilége par les mêmes ennemis qui l'avaient attaqué avant son départ, les Athéniens étaient fort courroucés contre lui; et du moment où ils se crurent éclairés sur l'affaire des hermès, celle des mystères dont Alcibiades était inculpé sembla plus que jamais tramée aussi par lui dans le même but de conspiration contre le peuple. En effet, au moment même où l'on était dans tout ce trouble, il advint qu'une armée de Lacédémoniens peu nombreuse

μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει πραχθῆναι. Καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον, ἐν ᾧ περὶ ταῦτα ἐθορυβοῦντο, μέχρι Ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. Ἐδόκει οὖν ἐκείνου πράξαντος καὶ οὐ Βοιωτῶν ἕνεκα ἀπὸ ξυνθήματος ἥκειν, καὶ, εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις. Καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. Οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι, καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι.

Παναταχόθεν τε περιεστήκει ὑποψία ἐς τὸν Ἀλκιβιάδην. Ὥστε, βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν ἐπί τε ἐκεῖνον καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο.

Εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλλαμβάνειν δὲ μὴ, θεραπεύοντες τό τε πρὸς τοὺς ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι' ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. Καὶ ὁ μὲν ἔχων τὴν ἑαυτοῦ ναῦν καὶ οἱ ξυνδιαβεβλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικε-

s'avança jusqu'à l'isthme, sous prétexte de quelque démêlé avec les Bœôtiens. On crut donc que c'était par les intrigues d'Alcibiades qu'elle venait d'accord avec lui et non par rapport aux Bœôtiens, et que, si l'on n'eût pas prévenu les conjurés, en les arrêtant sur la dénonciation portée contre eux, Athènes eût été trahie. Une nuit même, on coucha tout armé dans le temple de Thésée, qui est dans la ville. C'est à ce même moment que les hôtes d'Alcibiades à Argos furent soupçonnés de vouloir attaquer le peuple, et qu'en raison de cela les Athéniens livrèrent alors au peuple d'Argos, pour les faire mourir, les ôtages argéens déposés dans les îles.

De toutes parts les soupçons enveloppaient Alcibiades; aussi, afin de lui faire son procès et de le condamner à mort, on envoya la galère Salaminienne en Sicile pour l'amener, lui et tous les autres qui étaient dénoncés. L'ordre portait qu'on eût à le sommer de se rendre sur cette galère à Athènes pour s'y justifier, mais non pas de l'arrêter. On cédait à la crainte de causer quelque mouvement dans les troupes de l'armée de Sicile, et dans celles des ennemis; on voulait surtout que les Mantinéens et les Argéens, qu'on savait entrés dans l'armée athénienne à la persuasion d'Alcibiades, ne l'abandonnassent pas par désertion. Alcibiades monta sur son propre vaisseau, et ses coaccusés partirent avec lui de Sicile comme pour se rendre à Athènes, accompagnés de la Salaminienne. Arrivés chez les Thouriens,

λίας ὡς ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι ξυνείποντο, ἀλλ' ἀπελθόντες ἀπὸ τῆς νεὼς, οὐ φανεροὶ ἦσαν, δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. Οἱ δ' ἐκ τῆς Σαλαμινίας τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς μετ' αὐτοῦ, ὡς δ' οὐδαμοῦ φανεροὶ ἦσαν, ᾤχοντο ἀποπλέοντες. Ὁ δὲ Ἀλκιβιάδης ἤδη φυγὰς ὢν οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας· οἱ δ' Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ' ἐκείνου.

ξβʹ. Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος καὶ λαχὼν ἑκάτερος, ἔπλεον ξὺν παντὶ ἐπὶ Σελινοῦντος καὶ Ἐγέστης, βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πράγματα καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους· Παραπλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν, τὸ μέρος τὸ πρὸς τὸν Τυρσηνικὸν κόλπον, ἔσχον ἐς Ἱμέραν, ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας Ἑλλὰς πόλις ἐστί· καὶ ὡς οὐκ ἐδέχοντο αὐτοὺς, παρεκομίζοντο. Καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν μὲν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον. Καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις (παρεγένοντο γὰρ αὐτῶν ἱππῆς), αὐτοὶ δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν ἕως ἀφίκοντο ἐς Κατάνην, αἱ δὲ νῆες περιέπλευ-

ils cessèrent de la suivre, descendirent du vaisseau et disparurent, craignant de se rendre à Athènes pour être jugés sur une calomnie. Ceux de la Salaminienne cherchèrent quelque temps Alcibiades et ses compagnons; mais, n'ayant pu les découvrir nulle part, ils mirent à la voile et partirent. Alcibiades, banni dès lors, passa bientôt de la Thourie dans le Péloponnèse. Les Athéniens le condamnèrent à mort par contumace, lui et ses compagnons.

62. Après cela les autres généraux athéniens en Sicile, ayant divisé l'armée en deux corps, se les partagèrent au sort et se dirigèrent avec toute la flotte vers Sélinonte et Égeste, pour savoir si les Égestains leur donneraient l'argent promis, pour observer l'état de Sélinonte et connaître ses démêlés avec Égeste. En côtoyant la Sicile à gauche, dans la partie qui regarde le golfe Thyrsénique, ils touchèrent à Himère, seule ville hellénique dans cette partie de la Sicile. Comme on ne les y reçut pas, ils continuèrent à suivre les côtes, et en passant s'emparèrent d'Hyccara, petite ville sicanienne ennemie d'Égeste et située au bord de la mer. Ils réduisirent en esclavage les habitants, et remirent la ville aux Égestains dont la cavalerie leur était venue en aide. L'armée de terre, traversant le pays des Sicèles, parvint jusqu'à Catane, tandis que la flotte

σαν τὰ ἀνδράποδα ἄγουσαι. Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, καὶ τἆλλα χρηματίσας καὶ λαβὼν τάλαντα τριάκοντα, παρῆν ἐς τὸ στράτευμα· καὶ τἀνδράποδα ἀπέδοσαν, καὶ ἐγένοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. Καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύοντες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν, πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. Καὶ τὸ θέρος ἐτελεύτα.

ξγ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο, οἱ δὲ Συρακούσιοι καὶ αὐτοὶ ὡς ἐπ' ἐκείνους ἰόντες. Ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον, καὶ, ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνοντο καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες, οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν, καὶ ἠξίουν τοὺς στρατηγοὺς, οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν, ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται. Ἱππῆς τε προσελαύνοντες ἀεὶ κατάσκοποι τῶν Συρακουσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων ἐφύβριζον ἄλλα τε καὶ εἰ ξυνοικήσοντες σφίσιν αὐτοῖς μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες.

ξδ'. Ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων, καὶ

suivait la côte ayant à bord les esclaves. Nicias se rendit aussitôt par mer d'Hyccara à Égeste, y conféra sur les affaires, reçut trente talents et vint rejoindre l'armée. On vendit les esclaves, dont le produit fut de cent vingt talents. On côtoya aussi les pays alliés des Sicèles, en leur ordonnant d'envoyer des troupes : la moitié de l'armée marcha sur Hyble-Géléatis, place ennemie, sans pouvoir s'en emparer. L'été finit alors.

63. L'hiver suivant, les Athéniens préparèrent sans retard l'attaque contre Syracuse. De leur côté, les Syracusains, se disposèrent à marcher contre eux. Comme ils n'avaient pas été assaillis sur-le-champ, au premier moment de leur crainte et de leurs appréhensions, ils reprenaient courage chaque jour qui s'écoulait; et, comme en naviguant de l'autre côté de la Sicile les Athéniens parurent très-éloignés d'eux, qu'arrivés à Hyble ils avaient tenté vainement de s'en emparer par force, les Syracusains les méprisèrent encore plus; ils demandèrent donc aux généraux, comme aime à faire la multitude enhardie, de les conduire à Catane, puisque les Athéniens ne venaient point contre eux. Des cavaliers syracusains s'avançaient sans cesse vers le camp des Athéniens pour observer, et, entre autres insultes, leur demandaient s'ils venaient en terre étrangère s'appatrier avec eux plutôt que de rapatrier les Léontins au sol natal.

64. Les généraux d'Athènes, voyant ce qui en était,

βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν, εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες καὶ εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν (τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν καὶ τὸν ὄχλον τῶν Συρακουσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα, οὕτω δὲ λήψεσθαι χωρίον, ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου· ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακουσίων φυγάδες, οἳ ξυνείποντο), τοιόνδε τι οὖν πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ μηχανῶνται. Πέμπουσιν ἄνδρα σφίσι μὲν πιστὸν, τοῖς δὲ τῶν Συρακουσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον· ἦν δὲ Καταναῖος ὁ ἀνὴρ, καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν ἔφη, ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον καὶ ἠπίσταντο ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὐνόων. Ἔλεγε δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει, καὶ, εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλείσειν αὐτοὺς παρὰ σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσβαλόντας τῷ σταυρώματι αἱρήσειν· εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη, ἀφ' ὧν αὐτὸς ἥκειν.

voulaient attirer hors de la ville les Syracusains en masse le plus loin possible, tandis qu'eux-mêmes pendant ce temps, en suivant la côte de nuit avec la flotte, occuperaient tranquillement un poste convenable pour y camper. Ils sentaient qu'ils n'auraient pas le même avantage, s'ils débarquaient leurs troupes en présence de l'ennemi préparé, ou s'ils étaient aperçus s'avançant par terre, attendu que leurs troupes légères et la foule de leurs soldats, faute de cavalerie, éprouveraient de grandes pertes par la cavalerie nombreuse des Syracusains; au lieu que par ce moyen, on occuperait un emplacement en ne souffrant que très-peu de la cavalerie ennemie. Des bannis de Syracuse qui les suivaient leur indiquèrent le poste situé près d'Olympieion, dont les Athéniens s'emparèrent. Pour atteindre ce but voici la ruse qu'employèrent leurs généraux. Ils envoyèrent un homme leur affidé, et, en apparence, non moins dévoué aux généraux syracusains : il était de Catane, et déclara venir de la part de quelques Catanæens, dont les généraux de Syracuse connaissaient les noms, et savaient être de leurs amis restés encore dans cette ville. Il dit que les Athéniens passaient les nuits dans la ville, loin du camp; que si les Syracusains voulaient, à un jour fixé, marcher dès l'aurore en masse sur l'armée, eux Catanæens retiendraient ceux qui se trouveraient dans la ville et brûleraient les vaisseaux, tandis qu'il serait facile aux Syracusains, en attaquant les palissades, de s'emparer de l'armée; enfin, que beaucoup de Catanæens leur viendraient en aide; qu'ils étaient tout prêts, et que c'était de leur part qu'il venait.

ξε'. Οἱ δὲ στρατηγοὶ τῶν Συρακουσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ πολλῷ ἀπερισκεπτότερον, καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι, ᾗ παρέσονται, ἀπέστειλαν αὐτὸν, καὶ αὐτοὶ (ἤδη γὰρ καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν) προεῖπον πανδημεὶ πᾶσιν ἐξιέναι Συρακουσίοις. Ἐπεὶ δὲ ἕτοιμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν καὶ αἱ ἡμέραι, ἐν αἷς ξυνέθεντο ἥξειν, ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ ἐν τῇ Λεοντίνῃ. Οἱ δ' Ἀθηναῖοι, ὡς ᾔσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν καὶ ὅσοι Σικελῶν αὐτοῖς ἢ ἄλλος τις προσεληλύθει, καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας. Καὶ οἵ τε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸ κατὰ τὸ Ὀλυμπιεῖον ὡς στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππῆς οἱ Συρακουσίων, πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην, καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς, καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι ἐβοήθουν ἐπὶ τὴν πόλιν.

ξϛ'. Ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς, καθ' ἡσυχίαν ἐκάθισαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο, καὶ οἱ ἱππῆς τῶν Συρακουσίων ἥκιστ' ἂν αὐτοὺς

65. Les généraux de Syracuse, qui d'ailleurs étaient pleins de confiance et songeaient, même sans cet avis, à marcher sur Catane, crurent trop inconsidérément cet homme; et aussitôt le renvoyèrent, après être convenus du jour où ils arriveraient. Comme les Sélinontiens et quelques autres des alliés étaient déjà arrivés, les généraux ordonnèrent à tous les Syracusains de sortir en masse. Quand tout fut préparé, et que les jours fixés pour cette attaque approchèrent, les Syracusains, s'étant mis en route pour Catane, passèrent la nuit sur les bords du fleuve Symæthos, dans le pays des Léontins. Dès que les Athéniens furent informés de leur approche, ils levèrent leur camp tout entier ainsi que les Sicèles de leur parti, et d'autres venus les joindre; et s'étant embarqués sur leurs vaisseaux et leurs navires, ils firent voile vers la nuit pour Syracuse. Au lever de l'aurore, les Athéniens débarquèrent vis-à-vis d'Olympieion, pour y établir leur camp. Les cavaliers syracusains, qui les premiers s'étaient avancés jusqu'à Catane, s'étant aperçus que toute l'armée avait mis en mer, retournèrent en porter la nouvelle aux fantassins; et aussitôt, revenant ensemble sur leurs pas, tous coururent au secours de leur ville.

66. Cependant, comme les Syracusains avaient une longue route à faire, les Athéniens purent à loisir asseoir leur camp dans un lieu opportun où ils seraient à même de commencer le combat quand ils voudraient, et où la cavalerie de Syracuse ne pourrait que très-peu les inquiéter ni pendant cet ouvrage ni avant. Ils étaient protégés, d'un côté, par de petites murailles, des maisons, des arbres et par un marais, de l'autre par des

καὶ ἐν τῷ ἔργῳ καὶ πρὸ αὐτοῦ λυπήσειν· τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον καὶ δένδρα καὶ λίμνη, παρὰ δὲ τὸ κρημνοί. Καὶ τὰ ἐγγὺς δένδρα κόψαντες καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν, παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν, καὶ ἐπὶ τῷ Δάσκωνι· ἔρυμά τε, ᾗ εὐεφοδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων ὤρθωσαν, καὶ τὴν τοῦ Ἀνάπου γέφυραν ἔλυσαν. Παρασκευαζομένων δὲ ἐκ μὲν τῆς πόλεως οὐδεὶς ἐξιὼν ἐκώλυε, πρῶτοι δὲ οἱ ἱππῆς τῶν Συρακουσίων προσεβοήθησαν, ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. Καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν Ἀθηναίων τὸ πρῶτον, ἔπειτα δέ, ὡς οὐκ ἀντιπροήεσαν αὐτοῖς, ἀναχωρήσαντες καὶ διαβάντες τὴν Ἑλωρινὴν ὁδὸν, ηὐλίσαντο.

ξζʹ. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο ὡς ἐς μάχην, καὶ ξυνετάξαντο ὧδε· δεξιὸν μὲν κέρας Ἀργεῖοι εἶχον καὶ Μαντινῆς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι. Καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτώ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο τεταγμένον· οἷς εἴρητο, ᾗ ἂν τοῦ στρατεύματός τι πονῇ μάλιστα, ἐφορῶντας παραγίγνεσθαι. Καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτάκτων ἐποιήσαντο. Οἱ δὲ Συρακούσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακουσίους καὶ ὅσοι ξύμμαχοι παρῆσαν (ἐβοήθησαν δὲ

précipices. Ayant coupé les arbres du voisinage, ils les transportèrent à la mer, pour en former une palissade enfoncée le long des vaisseaux et à Dascôn. Dans l'endroit où l'accès était le plus facile aux ennemis, ils élevèrent en toute hâte un rempart avec du bois et des pierres ramassées par eux, et rompirent le pont de l'Anapos. Pendant qu'ils faisaient ces préparatifs, personne ne sortit de la ville pour les en empêcher; les cavaliers syracusains accoururent les premiers suivis bientôt après de toute l'infanterie. Ils s'approchèrent d'abord du camp des Athéniens; puis, comme ceux-ci ne venaient pas à leur rencontre, ils se retirèrent; et, après avoir traversé la voie Hélôrine, ils bivaquèrent.

67. Le lendemain les Athéniens et leurs alliés se préparèrent au combat, disposés dans l'ordre suivant : l'aile droite était occupée par les Argéens et les Mantinéens, le centre par les Athéniens, et l'aile gauche par les autres alliés. La moitié de l'armée était rangée en avant sur huit de hauteur; l'autre moitié était près des tentes rangée en carré long, sur une profondeur aussi de huit hommes, auxquels il fut enjoint d'observer quelle partie de l'armée souffrirait le plus, pour l'aller secourir. On plaça les porteurs de bagages au centre de ce corps de réserve. Les Syracusains rangèrent sur seize de hauteur les hoplites, qui tous étaient de Syracuse, et les alliés alors présents. Les Sélinontiens surtout étaient accourus à leur secours, et ensuite des cavaliers de Géla qui ne dépassaient pas deux cents,

αὐτοῖς Σελινούντιοι μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελῴων ἱππῆς, τὸ ξύμπαν ἐς διακοσίους, καὶ Καμαριναίων ἱππῆς ὅσον εἴκοσι καὶ τοξόται ὡς πεντήκοντα), τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας ἢ διακοσίους καὶ χιλίους, παρὰ δ' αὐτοὺς καὶ τοὺς ἀκοντιστάς. Μέλλουσι δὲ τοῖς Ἀθηναίοις προτέροις ἐπιχειρήσειν ὁ Νικίας κατά τε ἔθνη ἐπιπαριὼν ἕκαστα καὶ ξύμπασι τοιάδε παρεκελεύετο.

ξη'. « ΠΟΛΛῊ μὲν παραινέσει, ὦ ἄνδρες, τί δεῖ χρῆσθαι, οἳ πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; αὐτὴ γὰρ ἡ παρασκευὴ ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρασχεῖν ἢ καλῶς λεχθέντες λόγοι μετὰ ἀσθενοῦς στρατοπέδου. Ὅπου γὰρ Ἀργεῖοι, καὶ Μαντινῆς, καὶ Ἀθηναῖοι, καὶ νησιωτῶν οἱ πρῶτοι ἐσμὲν, πῶς οὐ χρὴ μετὰ τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν, ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους καὶ οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς, καὶ προσέτι Σικελιώτας, οἳ ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὒ διὰ τὸ τὴν ἐπιστήμην τῆς τόλμης ἥσσω ἔχειν. Παραστήτω δέ τινι καὶ τόδε, πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν εἶναι καὶ πρὸς γῇ οὐδεμιᾷ φιλίᾳ, ἥντινα μὴ αὐτοὶ μαχόμενοι κτήσεσθε. Καὶ τοὐναντίον ὑπομιμνήσκω ὑμᾶς ἢ οἱ πολέμιοι σφίσιν αὐτοῖς εὖ οἶδ' ὅτι παρακελεύονται· οἱ μὲν γὰρ ὅτι περὶ πατρίδος ἔσται ὁ ἀγὼν, ἐγὼ δὲ ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς κρατεῖν δεῖ ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν· οἱ γὰρ ἱππῆς πολλοὶ ἐπικείσονται. Τῆς

et en outre une vingtaine de cavaliers de Camarine et une cinquantaine d'archers. Les cavaliers, qui n'étaient pas plus de douze cents, furent placés à l'aile droite, et auprès d'eux les gens de trait. Au moment où les Athéniens allaient commencer l'attaque, Nicias, parcourant les rangs des diverses nations, adressa de telles exhortations à toute l'armée.

68. « Braves guerriers! à quoi bon une longue exhortation, quand nous sommes tous engagés dans une lutte commune? L'appareil même que voici me semble plus propre à inspirer le courage, que de belles paroles avec une armée débile.

« Là où sont réunis Argéens, Mantinéens, Athéniens et les plus puissants des insulaires, comment, avec de tels et de si nombreux alliés, chacun de nous n'aurait-il pas l'espoir le plus grand de vaincre? surtout quand nous combattons des hommes qui se défendent levés en masse, et ne sont pas comme nous soldats d'élite. Ce sont d'ailleurs des Siceliôtes, qui, bien qu'ils nous méprisent, ne résisteront pas; car leur science n'égale pas leur courage. Que chacun songe aussi que nous sommes très-loin de notre pays, et qu'il n'y a pour nous de terre amie que celle que vous acquerrez vous-mêmes en combattant. Je vous rappelle le contraire de ce que les ennemis (j'en suis sûr) se disent à eux-mêmes pour s'encourager. Eux, c'est pour leur patrie qu'ils combattront; moi je vous dis que la lutte sera, non dans la patrie, mais dans un pays où il faut vaincre; la retraite même serait difficile, assaillis que nous serions par une nombreuse cavalerie. Vous rappelant donc votre

τε οὖν ὑμετέρας αὐτῶν ἀξίας μνησθέντες, ἐπέλθετε τοῖς ἐναντίοις προθύμως, καὶ τὴν παροῦσαν ἀνάγκην καὶ ἀπορίαν φοβερωτέραν ἡγησάμενοι τῶν πολεμίων. »

ξθ'. Ὁ μὲν Νικίας, τοιαῦτα παρακελευσάμενος, ἐπῆγε τὸ στρατόπεδον εὐθὺς, οἱ δὲ Συρακούσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι, καί τινες αὐτοῖς ἐγγὺς τῆς πόλεως οὔσης καὶ ἀπεληλύθεσαν· οἱ δὲ καὶ διὰ σπουδῆς προσβοηθοῦντες δρόμῳ ὑστέριζον μὲν, ὡς δὲ ἕκαστός πη τοῖς πλείοσι προσμίξειε, καθίσταντο. Οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν οὐδὲ τόλμῃ οὔτ' ἐν ταύτῃ τῇ μάχῃ οὔτ' ἐν ταῖς ἄλλαις, ἀλλὰ τῇ μὲν ἀνδρίᾳ οὐχ ἥσσους ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι, τῷ δὲ ἐλλείποντι αὐτῆς καὶ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν. Ὅμως δὲ οὐκ ἂν οἰόμενοι σφίσι τοὺς Ἀθηναίους προτέρους ἐπελθεῖν, καὶ διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα, εὐθὺς ἀντεπῄεσαν. Καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται προὐμάχοντο, καὶ τροπὰς, οἵας εἰκὸς ψιλοὺς, ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε σφάγια προὔφερον τὰ νομιζόμενα, καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις, οἱ δ' ἐχώρουν, Συρακούσιοι μὲν περί τε πατρίδος μαχούμενοι καὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτηρίας τὸ δὲ μέλλον ἐλευθερίας, τῶν δὲ ἐναντίων Ἀθηναῖοι μὲν περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι, Ἀργεῖοι δὲ καὶ τῶν ξυμμά-

propre dignité, marchez sur les ennemis avec courage, et, croyez-le bien, la nécessité présente et l'impossibilité de nous retirer sont plus redoutables que les ennemis. »

69. Cette exhortation faite, Nicias conduisit aussitôt l'armée sur les ennemis. Les Syracusains ne s'attendaient pas alors que le combat pût s'engager si tôt; quelques-uns d'entre eux, comme la ville était près, s'en étaient même retournés; d'autres, bien qu'ils se hâtassent d'accourir au secours, étaient en retard, et se plaçaient là où chacun pouvait rejoindre la foule. Ils ne manquaient certes ni d'ardeur ni d'audace, ni dans ce combat, ni dans les autres; mais la science ne répondait pas au courage; faute d'elle et malgré eux leur bonne volonté était annulée. Toutefois, ne pensant pas que les Athéniens les attaqueraient les premiers, et forcés de se défendre à la hâte, ils prirent les armes et marchèrent aussitôt à leur rencontre. D'abord de part et d'autre ceux qui lançaient les pierres à la main, les frondeurs et les archers engagèrent le combat, et, comme il arrive aux troupes légères, se mirent en fuite tour à tour. Ensuite les devins amenèrent les victimes d'usage, et les trompettes excitèrent les hoplites à en venir aux mains. Les troupes s'ébranlèrent, les Syracusains combattaient pour la patrie, et chacun d'eux pour son propre salut maintenant et sa liberté à l'avenir; du côté opposé, les Athéniens pour s'approprier un pays étranger et ne pas mettre en péril le leur en cas de défaite; les Argéens et les alliés indépendants, afin de participer avec les Athéniens aux conquêtes qu'ils étaient venus chercher, et revoir victorieux leur patrie; enfin

χων οἱ αὐτόνομοι ξυγκτήσασθαί τε ἐκείνοις ἐφ' ἃ ἦλθον, καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν· τὸ δ' ὑπήκοον τῶν ξυμμάχων μέγιστον μὲν περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἢν μὴ κρατῶσι, τὸ πρόθυμον εἶχον, ἔπειτα δὲ ἐν παρέργῳ καὶ εἴ τι ἄλλο ξυγκαταστρεψαμένοις ῥᾷον αὐτοῖς ὑπακούσεται.

ό. Γενομένης δ' ἐν χερσὶ τῆς μάχης, ἐπὶ πολὺ ἀντεῖχον ἀλλήλοις, καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς γενέσθαι καὶ ἀστραπὰς καὶ ὕδωρ πολὺ, ὥστε τοῖς μὲν πρῶτον μαχομένοις καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι καὶ τοῦτο ξυνεπιλαβέσθαι τοῦ φόβου, τοῖς δ' ἐμπειροτέροις τὰ μὲν γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ ἀνθεστῶτας πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν. Ὠσαμένων δὲ τῶν Ἀργείων πρῶτον τὸ εὐώνυμον κέρας τῶν Συρακουσίων, καὶ μετ' αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ σφᾶς αὐτοὺς, παρεῤῥήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακουσίων, καὶ ἐς φυγὴν κατέστη. Καὶ ἐπὶ πολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι (οἱ γὰρ ἱππῆς τῶν Συρακουσίων πολλοὶ ὄντες καὶ ἀήσσητοι εἷργον, καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν, εἴ τινας προδιώκοντας ἴδοιεν, ἀνέστελλον), ἐπακολουθήσαντες δὲ ἀθρόοι ὅσον ἀσφαλῶς εἶχε πάλιν ἐπανεχώρουν, καὶ τροπαῖον ἵστασαν. Οἱ δὲ Συρακούσιοι, ἀθροισθέντες ἐς τὴν Ἑλωρινὴν ὁδὸν, καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι, ἔς τε τὸ Ὀλυμπεῖον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλακὴν, δείσαντες μὴ οἱ

les alliés, sujets d'Athènes, étaient surtout animés d'ardeur ne pouvant espérer de salut que dans la victoire, et persuadés qu'en l'aidant à soumettre autrui, leur sujétion pouvait s'alléger.

70. Le combat était engagé, et des deux côtés on résistait depuis longtemps, lorsque survinrent quelques coups de tonnerre accompagnés d'éclairs et d'une forte pluie, ce qui contribua beaucoup à intimider ceux qui combattaient pour la première fois et n'étaient pas familiarisés avec la guerre; tandis que les plus expérimentés regardaient cet événement comme naturel à cette saison de l'année, et s'effrayaient bien plus de ce que leurs adversaires ne se laissaient pas vaincre. Les Argéens, ayant d'abord repoussé l'aile gauche des Syracusains, et les Athéniens ensuite celle qui leur était opposée, le reste aussi de l'armée syracusaine fut alors rompu et prit la fuite. Les Athéniens ne les poursuivirent pas au loin; ils en furent empêchés par la cavalerie syracusaine, qui, nombreuse et invaincue, se jetant sur leurs hoplites, faisait reculer ceux qu'elle voyait s'avancer à la poursuite. Les Athéniens, après avoir tous ensemble suivi l'ennemi, autant qu'ils le purent sans danger, se retirèrent et dressèrent un trophée. Quant aux Syracusains, ils se rassemblèrent sur la voie Hélôrine; et, s'étant ralliés autant que le permettaient les circonstances, ils envoyèrent des troupes garder l'Olympieion, dans la crainte que les

Ἀθηναῖοι τῶν χρημάτων, ἃ ἦν αὐτόθι, κινήσωσι, καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν.

οα'. Οἱ δὲ Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς καὶ ἐπὶ πυρὰν ἐπιθέντες, ηὐλίσαντο αὐτοῦ. Τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακουσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς νεκροὺς (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους), τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα), καὶ τὰ τῶν πολεμίων σκῦλα ἔχοντες ἀπέπλευσαν ἐς Κατάνην· χειμών τε γὰρ ἦν, καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ τῶν Ἀθηνῶν καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν, ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται, καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται καὶ παρ' Ἀθηναίων ἔλθῃ, τῶν τε πόλεων τινὰς προσαγάγωνται, ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι, τά τε ἄλλα καὶ σῖτον καὶ ὅσων δέοι παρασκευάσωνται ὡς εἰς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.

οϐ'. Καὶ οἱ μὲν ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν Νάξον καὶ Κατάνην διαχειμάσοντες, Συρακούσιοι δὲ, τοὺς σφετέρους αὐτῶν νεκροὺς θάψαντες, ἐκκλησίαν ἐποίουν. Καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ ἐς ἄλλα ξύνεσιν οὐδενὸς λειπόμενος καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος καὶ ἀνδρίᾳ ἐπιφανὴς, ἐθάρσυνέ τε καὶ

Athéniens n'enlevassent l'argent qui s'y trouvait. Le reste de l'armée rentra dans la ville.

71. Les Athéniens n'allèrent pas à cette enceinte sacrée; ils réunirent leurs morts, les mirent sur un bûcher, et passèrent la nuit sur le lieu même; le lendemain, d'après une convention, ils rendirent aux Syracusains leurs morts (dont le nombre s'élevait à deux cent soixante, y compris ceux des alliés). Les leurs et ceux de leurs alliés se montaient à peu près à cinquante; ils recueillirent leurs ossements et, chargés des dépouilles des ennemis, ils firent voile pour Catane. Comme on était en hiver, il ne leur semblait plus possible de tenir la campagne devant Syracuse avant d'avoir fait venir de la cavalerie d'Athènes et d'en avoir rassemblé chez leurs alliés de Sicile, afin de n'être pas entièrement accablés par la supériorité de celle de l'ennemi. En même temps, ils voulaient pouvoir recueillir de l'argent en Sicile, en faire venir d'Athènes, et attirer dans leur parti quelques villes qu'ils espéraient trouver plus disposées à se soumettre après la bataille, enfin se procurer des vivres et tout ce qui serait nécessaire pour attaquer Syracuse au printemps.

72. Dans ce dessein, ils mirent en mer pour Naxos et Catane, afin d'y passer l'hiver; de leur côté, les Syracusains, ayant enseveli leurs morts, convoquèrent une assemblée, où Hermocrates, fils d'Hermôn, qui en toute chose par sa rare intelligence ne le cédait à personne, et aussi distingué par son expérience dans la

οὐκ εἴα τῷ γενενημένῳ ἐνδιδόναι· τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι, τὴν δὲ ἀταξίαν βλάψαι· Οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι ὅσον εἰκὸς εἶναι, ἄλλως τε τοῖς πρώτοις τῶν Ἑλλήνων ἐμπειρίᾳ ἰδιώτας ὡς εἰπεῖν χειροτέχνας ἀνταγωνισαμένους. Μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν καὶ τὴν πολυαρχίαν (ἦσαν γὰρ πεντεκαίδεκα οἱ στρατηγοὶ αὐτοῖς) τῶν τε πολλῶν τὴν ἀξύντακτον ἀναρχίαν· Ἢν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι, καὶ ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικὸν, οἷς τε ὅπλα μὴ ἔστιν ἐκπορίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν ἐναντίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ ἐς τὰ ἔργα προσγενομένης· ἐπιδώσειν γὰρ ἀμφότερα αὐτὰ, τὴν μὲν μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν αὐτὴν ἑαυτῆς μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης θαρσαλεωτέραν ἔσεσθαι. Τούς τε στρατηγοὺς καὶ ὀλίγους καὶ αὐτοκράτορας χρῆναι ἑλέσθαι, καὶ ὀμόσαι αὐτοῖς τὸ ὅρκι ον ἦ μὴν άσειν ἄρχειν ὅπῃ ἂν ἐπίστωνται· οὕτω γὰρ ἅ τε κρύπτεσθαι δεῖ μᾶλλον ἂν στέγεσθαι, καὶ τἄλλα κατὰ κόσμον καὶ ἀπροφασίστως παρασκευασθῆναι.

ογ'. Καὶ οἱ Συρακούσιοι, αὐτοῦ ἀκούσαντες, ἐψηφίσαντό τε πάντα ὡς ἐκέλευε, καὶ στρατηγὸν αὐτόν τε εἷλοντο τὸν Ἑρμοκράτην, καὶ Ἡρακλείδην τὸν Λυσιμάχου, καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τρεῖς, καὶ ἐς τὴν Κόρινθον

guerre qu'illustré par sa valeur, les encouragea et ne laissa pas leurs esprits s'abattre par cet événement. Il dit que le cœur ne leur avait pas manqué, que le désordre fut la cause du mal ; néanmoins qu'ils n'avaient pas été aussi inférieurs à l'ennemi qu'on devait s'y attendre, puisque, simples particuliers et pour ainsi dire artisans, ils s'étaient mesurés avec les plus habiles des Hellènes en fait de guerre ; que le grand nombre des généraux (ils étaient quinze), et la multitude des ordres leur avaient nui ainsi que le désordre et l'insubordination de la multitude. Mais si l'on n'avait qu'un petit nombre de généraux expérimentés, si pendant l'hiver on réorganisait le corps des hoplites, en fournissant d'armes ceux qui n'en avaient pas, afin d'en former un corps très-nombreux en l'astreignant à tous les exercices de la guerre, on était presque sûr, disait-il, de l'emporter sur les ennemis, parce que, ajoutant la discipline au courage qu'ils avaient montré, l'accroissement serait réciproque, de la discipline, par l'exercice dans les périls, et de la valeur par elle-même en s'enhardissant par la confiance que donne la science. On devait donc choisir peu de généraux, leur donner autorité absolue et s'engager envers eux par serment à les laisser commander à leur guise ; qu'ainsi, ce qui devait rester caché deviendrait secret, et tout se ferait avec ordre et sans hésitation.

73. Les Syracusains, après avoir entendu Hermocrates, donnèrent leurs suffrages à tout ce qu'il proposait, et le choisirent lui-même pour général ainsi qu'Héraclides, fils de Lysimachos, et Sicanos, fils d'Exécestes, trois en tout ; ils envoyèrent des députés à Corinthe et à Lacédémone réclamer leur assistance

καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται, καὶ τὸν πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείθωσι ποιεῖσθαι ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους, ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτοὺς ἢ πρὸς τὸ ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφελίαν ἄλλην ἐπιπέμπωσι.

οδʹ. Τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν εὐθὺς ἐπὶ Μεσσήνην ὡς προδοθησομένην. Καὶ ἃ μὲν ἐπράσσετο οὐκ ἐγένετο· Ἀλκιβιάδης γὰρ, ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος ὅτι φεύξοιτο, μηνύει τοῖς τῶν Συρακουσίων φίλοις τοῖς ἐν Μεσσήνῃ ξυνειδὼς τὸ μέλλον· οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον, καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις ὄντες ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι.

Ἡμέρας δὲ μείναντες περὶ τρισκαίδεκα οἱ Ἀθηναῖοι, ὡς ἐχειμάζοντο καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον, καὶ προὐχώρει οὐδὲν, ἀπελθόντες ἐς Νάξον καὶ [Θρᾷκας], σταύρωμα περὶ τὸ στρατόπεδον ποιησάμενοι, αὐτοῦ διεχείμαζον· καὶ τριήρη ἀπέστειλαν ἐς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

οεʹ. Ἐτείχιζον δὲ καὶ οἱ Συρακούσιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι, τεῖχος παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλλωνται, καὶ τὰ Μέγαρα

comme alliés et engager les Lacédémoniens à faire ouvertement une guerre plus énergique en faveur de Syracuse contre les Athéniens, afin de les forcer de rappeler leur armée de la Sicile, ou de leur ôter les moyens de la renforcer par d'autres envois de troupes.

74. L'armée athénienne, qui était à Catane, mit en mer aussitôt pour Messine, dans l'espoir qu'elle lui serait livrée par trahison. Mais les intrigues que les Athéniens y avaient ne réussirent pas ; car Alcibiades, quand il quitta la Sicile, déposé déjà de son commandement et rappelé, sachant qu'il serait banni, avait informé les partisans de Syracuse qui se trouvaient à Messine, de la trahison future dont il avait connaissance. Ceux-ci firent d'abord périr les conjurés, et à la suite d'une révolte, ceux qui ne voulaient pas accueillir les Athéniens, ayant pris les armes, eurent le dessus.

Après un séjour d'environ treize jours, les Athéniens, souffrant du mauvais temps, manquant de vivres et ne réussissant à rien, retournèrent à Naxos et chez les Thraces *, palissadèrent leur camp, et prirent leurs quartiers d'hiver. Ils envoyèrent aussi une trirème à Athènes pour qu'on leur fît parvenir dès le printemps de l'argent et des cavaliers.

* Naxos fut fondée en Sicile par les Chalcidéens qui étaient primitivement des Thraces. Voy. les Observations.

75. De leur côté, pendant l'hiver, les Syracusains, ayant enclavé le Téménite dans la ville, construisirent une muraille qui regarde toute la partie tournée vers les Épipolæ, afin qu'en cas de revers l'ennemi eût une plus vaste étendue à enceindre d'un mur ; ils élevèrent aussi un fort à Mégara, et un autre à l'Olympieion ;

φρούριον, καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο· καὶ τὴν θάλασσαν προεσταύρωσαν πανταχῆ ᾗ ἀποβάσεις ἦσαν. Καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας, ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν Κατάνην, καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες, ἀνεχώρησαν ἐπ' οἴκου.

Καὶ πυνθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμάριναν κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι, εἴ πως προσαγάγοιντο αὐτοὺς, ἀντεπρεσβεύοντο καὶ αὐτοί· ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν, ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες. Ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν Καμάριναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου μεθ' ἑτέρων, ὁ Ἑρμοκράτης ξυλλόγου γενομένου τῶν Καμαριναίων βουλόμενος προδιαβαλεῖν τοὺς Ἀθηναίους ἔλεγε τοιάδε.

οϛʹ. « ΟΥ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι, μὴ αὐτὴν καταπλαγῆτε, δείσαντες ἐπρεσβευσάμεθα, ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. Ἥκουσι γὰρ ἐς τὴν Σικελίαν προφάσει μὲν ᾗ πυνθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι

ils palissadèrent même le bord de la mer partout où l'on pouvait faire des descentes. Comme ils savaient que les Athéniens hivernaient à Naxos, ils marchèrent en masse sur Catane, dévastèrent une partie de son territoire, incendièrent les tentes et le camp des Athéniens, et retournèrent chez eux.

Informés que les Athéniens, conformément à l'alliance conclue par Lachès, avaient député à Camarine pour la faire entrer dans leur parti, ils y envoyèrent aussi de leur côté une députation : car Camarine leur était devenue suspecte par le peu d'empressement qu'elle avait mis lors de la première bataille à leur faire parvenir les secours qu'elle leur envoya; et ils craignaient en outre que ses habitants, témoins de l'avantage obtenu par les Athéniens dans le combat, ne voulussent plus secourir Syracuse, et qu'ils ne s'unissent aux Athéniens entraînés par leurs précédentes relations d'amitié. Après donc qu'Hermocrates avec ses collègues pour Syracuse, et Euphémos et les siens pour Athènes, furent venus à Camarine, les Camarinæens se formèrent en conseil, et Hermocrates, pour prévenir les esprits contre les Athéniens, parla ainsi :

76. « Non, peuple de Camarine, ce n'est point par crainte que vous ne vous laissiez effrayer des forces présente sdes Athéniens que nous sommes députés vers vous, mais plutôt pour que leurs discours, avant de nous avoir entendus nous-mêmes, ne puissent vous séduire. Les Athéniens viennent en Sicile sous le prétexte que vous savez, et avec l'arrière-pensée que nous soupçonnons tous; je ne crois point que ce soit pour rétablir les Léontins dans leur patrie, mais plutôt pour nous expulser nous-mêmes de la nôtre; car il est contre

κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι. Οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν, καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε ἄποικοί εἰσι, δουλωσαμένους ἔχειν. Τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται· ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε Ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν λειποστρατίαν, τοὺς δὲ ἐπ' ἀλλήλους στρατεύειν, τοῖς δ' ὡς ἑκάστοις τινὰ εἶχον αἰτίαν εὐπρεπῆ, ἐπενεγκόντες, κατεστρέψαντο. Καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ οἱ μὲν σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως, οἱ δ' ἐπὶ δεσπότου μεταβολῇ οὐκ ἀξυνετωτέρου κακοξυνετωτέρου δέ.

οζʹ. « Ἀλλ' οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ, πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι ὅτι ἔχοντες παραδείγματα τῶν τ' ἐκεῖ Ἑλλήνων ὡς ἐδουλώθησαν οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν οὐδ' Ἑλλησπόντιοι καὶ νησιῶται, οἳ δεσπότην ἢ Μῆδον ἢ ἕνα

raison de renverser les villes en Grèce, et de rétablir celles d'ici; de prendre tant de soin, comme étant de même origine, des Léontins qui sont Chalcidéens, et de tenir en servitude les Chalcidéens d'Eubée, dont les colons sont Léontins. C'est dans le même esprit qu'ils ont maîtrisé ces pays-là et tâchent aujourd'hui de s'emparer des nôtres. C'est ainsi que, sous le prétexte de punir le Mède, les Athéniens, du consentement des Iôniens et de tous les alliés de la même origine, s'étant mis à leur tête, puis accusant les uns d'avoir déserté, les autres de se combattre entre eux, et contre chacun employant quelque motif plausible, les ont subjugués. Ce n'est donc pas pour la liberté des Hellènes que les Athéniens, non plus que les Hellènes pour la leur propre, résistèrent au Mède, mais les uns, pour qu'on leur fût asservi et non pas au Barbare, et les autres, pour un changement de maître, certes non moins habile mais d'une habileté plus funeste.

77. « Cependant nous ne venons point pour signaler toutes les injustices d'Athènes, la tâche serait trop facile, elles vous sont connues, mais plutôt pour nous accuser nous-mêmes; car, malgré les exemples des Hellènes de la Grèce réduits en esclavage pour ne pas s'être défendus entre eux, nous, encore aujourd'hui, écoutant ces mêmes sophismes trompeurs, le rétablissement dans leurs foyers des Léontins à titre de parenté, et les secours donnés aux Égestains comme alliés, nous nous refusons à serrer nos rangs pour montrer aux Athéniens qu'ils n'ont affaire ici ni à des Iôniens, ni à des Hellespontiens, ou à des insulaires qui, changeant toujours de maître, soit Mède, soit tout autre,

γέ τινα ἀεὶ μεταβάλλοντες δουλοῦνται, ἀλλὰ Δωριῆς ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. Ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους ὥστε τοὺς μὲν λόγοις ἡμῶν διιστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν; καὶ οἰόμεθα, τοῦ ἄποθεν ξυνοίκου προαπολλυμένου, οὐ καὶ ἐς αὐτόν τινα ἥξειν τὸ δεινὸν, πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ' αὐτὸν δυστυχεῖν;

οη'. « Καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακούσιον, ἑαυτὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ καὶ οὐκ ἔρημος ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακουσίου ἔχθραν κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βούλεσθαι. Εἴ τέ τις φθονεῖ μὲν ἢ καὶ φοβεῖται (ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω), διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μὲν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δὲ ἕνεκα τῆς αὑτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπίνης δυνάμεως βούλησιν ἐλπίζει· οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι.

devinrent asservis, mais à des Dôriens libres, originaires de l'indépendant Péloponnèse et habitants de la Sicile. Quoi donc! faut-il attendre que chacun de nous soit pris ville par ville? quand nous savons que c'est par ce seul moyen qu'on peut nous asservir, et que nous voyons les Athéniens recourir à ce système pour diviser ceux-ci par des discours, susciter ceux-là les uns contre les autres par l'espoir de leur alliance, et nuire le plus qu'ils peuvent par l'attrait des paroles flatteuses pour chacun? et nous figurons-nous, lorsqu'un compatriote éloigné nous précède dans sa perte, que le péril ne nous atteindra pas nous-mêmes, mais que pour nous avoir devancés dans son infortune lui seul en souffrira.

78. « S'il est quelqu'un qui se figure que c'est le Syracusain et non pas lui-même qui est l'ennemi de l'Athénien, et s'il redoute de s'exposer aux périls pour mon pays, qu'il songe que ce n'est pas pour le mien qu'il combattra chez moi mais tout aussi bien pour le sien, et cela d'autant plus sûrement que tant que ma patrie n'aura pas succombé il ne sera pas seul à se défendre, mais qu'il m'aura pour allié. Ce n'est pas tant la haine du Syracusain que veut châtier Athènes, mais je suis un prétexte pour mieux s'assurer l'amitié de Camarine.

« Si pourtant il en est parmi vous qui, soit par jalousie soit par crainte (deux sentiments auxquels les supériorités sont exposées), désire voir Syracuse maltraitée pour que nous devenions plus modestes, et en même temps victorieuse pour la sécurité qu'il en retirera, ses désirs sont hors de la portée de l'homme, auquel il n'est point départi d'être à la fois le régulateur et des vœux et du sort. Et, si, trompé dans son attente, et déplorant ses

Καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὑτοῦ κακοῖς ὀλοφυρθεὶς, τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτὲ βουληθείη αὖθις φθονῆσαι. Ἀδύνατον δὲ προεμένῳ καὶ μὴ τοὺς αὐτοὺς κινδύνους, οὐ περὶ τῶν ὀνομάτων ἀλλὰ περὶ τῶν ἔργων, ἐθελήσαντι προσλαβεῖν· λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ τὴν αὑτοῦ σωτηρίαν.

« Καὶ μάλιστα εἰκὸς ἦν ὑμᾶς, ὦ Καμαριναῖοι, ὁμόρους ὄντας καὶ τὰ δεύτερα κινδυνεύσοντας προορᾶσθαι αὐτὰ, καὶ μὴ μαλακῶς, ὥσπερ νῦν, ξυμμαχεῖν, αὐτοὺς δὲ πρὸς ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ εἰ ἐς τὴν Καμαριναίαν πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι δεόμενοι ἂν ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους, ὅπως μηδὲν ἐνδώσομεν, φαίνεσθαι. Ἀλλ' οὔθ' ὑμεῖς νῦν γέ πω οὔθ' οἱ ἄλλοι ἐπὶ ταῦτα ὥρμησθε.

οθ'. « Δειλίᾳ δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς καὶ πρὸς τοὺς ἐπιόντας θεραπεύσετε λέγοντες ξυμμαχίαν εἶναι ὑμῖν πρὸς Ἀθηναίους· ἥν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἤν τις ἐφ' ὑμᾶς ἴῃ, καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ' ἄλλων καὶ μὴ αὐτοὶ, ὥσπερ νῦν, τοὺς πέλας ἀδικῶσιν, ἐπεὶ οὐδ' οἱ Ῥηγῖνοι ὄντες Χαλκιδῆς Χαλκιδέας ὄντας Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. Καὶ δεινὸν εἰ ἐκεῖνοι μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' εὐλόγῳ προφάσει τοὺς μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι μᾶλ-

propres infortunes il voulait jeter de nouveau un œil d'envie sur son bonheur passé, il ne le pourra pas s'il m'abandonne et ne veut pas partager les mêmes périls, non en paroles mais par des actions; car en paroles on peut sauver ma puissance, mais en réalité c'est soi-même qu'on sauvera.

« C'est à vous surtout, ô Camarinæens, vous nos voisins et les premiers après nous exposés au danger, qu'il convient de prévoir un tel malheur et de nous seconder dans cette guerre; non mollement comme à présent, mais plutôt en venant vous-mêmes au-devant de nous; et de même que vous auriez imploré notre secours si les Athéniens eussent assailli d'abord Camarine, vous devez aujourd'hui en faire autant à notre égard et nous exhorter à ne rien céder. Mais jusqu'ici ni vous, ni les autres, n'avez encore eu cette énergie.

79. « Peut-être par timidité voudrez-vous montrer à notre égard et à celui des agresseurs votre déférence pour la justice, en disant que vous êtes alliés d'Athènes. Mais cette alliance, ce n'est point contre vos amis que vous l'avez contractée, c'est contre les ennemis qui viendraient vous attaquer; elle eut pour but de secourir les Athéniens offensés par d'autres, et non lorsqu'eux-mêmes offensaient autrui comme ils font aujourd'hui, car les Rhégiens eux-mêmes, qui sont Chalcidéens, ne veulent pas rapatrier avec eux les Léontins, qui sont d'origine chalcidique. Il serait triste de voir que, lorsque Rhégion, suspectant un acte fondé sur un droit spécieux, tient sans motifs plausibles une sage conduite, vous qui avez un motif non moins raisonnable, vous vouliez secourir vos ennemis naturels, et,

λον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. Ἀλλ' οὐ δίκαιον, ἀμύνειν δὲ καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐτῶν· οὐ γὰρ, ἢν ἡμεῖς ξυστῶμεν πάντες, δεινή ἐστιν, ἀλλ' ἤν, ὅπερ οὗτοι σπεύδουσι, τἀναντία διαστῶμεν, ἐπεὶ οὐδὲ πρὸς ἡμᾶς μόνους ἐλθόντες, καὶ μάχῃ περιγενόμενοι, ἔπραξαν ἃ ἠβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους.

π'. « Ὥστε οὐκ ἀθρόους γε ὄντας εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ ἐς τὴν ξυμμαχίαν προθυμότερον, ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου παρεσομένης ὠφελίας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ παράπαν τὰ πολέμια· καὶ μὴ ἐκείνην τὴν προμήθειαν δοκεῖν τῳ ἡμῖν μὲν ἴσην εἶναι ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις δὴ ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους βοηθεῖν. Οὐ γὰρ ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώματί ἐστιν. Εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ τε παθὼν σφαλήσεται καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν οὐχ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι; καίτοι κάλλιον τοῖς ἀδικουμένοις καὶ ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν ὠφέλειαν τῇ Σικελίᾳ φυλάξαι καὶ τοὺς Ἀθηναίους φίλους δὴ ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν. Ξυνελόντες τε λέγομεν οἱ Συρακούσιοι ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς οὔτε ὑμᾶς οὔτε τοὺς ἄλλους περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν Δωριῆς Δωριέων. Καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις

avec les plus détestables détruire ceux qui par la nature sont vos parents. Mais cela n'est pas juste, vous devez nous secourir et ne pas redouter l'appareil de leurs forces; elles ne sont point formidables si nous nous réunissons tous, mais elles le deviendront bientôt si au contraire nous nous divisons, et c'est le but où tendent leurs efforts. Quand ils vinrent nous attaquer, nous étions seuls, et, malgré l'avantage qu'ils remportèrent, déçus dans leurs projets ils partirent soudain.

80. « Ainsi en nous serrant les uns contre les autres, plus de motif de découragement. Hâtons une confédération d'autant plus profitable qu'il va nous arriver du Péloponnèse des troupes qui sont pour la guerre supérieures aux Athéniens. Et qu'on ne croie pas que cette mesure de n'assister aucun des deux partis, parce que vous êtes alliés des uns et des autres, soit juste à notre égard et vous soit salutaire; juste en droit, il n'en est pas de même en réalité. Si par votre neutralité celui qui a souffert succombe et le fort triomphe, votre neutralité, qu'est-elle? Pour nous, le refus d'un secours qui nous eût sauvés, pour les autres, la liberté de mal faire? Cependant, il serait plus beau en vous unissant à des offensés qui sont en même temps vos parents, d'assurer le salut de la Sicile entière, et de préserver d'une faute vos soi-disant amis, les Athéniens. En résumé nous vous disons au nom de Syracuse qu'il est inutile de vous convaincre de ce que vous-mêmes et les autres savez aussi bien que nous, mais nous vous implorons, et en même temps, si nous ne vous persuadons pas, nous protestons qu'étant en butte aux attaques de nos éternels ennemis les Iôniens, c'est par vous que nous

γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ τὸν τὴν νίκην παρασχόντα λήψονται· καὶ εἰ αὖ ἡμεῖς περιεσόμεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὑφέξετε. Σκοπεῖτε οὖν καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκινδύνως δουλείαν, ἢ κἂν περιγενόμενοι μεθ' ἡμῶν τούσδε τε μὴ αἰσχρῶς δεσπότας λαβεῖν καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν μὴ ἂν βραχεῖαν γενομένην διαφυγεῖν. »

πα΄. Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν, ὁ δ' Εὔφημος ὁ τῶν Ἀθηναίων πρεσβευτὴς μετ' αὐτὸν τοιάδε.

πβ΄. « ΑΦΙΚΟΜΕΘΑ μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει, τοῦ δὲ Συρακουσίου καθαψαμένου, ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς εἰπεῖν ὡς εἰκότως ἔχομεν. Τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν, ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέμιοι τοῖς Δωριεῦσιν εἰσίν. Ἔχει δὲ καὶ οὕτως· ἡμεῖς γὰρ Ἴωνες ὄντες Πελοποννησίοις Δωριεῦσι καὶ πλείοσιν οὖσι καὶ παροικοῦσιν ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα, καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προσῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσσειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον ἡμᾶς ἴσχυον, αὐτοὶ τῶν δὲ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες οἰκοῦμεν, νομίσαντες ἥκιστ' ἂν ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες ᾗ ἀμυνούμεθα, καὶ ἐς τὸ ἀκριβὲς εἰπεῖν οὐδὲ

sommes trahis, Dôriens par des Dôriens. Et, si les Athéniens nous causent notre ruine, c'est votre volonté qui les fera triompher, à leur nom seul s'en attachera l'honneur, et le prix de la victoire ne sera pas autre que celui qu'elle leur aura procuré; mais au contraire, si nous sommes vainqueurs, c'est vous qui ayant causé nos périls en serez punis. Réfléchissez-y donc, et choisissez maintenant ou un prompt esclavage sans danger, ou si vous vainquez avec nous, d'échapper à la honte de vous donner les Athéniens pour maîtres, et à la haine que nous ne cesserons d'avoir pour vous. »

81. Tel fut le discours d'Hermocrates; après lui, Euphémos, le député des Athéniens, parla de cette manière :

82. « Nous sommes venus pour renouveler notre précédente alliance; mais comme le Syracusain nous a attaqués, il nous faut parler aussi de l'empire que nous possédons à juste titre. C'est lui-même qui en a donné la preuve la plus grande, en alléguant que les Iôniens sont de tout temps ennemis des Dôriens, et c'est aussi la vérité. Iôniens que nous sommes, nous avons cherché par quel moyen nous pourriôns nous rendre le moins dépendants des Péloponnésiens, qui sont Dôriens, plus nombreux, et habitant près de nous. Après la guerre Médique, maîtres d'une marine, nous nous sommes soustraits à l'empire et au commandement des Lacédémoniens, puisqu'il ne leur appartenait pas plus de nous donner des ordres qu'à nous de leur en intimer, si ce n'est qu'autant que leurs forces surpassaient alors les nôtres. Mais du moment que les peuples précédemment soumis au Roi furent rangés sous notre hégémonie, nous les avons gouvernés avec

ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγενεῖς φασὶν ὄντας Συρακούσιοι δεδουλῶσθαι. Ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν, ἐφ' ἡμᾶς, μετὰ τοῦ Μήδου, καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι, ὥσπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν, δουλείαν δὲ αὐτοί τε ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν.

πγ'. « Ἀνθ' ὧν ἄξιοί τε ὄντες ἅμα ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶντες οὗτοι ἡμᾶς ἔβλαπτον, ἅμα δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι. Καὶ οὐ καλλιεπούμεθα ὡς ἢ, τὸν βάρβαρον μόνοι καθελόντες, εἰκότως ἄρχομεν, ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. Πᾶσι δὲ ἀνεπίφθονον τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι, καὶ νῦν τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες ὁρῶμεν καὶ ὑμῖν ταῦτα ξυμφέροντα.

« Ἀποφαίνομεν δὲ ἐξ ὧν οἵδε τε διαβάλλουσι καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε, εἰδότες τοὺς περιδεῶς ὑποπτεύοντάς τι λόγου μὲν ἡδονῇ τὸ παραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. Τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν καὶ τὰ ἐνθάδε διὰ τὸ αὐτὸ ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς κα-

l'idée que nous ne saurions être ainsi sous la dépendance des Péloponnésiens, puisque nous avions la force pour résister ; et, à vrai dire, nous n'avons pas sans justes motifs soumis les Iôniens et les insulaires, que les Syracusains nous reprochent d'avoir asservis, quoique nos parents ; car ils ont marché contre la métropole, contre nous, avec le Mède, sans oser se révolter et détruire leurs biens, comme nous l'avcns fait en abandonnant notre ville, mais ils voulaient, esclaves eux-mêmes, nous apporter le même esclavage.

83. « C'est à ces titres que nous avons l'empire et nous en sommes dignes ; en effet chez nous les Hellènes trouvèrent une puissante marine et un zèle qui n'hésita jamais, tandis que ceux-là par un zèle non moins grand, mais en faveur du Mède, nous portaient préjudice. Nous voulons aussi l'empire pour être forts contre les Péloponnésiens et nous ne nous prévalons pas en termes pompeux de cet empire justement acquis soit pour avoir seuls détruit le Barbare, soit par le péril affronté plus encore pour la liberté des Péloponnésiens que pour celle de tous les autres Hellènes et pour la nôtre. Pourvoir à son salut est le droit incontestable de tous ; en ce moment encore, c'est pour notre sécurité que nous venons ici, et nous voyons que notre présence vous est aussi salutaire.

« La preuve résulte évidemment des calomnies qu'ils répandent et qui vous sont surtout un épouvantail * ; car nous savons que ceux que la crainte rend soupçonneux, s'ils se laissent charmer un instant par la parole, plus tard au moment d'agir, c'est l'intérêt qui les dominera. Nous l'avons dit, c'est la crainte qui nous a fait prendre le commandement de la Grèce, et c'est le

* Les conquêtes des Athéniens, l'asservissement des alliés.

ταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ μᾶλλον τοῦτο κωλύσοντες.

πδ'. « Ὑπολάβῃ δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, γνοὺς ὅτι, σωζομένων ὑμῶν, καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συρακουσίοις, ἧσσον ἂν, τούτων πεμψάντων τινὰ δύναμιν Πελοποννησίοις, ἡμεῖς βλαπτοίμεθαι· Καὶ ἐν τούτῳ προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα· Διόπερ καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν μὴ ὑπηκόους, ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατωτάτους, ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσδε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσι. Τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεὺς, ὃν ἀλόγως ἡμᾶς φησὶ δουλωσαμένους τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡμῖν, ἀπαράσκευος ὢν καὶ χρήματα μόνον φέρων, τὰ δὲ ἐνθάδε καὶ Λεοντῖνοι καὶ οἱ ἄλλοι φίλοι ὅτι μάλιστα αὐτονομούμενοι.

πε'. « Ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἣν τοὺς φίλους κακώσωμεν, ἀλλ' ἣν οἱ ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν.

« Ἀπιστεῖν δὲ οὐ χρή· καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους ὡς ἕκαστοι χρήσιμοι ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμναίους νεῶν παροχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς χρημάτων βιαιότερον φορᾷ, ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως ξυμμα-

même motif qui nous amène en Sicile pour y raffermir l'ordre à l'aide de nos amis; non pour les asservir, mais pour les préserver d'un tel malheur.

84. « Qu'on ne se figure point que notre intérêt n'est pas lié au vôtre, car sauvés par nous et suffisamment forts pour lutter contre Syracuse, cette Ville nous nuira moins par les secours qu'elle pourrait envoyer aux Péloponnésiens. Cela nous est d'une grande importance, aussi nous convient-il de rétablir les Léontins non pour les assujettir comme le sont les peuples de l'Eubée dont l'origine leur est commune, mais pour les rendre plus puissants que jamais, et que, voisins de Syracuse, ils lui soient un obstacle à nous profitable; en Grèce nous suffisons à nous seuls contre nos ennemis. Quant au reproche d'être venus ici rendre la liberté au Chalcidéen que nous tenons asservi chez nous, il nous est utile qu'il soit là-bas désarmé et seulement tributaire, tandis qu'ici les Léontins et les Villes amies doivent jouir de la plus complète autonomie.

85. « Pour un chef absolu ou une Ville dominatrice, rien de ce qui est utile n'est sans raison et point d'amitié sincère sans garantie. En toute circonstance chacun peut dans un temps donné devenir un ennemi ou un ami. Notre intérêt ici n'est donc pas de nuire à nos amis, mais de réduire à l'impuissance nos ennemis par nos amis.

« Pourquoi se défier de nous? Notre suprématie en Grèce sur nos alliés se mesure aux services qu'ils nous rendent. Les habitants de Chios et de Méthymne sont libres à condition de fournir des vaisseaux, et, la plu-

χοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους, διοτι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον. Ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ, ὃ λέγομεν, ἐς Συρακουσίους δέος, καθίστασθαι. Ἀρχῆς γὰρ ἐφίενται ὑμῶν, καὶ βούλονται, ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπόπτῳ, βίᾳ ἢ καὶ κατ' ἐρημίαν, ἀπράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας. Ἀνάγκη δὲ, ἢν ξυστῆτε πρὸς αὐτούς· οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς τοσαύτη, ἐς ἓν ξυστᾶσα, εὐμεταχείριστος, οὔθ' οἵδ' ἀσθενεῖς ἂν, ἡμῶν μὴ παρόντων, πρὸς ὑμᾶς εἶεν.

πϛ'. « Καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. Τὸ γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε οὐκ ἄλλον τινὰ προτείνοντες φόβον ἢ εἰ περιοψόμεθα ὑμᾶς ὑπὸ Συρακουσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν. Καὶ νῦν οὐ δίκαιον, ᾧπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πείθειν, τῷ αὐτῷ ἀπιστεῖν, οὐδ' ὅτι δυνάμει μείζονι πρὸς τὴν τῶνδε ἰσχὺν πάρεσμεν ὑποπτεύεσθαι, πολὺ δὲ μᾶλλον τοῖσδε ἀπιστεῖν. Ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν εἴ τε καὶ γενόμενοι κακοὶ κατερ σαίμεθα, ἀδύνατοι κατασχεῖν διὰ μῆκός τε πλοῦ καὶ τῇ παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ πόλει δὲ μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν ἀεί τε ἐπιβουλεύουσι, καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου, οὐκ ἀνιᾶσιν (ἔδειξαν δὲ καὶ ἄλλα ἤδη καὶ τὰ ἐς Λεοντίνους), καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας, καὶ ἀνέχοντας

part, de payer une somme annuelle ; d'autres, quoique insulaires et faciles à soumettre, combattent à nos côtés comme alliés et avec indépendance complète, parce qu'ils occupent des positions avantageuses à l'entour du Péloponnèse. Il faut donc constituer en Sicile un état de choses qui nous soit profitable, et, nous l'avons dit, tranquillisant contre Syracuse, car elle veut vous rallier à eux et, nous rendant suspects, s'emparer de la Sicile par la force, ou par votre isolement, quand nous serons repartis sans résultat. C'en est fait si vous vous réunissez à eux, puisque nous ne pourrons plus une autre fois disposer à notre gré d'une réunion de tant de forces imposantes, et si peu redoutables que vous semblent être les Syracusains, ils ne le seront que trop pour vous quand nous serons repartis.

86. « Si quelqu'un pense autrement, les faits mêmes prouveront son erreur. Quand vous nous avez appelés la première fois, la seule crainte que vous manifestiez était que si nous vous laissions subjuguer par les Syracusains, un même danger nous menacerait. Il serait injuste maintenant que ce motif par vous-mêmes allégué pour nous inspirer de la confiance, vous inspirât maintenant de la défiance, et cela quand nous arrivons avec des forces supérieures à celles des Syracusains : c'est d'eux plutôt qu'il faut vous défier. Car, quant à nous, sans votre aide nous ne pouvons rester ici longtemps; et quand même, devenus perfides, nous soumettrions la Sicile, il nous serait impossible de la conserver, vu la longueur de la traversée et l'embarras de garder des villes grandes et continentales par leurs ressources; tandis que les Syracusains fixés près de vous, non dans un camp, mais dans une ville qui surpasse en forces

τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ' αὐτοὺς εἶναι παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. Πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων ἀμφοτέροις μὴ προδιδόναι, νομίσαι τε τοῖσδε μὲν καὶ ἄνευ ξυμμάχων ἀεὶ ἐφ' ὑμᾶς ἑτοίμην διὰ τὸν πλῆθος εἶναι ὁδὸν, ὑμῖν δ' οὐ πολλάκις παρασχήσειν μετὰ τοσῆσδε ἐπικουρίας ἀμύνασθαι ἣν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν ἢ καὶ σφαλεῖσαν, ἔτι βουλήσεσθε καὶ πολλοστὸν μόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν.

πζ'. « Ἀλλὰ μήτε ὑμεῖς, ὦ Καμαριναῖοι, ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα, καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες ἀξιώσομεν πείθειν. Φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ ἵνα μὴ ὑπακούωμεν ἄλλου, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε ὅπως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα, πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν διότι καὶ πόλλὰ φυλασσόμεθα, ξύμμαχοι δὲ καὶ νῦν καὶ προτερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι παρακληθέντες δὲ ἥκειν. Καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων μήθ' ὡς σωφρονισταὶ, ὃ χαλεπὸν ἤδη, ἀποτρέπειν πειρᾶσθε, καθόσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει,

toutes les nôtres ici présentes, cherchent toujours à vous nuire, et, partout où ils en trouveront l'occasion ne la laisseront pas échapper. Ils l'ont fait voir en bien des circonstances, et au sujet des Léontins. Aujourd'hui encore, comme si vous étiez des insensés, ils osent vous exciter contre ceux qui s'opposent à leurs desseins, et qui, jusqu'à ce jour, ont empêché la Sicile d'être subjuguée par eux. Combien plus est sincère le moyen de salut que nous vous offrons, vous conjurant de ne pas rejeter un secours salutaire à tous deux. Sachez que, par la supériorité du nombre, la route leur est toujours ouverte pour vous attaquer même sans alliés; tandis que vous n'aurez pas souvent occasion de vous défendre avec d'aussi nombreux auxiliaires. Si, par défiance, vous les laissez partir sans résultat ou les laissez succomber, vous souhaiterez un jour en voir près de vous un nombre quelque faible qu'il fût, et alors même que sa présence ne vous servira de rien.

87. « Mais, ne vous laissez pas entraîner, ô Camarinæens, ni vous, ni les autres alliés, par les calomnies des Syracusains. Nous vous avons dit toute la vérité sur ce dont on nous soupçonne; et en résumant le tout, nous tâcherons de vous convaincre. Oui, nous commandons les peuples de la Grèce, mais pour ne pas obéir à autrui; et nous voulons rendre libres ceux de la Sicile, pour n'avoir point à souffrir d'eux, forcés que nous sommes de beaucoup entreprendre, parce que nous avons aussi beaucoup à nous préserver. Aujourd'hui comme jadis, nous venons en alliés de ceux d'entre vous qu'on opprimait, et ce n'est pas sans invitation, c'est vous-mêmes qui nous avez appelés. Sans vous faire juges ou censeurs de nos actions, ne cherchez pas à nous détourner

τούτῳ ἀπολαβόντες χρήσασθε καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐτὰ, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν· ἐν παντὶ γὰρ πᾶς χωρίῳ, καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ τε οἰόμενος ἀδικήσεσθαι καὶ ὁ ἐπιβουλεύων διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα τῷ μὲν ἀντιτυχεῖν ἐπικουρίας ἀφ᾽ ἡμῶν, τῷ δὲ εἰ ἥξομεν μὴ ἀδεεῖς εἶναι κινδυνεύειν, ἀμφότεροι ἀναγκάζονται ὁ μὲν ἄκων σωφρονεῖν, ὁ δ᾽ ἀπραγμόνως σώζεσθαι. Ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ᾽ ἐξισώσαντες τοῖς ἄλλοις μεθ᾽ ἡμῶν τοῖς Συρακουσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτοὺς, καὶ ἀντεπιβουλεῦσαί ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε. »

πη΄. Τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. Οἱ δὲ Καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε· τοῖς μὲν Ἀθηναίοις εὔνοι ἦσαν, πλὴν καθόσον εἰ τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι, τοῖς δὲ Συρακουσίοις ἀεὶ, κατὰ τὸ ὅμορον, διάφοροι· δεδιότες δ᾽ οὐχ ἧσσον τοὺς Συρακουσίους ἐγγὺς ὄντας μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αυτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς Συρακουσίοις μᾶλλον ἔργῳ, ὡς ἂν δύνωνται μετριώτατα· ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. Καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὤν, εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ πα-

de notre but (ce serait inutile); mais prenant de notre ardeur à tout entreprendre aussi bien que de nos agissements ce qui peut vous convenir, profitez-en. Croyez que, loin de nuire à tous également, notre manière d'agir est en général profitable aux Hellènes, et qu'en tout lieu, même là où nous ne sommes pas, pour qui se croit lésé comme pour qui veut nuire aux autres, toujours sous-agit l'espoir que nous apporterons à l'un un appui favorable, à l'autre une menace de péril si nous venons, d'où résultera pour l'un d'être forcément sage, et pour l'autre d'être sauvé sans qu'il lui en coûte. Ne repoussez donc pas cette sécurité à laquelle peut participer quiconque en a besoin, et qui vient s'offrir à vous d'elle-même; mais à l'exemple des autres, joignez-vous à nous contre les Syracusains, et au lieu d'être toujours en garde contre eux, rendez-leur enfin le mal pour le mal. »

88. Ainsi parla Euphémos; mais les Camarinæens étaient dans une position difficile : amis d'Athènes, en tant qu'ils ne lui croyaient pas l'intention de subjuguer la Sicile, ils étaient toujours en contestation avec les Syracusains par rapport au voisinage; néanmoins, comme ils craignaient que les Syracusains, dont ils étaient limitrophes, ne sortissent victorieux de cette lutte, même sans leurs secours, d'abord ils leur avaient envoyé quelque peu de cavalerie, et, pour l'avenir, ils résolurent de ne donner aux Syracusains que le moins possible de secours effectifs; mais dans les circonstances présentes, afin de ne pas paraître moins favoriser les Athéniens, qui venaient d'avoir le dessus dans la bataille, ils crurent devoir faire la même réponse à tous deux. Ainsi donc, après avoir délibéré, ils dirent que, vu la guerre existante entre les deux peuples,

ρόντι μηδετέροις ἀμύνειν. Καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον.

Καὶ οἱ μὲν Συρακούσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν πόλεμον, οἱ δ' Ἀθηναῖοι, ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι, τὰ πρὸς Σικελοὺς ἔπρασσον, ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσονται. Καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν ὑπήκοοι ὄντες τῶν Συρακουσίων οἱ πολλοὶ ἀφεστήκεσαν· τῶν δὲ τὴν μεσόγαιαν ἐχόντων αὐτόνομοι οὖσαι καὶ πρότερον ἀεὶ οἰκήσεις, εὐθὺς πλὴν ὀλίγοι, μετὰ τῶν Ἀθηναίων ἦσαν καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι καὶ εἰσὶν οἳ καὶ χρήματα. Ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακουσίων φρουρούς τε πεμπόντων καὶ βοηθούντων ἀπεκώλυον· Τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην, καὶ τὸ στρατόπεδον, ὃ κατεκαύθη ὑπὸ τῶν Συρακουσίων, αὖθις ἀνορθώσαντες, διεχείμαζον· Καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι, ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν. Περιήγγελλον δὲ καὶ τοῖς Σικελοῖς, καὶ ἐς τὴν Ἔγεσταν πέμψαντες, ἐκέλευον ἵππους σφίσιν ὡς πλείστους πέμπειν, καὶ τἆλλα ἐς τὸν περιτειχισμὸν, πλινθία καὶ σίδηρον, ἡτοίμαζον, καὶ ὅσα ἔδει, ὡς ἅμα τῷ ἦρι ἑξόμενοι τοῦ πολέμου.

Οἱ δ' ἐς τὴν Κόρινθον καὶ Λακεδαίμονα τῶν Συρακουσίων

tous deux alliés des Camarinæens, il leur paraissait loyal de ne secourir ni les uns ni les autres. Les députés se retirèrent de part et d'autre.

Pendant que les Syracusains faisaient à l'envi l'un de l'autre leurs préparatifs de guerre, les Athéniens, campés à Naxos, traitaient avec les Sicèles pour en attirer le plus grand nombre dans leur parti. Sujets de Syracuse, la plupart des Sicèles qui habitaient la plaine s'en détachèrent, tandis qu'à l'intérieur des terres, la plupart des bourgades qui de tout temps étaient indépendantes, s'empressèrent de se joindre aux Athéniens, un petit nombre excepté; ils envoyèrent des vivres à l'armée athénienne, quelques-uns même de l'argent. Les Athéniens, se portant contre ceux qui ne se joignaient pas à eux, y contraignaient les uns et empêchaient les autres de s'unir aux Syracusains qui, de leur côté, leur envoyaient des garnisons et des secours.

Pendant l'hiver les Athéniens, ayant transporté leur station de Naxos à Catane et rétabli leur camp incendié par les Syracusains, hivernèrent en cet endroit. Ils envoyèrent une trirème à Carthage pour y établir des relations amicales, et en obtenir quelque secours s'il se pouvait; ils envoyèrent aussi dans la Tyrsénie, où quelques villes leur avaient promis d'unir leurs armes aux leurs. De plus, ils envoyèrent chez les Sicèles, ainsi qu'à Égeste, demander qu'on leur envoyât le plus de chevaux qu'on pourrait. Ils se pourvoyaient en même temps de briques, de fer et de tout ce qui était nécessaire pour les fortifications, afin de commencer la guerre dès le printemps.

Ceux que les Syracusains avaient députés à Corin-

ἀποσταλέντες πρέσβεις τούς τε Ἰταλιώτας ἅμα παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γιγνόμενα ὑπὸ τῶν Ἀθηναίων ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα, καὶ ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν. Καὶ οἱ Κορίνθιοι εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι ὥστε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους, καὶ ἐς τὴν Σικελίαν ὠφελίαν τινὰ πέμπειν. Καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν Λακεδαίμονα καὶ Ἀλκιβιάδης μετὰ τῶν ξυμφυγάδων, περαιωθεὶς τότ' εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν Λακεδαίμονα, αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων, ὑπόσπονδος ἐλθών· ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν. Καὶ ξυνέβη ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακουσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. Καὶ διανοουμένων τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας κωλύοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε λέγων τοιά.

πθ΄. « ΑΝΑΓΚΑΙΟΝ περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον

the et à Lacédémone, tâchaient, chemin faisant, d'engager les Italiôtes à tenir l'œil ouvert sur les actes des Athéniens, vu que leurs intentions n'étaient pas moins hostiles à leur égard. Arrivés à Corinthe, ils réclamèrent, en raison de la communauté d'origine, un secours efficace. Les Corinthiens (et ils furent les premiers) décrétèrent aussitôt de les secourir énergiquement, et firent partir des députés à Lacédémone avec ceux de Syracuse, afin que de concert ils pussent engager les Lacédémoniens à faire plus ouvertement la guerre aux Athéniens en Grèce, et à envoyer aussi quelques secours en Sicile.

Les députés de Corinthe se trouvèrent à Lacédémone en même temps qu'Alcibiades, qui, lors de son rappel, était passé aussitôt avec ses compagnons d'exil sur un bâtiment de charge, d'abord de Thourie* à Cyllène d'Élée*; appelé ensuite par les Lacédémoniens eux-mêmes, il était venu à Lacédémone, mais sous garantie, car il les craignait à cause de son intrigue dans les affaires de Mantinée. Or, il advint que, dans l'assemblée des Lacédémoniens, les Corinthiens, les Syracusains, ainsi qu'Alcibiades, firent les mêmes demandes, pour engager les Lacédémoniens à la guerre. Les éphores et les autorités pensaient à envoyer des députés à Syracuse, afin de l'empêcher de s'arranger avec les Athéniens, mais ils étaient peu disposés à la secourir, lorsqu'Alcibiades, s'étant avancé dans l'assemblée, stimula les Lacédémoniens et les exhorta ainsi :

* Thurium, ancienne Sybaris, ville d'Italie.
* Dans le Péloponnèse.

89. « Il me faut avant tout me défendre contre les calomnies dont je suis l'objet près de vous, afin qu'au-

ἐς ὑμᾶς εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε.

« Τῶν δ' ἡμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων, αὐτὸς ἐγὼ πάλιν ἀναλαμβάνων ἐθεράπευον ὑμᾶς ἄλλα τε καὶ περὶ τὴν ἐκ Πύλου ξυμφοράν. Καὶ διατελοῦντός μου προθύμου, ὑμεῖς πρὸς Ἀθηναίους καταλλασσόμενοι τοῖς μὲν ἐμοῖς ἐχθροῖς δύναμιν, δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιέθετε. Καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ, πρός τε τὰ Μαντινέων καὶ Ἀργείων τραπομένου, καὶ ὅσα ἄλλα ἠναντιούμην ὑμῖν, ἐβλάπτεσθε· καὶ νῦν, εἴτις καὶ τότε ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ ἀληθοῦς σκοπῶν ἀναπειθέσθω· ἢ εἴ τις, διότι καὶ τῷ δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμιζε, μηδ' οὕτως ἡγήσηται ὀρθῶς ἄχθεσθαι. Τοῖς γὰρ τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν, πᾶν δὲ τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται· και ἀπ' ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν τοῦ πλήθους. Ἅμα δὲ τῆς πόλεως δημοκρατουμένης, τὰ πολλὰ ἀνάγκη ἦν τοῖς παροῦσιν ἕπεσθαι. Τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐπειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι. Ἄλλοι δ' ἦσαν καὶ ἐπὶ τῶν πάλαι καὶ νῦν, οἳ ἐπὶ τὰ πονηρότερα ἐξῆγον τὸν ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν. Ἡμεῖς δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες ἐν ᾧ σχήματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖσα, καὶ ὅπερ ἐδέξατο τις, τοῦτο ξυνδιασώζειν, ἐπεὶ δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ

cune prévention ne puisse nuire à ce que je vais dire dans l'intérêt commun.

« Mes ancêtres avaient, pour certain grief, renoncé à votre proxénie, et c'est moi-même qui, pour la renouveler, vous servis dans plusieurs circonstances, surtout lors du désastre de Pylos. Tout mon zèle vous était acquis, et quand vous vous êtes réconciliés avec les Athéniens, il en est résulté pour eux, en traitant avec mes ennemis un accroissement de puissance et pour moi, le discrédit. Par là vous avez mérité le mal que je vous fis quand j'embrassai la cause des Mantinéens et des Argéens et m'opposai à vous en d'autres circonstances. Si quelqu'un alors s'irrita sans raison contre moi du mal qu'il a pu souffrir, aujourd'hui, voyant les choses dans leur vérité, il changera de sentiment; ou si quelqu'un eut mauvaise opinion de moi pour mon attachement au peuple, il reconnaîtra son ressentiment mal fondé. Toujours moi et mes ancêtres nous fûmes ennemis des tyrans, et comme tout ce qui s'oppôse au pouvoir s'appelle peuple, cette inimitié nous a maintenus chefs de la multitude. De plus, comme notre Ville se gouverne démocratiquement, souvent il nous fallut se conformer aux circonstances; et cependant nous tâchions, dans notre politique, d'être plus mesurés que la licence dominante. C'étaient d'autres que nous, jadis comme aujourd'hui, qui poussaient la multitude aux plus coupables excès; ce sont eux aussi qui m'ont banni. Quant à nous, tant que l'administration de l'État fut présidée par nous, nous crûmes de notre devoir que la constitution qui rendit notre ville si puissante et si libre, et dont chacun hérita, fût conservée. D'ailleurs, pour ceux d'entre nous qui ont quelque peu de sagesse, ils

φρονοῦντές τι. καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ· καὶ λοιδορήσαιμι, ἀλλὰ περὶ ὁμολογουμένης ἀνοίας οὐδὲν ἂν καινὸν λέγοιτο· καὶ τὸ μεθιστάναι αὐτὴν οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι, ὑμῶν πολεμίων προσκαθημένων.

ζ΄. « Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέβη· περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον καὶ ἐμοὶ, εἴ τι πλέον οἶδα, ἐσηγητέον, μάθετε ἤδη.

« Ἐπλεύσαμεν ἐς Σικελία, πρῶτον μὲν, εἰ δυναίμεθα, Σικελιώτας καταστρεψόμενοι, μετὰ δ' ἐκείνους αὖθις καὶ Ἰταλιώτας, ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν ἀποπειράσοντες. Εἰ δὲ προχωρήσειε ταῦτα ἢ πάντα ἢ καὶ τὰ πλείω, ἤδη τῇ Πελοποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων, πολλοὺς δὲ βαρβάρους μισθωσάμενοι, καὶ Ἴβηρας καὶ ἄλλους τῶν ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτάτων, τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυπηγησάμενοι ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα, οἷς τὴν Πελοπόννησον πέριξ πολιορκοῦντες, καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμαῖς τῶν πόλεων τὰς μὲν βίᾳ λαβόντες, τὰς δ' ἐντειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν, καὶ μετὰ ταῦτα καὶ τοῦ ξύμπαντος Ἑλληνικοῦ ἄρξειν. Χρήματα δὲ καὶ σῖτον, ὥστε εὐπορώτερον γίγνεσθαί τι αὐτῶν, αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν χωρία ἔμελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρέξειν.

savent ce qu'est la démocratie, moi surtout plus que personne, tant je voudrais la flétrir ; mais que dirais-je de nouveau sur une démence avouée? Cependant la changer ne nous semblait pas sans péril tant que vous restiez si près de nous sous les armes.

90. « Telles furent les causes de vos préventions contre moi. Quant aux mesures à prendre et aux avis que je puis vous indiquer (si j'en sais plus que vous), prêtez-moi votre attention.

« Nous avons fait l'expédition de Sicile dans le but de réduire d'abord les Sicéliôtes, et après eux les Italiôtes aussi, puis nous essayer contre la domination de Carthage et les Carthaginois eux-mêmes. Si ces projets réussissaient en tout ou en grande partie, nous devions alors attaquer le Péloponnèse, en marchant contre lui renforcés de l'adjonction des Hellènes de ces contrées, en soudoyant une foule de Barbares, et les Ibères, et autres populations réputées aujourd'hui les plus belliqueuses de ces pays sauvages. Augmentant ensuite nos trirèmes d'un grand nombre d'autres que nous aurions construites avec les bois abondants de l'Italie, nous bloquions le Péloponnèse et l'assiégions par terre et par mer. Alors prenant d'assaut ses villes ou les investissant il nous semblait facile d'être victorieux et dès lors tout l'empire hellénique nous était soumis. Quant à l'argent et aux vivres, pour en faciliter les envois, c'était de ces pays-là mêmes nouvellement conquis qu'on les aurait obtenus et ils nous auraient suffisamment pourvus, sans nos autres revenus.

ϟα'. « Τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ ἀκριβέστατα εἰδότος ὡς διενοήθημεν ἀκηκόατε· καὶ ὅσοι ὑπόλοιποι στρατηγοὶ, ἢν δύνωνται, ὁμοίως αὐτὰ πράξουσιν. Ὡς δὲ, εἰ μὴ βοηθήσετε, οὐ περιέσται τἀκεῖ, μάθετε ἤδη. Σικελιῶται γὰρ ἀπειρότεροι μέν εἰσιν, ὅμως δ' ἂν, ξυστραφέντες ἀθρόοι, καὶ νῦν ἔτι περιγένοιντο. Συρακούσιοι δὲ μόνοι, μάχῃ τε ἤδη πανδημεὶ ἡσσημένοι καὶ ναυσὶν ἅμα κατειργόμενοι, ἀδύνατοι ἔσονται τῇ νῦν Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀντισχεῖν. Καὶ εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἔχεται καὶ ἡ πᾶσα Σικελία, καὶ εὐθὺς καὶ Ἰταλία· καὶ, ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι. Ὥστε μὴ περὶ τῆς Σικελίας τις οἰέσθω μόνον βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ ποιήσετε τάδε ἐν τάχει, στρατιάν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην ἐκεῖσε, οἵτινες αὐτερέται κομισθέντες καὶ ὁπλιτεύσουσιν εὐθὺς, καὶ ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω, ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας ξυντάξῃ, καὶ τοὺς μὴ θέλοντας προσαναγκάσῃ· οὕτω γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον καὶ οἱ ἐνδοιάζοντες ἀδεέστερον προσίασι. Καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώτερον ἐκπολεμεῖν, ἵνα Συρακούσιοί τε νομίζοντες ὑμᾶς ἐπιμελεῖσθαι μᾶλλον ἀντέχωσι, καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσι.

« Τειχίζειν δὲ χρὴ Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι

91. « Tels étaient nos projets dans cette expédition déjà engagée, et vous en êtes informés par celui qui les connaît le mieux; les généraux qui restent les exécuteront de même, s'ils le peuvent. Mais, si vous n'envoyez pas aussitôt de secours en Sicile, tout y sera perdu, sachez-le bien. Les Siceliôtes, bien qu'inférieurs en science militaire, pourraient encore aujourd'hui l'emporter, si toutes leurs forces étaient réunies. Mais les Syracusains isolés, vaincus déjà en masse dans une bataille, et bloqués en même temps par une flotte, ne sauraient tenir contre les forces que les Athéniens ont maintenant en Sicile. Une fois Syracuse prise, toute la Sicile le sera aussi, et bientôt l'Italie; c'est de là que le péril dont je vous ai parlé ne tarderait pas à fondre sur vous. Que personne donc ne s'imagine qu'il délibère sur la Sicile seule; il y va aussi du Péloponnèse, si vous ne faites aussitôt ceci : envoyez en Sicile sur une flotte des soldats, qui rameront dans la traversée, et ensuite vous seront des hoplites; mais, ce que j'estime bien plus qu'une armée, envoyez pour commander en chef un Spartiate, qui disciplinera les troupes déjà réunies et contraindra à s'armer ceux qui s'y refusent. Par là les amis que vous avez en Sicile s'encourageront, et ceux qui hésitent prendront plus hardiment votre parti. Il vous faut encore faire ici une guerre plus ouverte, afin que les Syracusains, convaincus que vous prenez soin d'eux, résistent davantage, et que les Athéniens envoient moins aisément d'autres renforts à leur armée.

« Il faut aussi fortifier Décélie en Attique, ce que de tout temps les Athéniens redoutent le plus, et c'est des

μάλιστα ἀεὶ φοβοῦνται, καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. Βεβαιότατα δ' ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ, ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι· εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι. Ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ παρεὶς, τὰ μέγιστα κεφαλαιώσω. Οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται, τὰ πολλὰ πρὸς ὑμᾶς τὰ μὲν ληφθέντα, τὰ δ' αὐτόματα ἥξει· καὶ τὰς τοῦ Λαυρείου τῶν ἀργυρείων μετάλλων προσόδους, καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσονται, μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου ἧσσον διαφορουμένης, οἳ τὰ παρ' ὑμῶν νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι ὀλιγωρήσουσι.

Ϟβ'. « Γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει καὶ προθυμότερον ἐν ὑμῖν ἐστιν, ὦ Λακεδαιμόνιοι, ἐπεὶ ὥς γε δυνατὰ (καὶ οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης) πάνυ θαρσῶ. Καὶ χείρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ τῶν πολεμιωτάτων, φιλόπολίς ποτε δοκῶν εἶναι, νῦν ἐγκρατῶς ἐπέρχομαι, οὐδὲ ὑποπτεύεσθαί μου εἰς τὴν φυγαδικὴν προθυμίαν τὸν λόγον. Φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας, καὶ οὐ τῆς ὑμετέρας, ἢν πείθησθέ μοι, ὠφελίας· καὶ πολεμιώτεροι οὐχ οἱ τοὺς πολεμίους που βλάψαντες ὑμεῖς ἢ οἱ τοὺς φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι. Τό τε

maux de la guerre celui qu'ils pensent n'avoir pas éprouvé. Or, le plus sûr moyen de nuire aux ennemis, c'est de leur opposer ce qu'on sait clairement qu'ils ont le plus à craindre; car il est naturel que chacun, par cela même qu'il connaît le mieux ses propres périls, les redoute d'autant plus. Quant aux avantages résultant pour vous-mêmes de cette fortification, et aux dommages pour vos adversaires, j'en omets plusieurs et résumerai les plus grands. Les établissements qui ornent la contrée, vous les posséderez : les uns seront pris par vous-mêmes et les autres vous seront livrés spontanément; ils perdront aussitôt les revenus des mines d'argent de Laurion, et seront privés de tous les profits qu'ils retirent maintenant de la terre et des tribunaux. Mais surtout cette perte s'accroîtra par la diminution du revenu provenant de leurs alliés, qui, pensant qu'Athènes est maintenant combattue par vous à toute outrance, la mépriseront.

92. « La réussite de ce plan dépend de vous, ô Lacédémoniens! si vous agissez promptement et avec plus de zèle; car j'ai pleine confiance que cela est possible, et ne crois pas me tromper dans mon opinion. Qu'aucun de vous n'ait de moi mauvaise opinion, je vous prie; si, réputé jadis bon patriote, je me porte violemment aujourd'hui contre ma patrie avec ses plus grands ennemis, ne soupçonnez pas mon discours comme suggéré par l'acharnement d'un exilé. Je suis exilé par la scélératesse de ceux qui m'ont chassé, mais je ne déserte pas vos intérêts, si vous avez confiance en moi. Mes plus grands ennemis ne sont pas ceux qui comme vous ont pu causer quelque dommage à leurs adversaires, mais ceux qui ont forcé leurs amis à devenir des ennemis. La patrie m'est chère

φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην. Οὐδ' ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι νῦν ἰέναι, πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι. Καὶ φιλόπολις οὗτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως ἀπολέσας μὴ ἐπίῃ, ἀλλ' ὃς ἂν ἐκ παντὸς τρόπου διὰ τὸ ἐπιθυμεῖν πειραθῇ αὐτὴν ἀναλαβεῖν. »

« Οὕτως ἔμοι τε ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν ἀδεῶς χρῆσθαι, ὦ Λακεδαιμόνιοι, γνόντας τοῦτον δὴ τὸν ὑφ' ἁπάντων προβαλλόμενον λόγον, ὡς εἰ πολέμιός γε ὢν σφόδρα ἔβλαπτον, κἂν φίλος ὢν ἱκανῶς ὠφελοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα ᾔκαζον, καὶ αὐτοὺς νῦν, νομίσαντας περὶ μεγίστων δὴ τῶν διαφερόντων βουλεύεσθαι, μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σικελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν, ἵνα τά τε ἐκεῖ βραχεῖ μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσητε καὶ Ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν καθέλητε, καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε καὶ τῆς ἁπάσης Ἑλλάδος ἑκούσης καὶ οὐ βίᾳ, κατ' εὔνοιαν δὲ ἡγῆσθε. »

ϟγʹ. Ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν, οἱ δὲ Λακεδαιμόνιοι διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ τὰς Ἀθήνας, μέλλοντες δ' ἔτι καὶ περιορώμενοι, πολλῷ μᾶλλον ἐπεῤῥώσθησαν, διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ, καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκοέναι· ὥστε τῇ ἐπιτειχίσει τῆς Δεκελείας προσεῖχον ἤδη τὸν νοῦν, καὶ τὸ

non quand j'y suis offensé, mais quand citoyen j'y ai vécu en sécurité. Je ne crois plus marcher aujourd'hui contre une patrie existante encore, mais bien plutôt pour recouvrer celle qui ne subsiste pas. Pour moi le véritable patriote n'est pas celui qui, après avoir perdu sa patrie injuste envers lui, ne l'attaquerait pas, mais celui qui, dans son amour pour elle, tâcherait de la recouvrer de toute manière.

« C'est pour cela, Lacédémoniens, que je vous demande de m'employer sans crainte et dans les périls et dans toute sorte de fatigues ; sachez, ce que tous disent de moi, que si, comme ennemi, je vous ai fait grand mal, comme ami, le bien que je vous ferais pourrait le compenser, d'autant plus que je sais les affaires des Athéniens, et ne formais que des conjectures sur les vôtres. Et vous, aujourd'hui, songeant que vous délibérez sur choses de la plus haute importance, n'hésitez pas sur la double expédition à faire en Sicile et en Attique ; quelque faible que soit le secours que vous y enverrez, vous sauverez de grands intérêts, vous abattrez la puissance présente et future des Athéniens, vous vivrez désormais vous-mêmes en sécurité, et commanderez à toute la Grèce, soumise volontairement, non par la force, mais par l'amitié. »

93. Voilà tout ce que dit Alcibiades. Les Lacédémoniens, qui d'eux-mêmes avaient auparavant l'intention de faire une expédition contre Athènes, mais qui différaient encore et temporisaient, furent bien plus enhardis en écoutant chacun des renseignements qu'il leur donnait. Ils pensèrent les tenir de celui qui connaissait le mieux l'état des choses ; aussi s'occupèrent-ils alors de

παραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ τιμωρίαν. Καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακουσίοις, ἐκέλευον μετ' ἐκείνων καὶ τῶν Κορινθίων βουλευόμενον ποιεῖν ὅπῃ ἐκ τῶν παρόντων μάλιστα καὶ τάχιστά τις ὠφελία ἥξει τοῖς ἐκεῖ. Ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ πέμπειν ἐς Ἀσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι ὅσας διανοοῦνται πέμπειν, καὶ ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν. Ταῦτα δὲ ξυνθέμενοι ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος.

Ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν Ἀθηναίων, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. Καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ τοὺς ἱππέας. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Ϟδ'. Ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου θέρους οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, ἄραντες ἐκ τῆς Κατάνης, παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ Σικελίᾳ, οὓς ἐπὶ Γέλωνος τοῦ τυράννου, ὥσπερ καὶ πρότερόν μοι εἴρηται, ἀναστήσαντες Συρακούσιοι αὐτοὶ ἔχουσι τὴν γῆν. Ἀποβάντες δὲ ἐδῄωσαν τούς τε ἀγροὺς, καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν Συρακουσίων καὶ οὐχ ἑλόντες, αὖθις καὶ πεζῇ καὶ ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρίαν ποταμὸν, τό τε πεδίον ἀναβάντες ἐδῄουν, καὶ τὸν σῖτον ἐνεπίμπρασαν, καὶ τῶν Συρα-

fortifier Décélie, et d'envoyer aussitôt quelque secours à ceux qui étaient en Sicile. Ils désignèrent Gylippos, fils de Cléandridas, pour commander aux Syracusains avec l'ordre de délibérer avec eux et avec les Corinthiens, afin que selon les moyens présents on envoyât du secours au mieux et au plus vite en Sicile. Gylippos ordonna aux Corinthiens de lui envoyer sans retard à Asiné deux vaisseaux, et de préparer les autres qu'ils comptaient expédier, recommandant que cette flotte fût prête à mettre à la voile dès qu'il en serait temps. Après être convenus de ces mesures, les députés partirent de Lacédémone.

La trirème athénienne expédiée par les généraux pour obtenir de l'argent et des cavaliers arriva alors de Sicile. A sa demande, les Athéniens décrétèrent d'envoyer à leur armée les vivres et la cavalerie. L'hiver finit, ainsi que la dix-septième année de cette guerre dont Thucydides a composé l'histoire.

94. L'été suivant, dès le commencement du printemps, les Athéniens en Sicile, ayant levé le camp de Catane, allèrent le long des côtes vers Mégara en Sicile, dont les Syracusains, après en avoir chassé les habitants sous le tyran Gélon, comme je l'ai dit plus haut*, occupent eux-mêmes le territoire. Les Athéniens, descendus à terre, ravagèrent les campagnes, se présentèrent devant un fort des Syracusains, et, n'ayant pu l'emporter, revinrent le long des côtes vers le fleuve Térias, s'avancèrent dans le pays, avec l'armée de terre et avec leurs vaisseaux, dévastèrent la plaine et incendièrent les moissons. Ayant ren-

Dix-huitième année.
414 ans av. J.-C.
Saison d'été.

* L. VI, ch. 4.

κουσίων περιτυχόντες τισὶν οὐ πολλοῖς, καὶ ἀποκτείναντές τέ τινας, καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπὶ τὰς ναῦς. Καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ Κεντόριπα, Σικελῶν πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ ἀπῄεσαν, πιμπράντες ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων. Καὶ ἀφικόμενοι ἐς Κατάνην καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκοντα καὶ διακοσίους, ἄνευ τῶν ἵππων μετὰ σκευῆς, ὡς αὐτόθεν ἵππων πορισθησομένων, καὶ ἱπποτοξότας τριάκοντα καὶ τάλαντα ἀργυρίου τριακόσια.

ϟεʹ. Τοῦ δ' αὐτοῦ ἦρος καὶ ἐπ' Ἄργος στρατεύσαντες Λακεδαιμόνιοι μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ δὲ γενομένου ἀπεχώρησαν. Καὶ Ἀργεῖοι μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν ὅμορον οὖσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἣ ἐπράθη ταλάντων οὐκ ἔλασσον πέντε καὶ εἴκοσι. Καὶ ὁ Θεσπιέων δῆμος ἐν τῷ αὐτῷ θέρει οὐ πολὺ ὕστερον ἐπιθέμενος τοῖς τὰς ἀρχὰς ἔχουσιν, οὐ κατέσχεν, ἀλλὰ, βοηθησάντων Θηβαίων, οἱ μὲν ξυνελήφθησαν, οἱ δ' ἐξέπεσον Ἀθήναζε.

ϟϛʹ. Καὶ οἱ Συρακούσιοι τοῦ αὐτοῦ θέρους, ὡς ἐπύθοντο τούς τε ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις καὶ μέλλοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ Ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς, οὐδ' εἰ κρα-

contré un petit nombre de Syracusains, ils en tuèrent quelques-uns, dressèrent un trophée et remontèrent sur leurs vaisseaux. De là ils passèrent à Catane, où, s'étant ravitaillés, ils s'avancèrent avec toute l'armée à Centoripa, ville des Sicèles, s'en rendirent maîtres par une convention, et se retirèrent tout en brûlant les moissons des Inessæens et des Hyblæens. De retour à Catane, ils y trouvèrent les cavaliers qui venaient d'Athènes au nombre de deux cent cinquante avec leur équipement, mais sans chevaux (on croyait s'en procurer dans le pays), et aussi trente archers à cheval et trois cents talents d'argent *. * Un million six cent vingt mille francs.

95. Ce même printemps, les Lacédémoniens firent aussi une expédition contre Argos, et s'avancèrent jusqu'à Cléônæ; mais un tremblement de terre survint, et ils se retirèrent. Les Argéens ensuite envahirent Thyréatis, pays limitrophe, et firent sur les Lacédémoniens un butin considérable, qu'ils ne vendirent pas moins de vingt-cinq talents *. Peu après, dans le même été, le peuple de Thespiæ, ayant attaqué les chefs du gouvernement, ne put réussir; les Thébains vinrent au secours du gouvernement, et des révoltés les uns furent pris, les autres se réfugièrent à Athènes. * 135,000 francs.

96. Ce même été, les Syracusains, informés qu'il était venu de la cavalerie aux Athéniens, et que ceux-ci devaient bientôt marcher contre eux, crurent que, si les Athéniens ne s'emparaient pas des Épipolæ, endroit escarpé et qui domine immédiatement Syracuse, il ne leur serait plus facile, même après une victoire, de cerner la ville par une circonvallation; ils formèrent donc le dessein de garder les accès de ces collines, afin que l'ennemi n'y pût monter à leur insu; car tout autre

τοῖντο μάχῃ, ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταύτας λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. Ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως ἐπικλινές τέ ἐστι καὶ ἐπιφανὲς πᾶν εἴσω· καὶ ὠνόμασται ὑπὸ τῶν Συρακουσίων διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι Ἐπιπολαί. Καὶ οἱ μὲν ἐξελθόντες πανδημεὶ ἐς τὸν λειμῶνα παρὰ τὸν Ἄναπον ποταμὸν ἅμα τῇ ἡμέρᾳ (ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν Ἑρμοκράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχὴν), ἐξέτασίν τε ὅπλων ἐποιοῦντο, καὶ ἑξακοσίους λογάδας τῶν ὁπλιτῶν ἐξέκριναν πρότερον, ὧν ἦρχε Διόμιλος φυγὰς ἐξ Ἄνδρου, ὅπως τῶν τε Ἐπιπολῶν εἶεν φύλακες, καὶ, ἢν ἐς ἄλλο τι δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται.

ϞΖʹ. Οἱ δὲ Ἀθηναῖοι ταύτης τῆς νυκτὸς ᾗ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ ἐξητάζοντο, ἔλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι ἐκ τῆς Κατάνης σχόντες κατὰ τὸν Λέοντα καλούμενον, ὃς ἀπέχει τῶν Ἐπιπολῶν ἓξ ἢ ἑπτὰ σταδίους, καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες, ταῖς τε ναυσὶν ἐς τὴν Θάψον καθορμισάμενοι· ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ προὔχουσα ἐς τὸ πέλαγος, τῆς δὲ Συρακουσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει. Καὶ ὁ μὲν ναυτικὸς στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάψῳ, διασταυρωσάμενος τὸν ἰσθμὸν, ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει εὐθὺς δρόμῳ πρὸς τὰς Ἐπιπολὰς, καὶ φθάνει ἀναβὰς κατὰ τὸν Εὐρύηλον πρὶν τοὺς Συρακουσίους αἰσθομέ-

côté leur était inaccessible. En effet, cette position est élevée et vient en s'inclinant jusqu'à la ville, de sorte que de l'intérieur on l'aperçoit. Les Syracusains donnèrent à cet endroit le nom des Épipolæ, parce qu'il domine les alentours. Ils sortirent en masse à la pointe du jour pour aller à la prairie qui est au bord du fleuve Anapos; Hermocrates et les autres généraux ses collègues qui venaient d'être investis du commandement y firent la revue des armes, et choisirent d'abord parmi les hoplites six cents hommes d'élite, commandés par Diomilos, exilé d'Andros, auxquels la garde des Épipolæ fut confiée; réunis en corps, ils devaient se porter rapidement partout ailleurs où il en serait besoin.

97. Dans la nuit précédant le jour où les Syracusains firent la revue de leurs troupes, les Athéniens, partis de Catane avec toute leur armée, sans être aperçus des Syracusains prirent terre à l'endroit nommé Léon, qui est à six ou sept stades * des Épipolæ. Ils débarquèrent l'infanterie, et leurs vaisseaux mouillèrent à Thapsos. C'est une presqu'île avec un isthme étroit qui se prolonge dans la mer, et est à peu de distance de Syracuse tant par mer que par terre. L'armée navale des Athéniens à Thapsos, après avoir palissadé l'isthme, se tint en repos; tandis que l'infanterie se porta aussitôt en courant aux Épipolæ, et eut le temps de monter sur l'Euryélos avant que les Syracusains, informés de leur arrivée, y parvinssent de la prairie et de la revue. Chacun y accourut le plus vite qu'il put, et entre autres les six cents hommes que commandait Dio-

* 8 à 900 m.

νους ἐκ τοῦ λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι. Ἐβοήθουν δὲ οἵ τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχε, καὶ οἱ περὶ τὸν Διόμιλον ἑξακόσιοι· στάδιοι δὲ, πρὶν προσμίξαι ἐκ τοῦ λειμῶνος, ἐγίγνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι. Προσπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον, καὶ μάχῃ νικηθέντες οἱ Συρακούσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς, ἀνεχώρησαν ἐς τὴν πόλιν· καὶ ὅ τε Διόμιλος ἀποθνήσκει καὶ τῶν ἄλλων ὡς τριακόσιοι. Καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι, τροπαῖόν τε στήσαντες καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακουσίοις, πρὸς τὴν πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικαταβάντες, ὡς οὐκ ἐπεξῄεσαν αὐτοῖς, ἐπαναχωρήσαντες, φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ' ἄκροις τοῖς κρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα, ὅπως εἴη αὐτοῖς, ὁπότε προΐοιεν ἢ μαχούμενοι ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.

ϟη'. Καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης ἱππῆς τριακόσιοι καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλλων τινῶν ὡς ἑκατόν· καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ διακόσιοι, οἷς ἵππους τοὺς μὲν παρ' Ἐγεσταίων καὶ Καταναίων ἔλαβον, τοὺς δ' ἐπρίαντο, καὶ ξύμπαντες πεντήκοντα καὶ ἑξακόσιοι ἱππῆς ξυνελέγησαν. Καὶ καταστήσαντες ἐν τῷ Λαβδάλῳ φυλακὴν, ἐχώρουν πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵναπερ καθεζόμενοι ἐτείχισαν τὸν κύκλον διὰ τάχους· Καὶ ἔκπληξιν τοῖς Συρακουσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας· καὶ

milos; mais ils avaient, pour joindre l'ennemi, à parcourir un espace qui n'était pas moins de vingt-cinq * stades à partir de la prairie; aussi les Syracusains, ayant attaqué en désordre, furent vaincus sur les Épipolæ, et se retirèrent dans la ville. Diomilos périt et environ trois cents des siens. Après cet engagement les Athéniens dressèrent un trophée, rendirent les morts le lendemain aux Syracusains par un accord et descendirent vers la ville même. Comme on ne fit pas de sortie contre eux, ils se retirèrent et bâtirent à Labdalon, sur la crête des escarpements des Épipolæ, un fort qui regardait Mégara, afin de leur servir pour y déposer le matériel de l'armée et l'argent chaque fois qu'ils s'approcheraient de Syracuse, soit pour livrer un combat, soit pour élever des fortifications.

* 4 kil. 625.

98. Peu de temps après, il leur vint d'Égeste trois cents cavaliers, ainsi qu'une centaine de chez les Sicèles, de Naxos et de quelques autres villes. Il y avait aussi deux cent cinquante cavaliers d'Athènes, pour lesquels on se procura des chevaux, partie chez les Égestains et les Catanæens, et partie en les achetant. On rassembla en tout six cent cinquante cavaliers. Après avoir mis une garnison à Labdalon, les Athéniens s'avancèrent vers Syké où ils campèrent, et l'entourèrent en toute hâte d'une fortification circulaire*. Par la célérité qu'ils mirent à cette construction, ils épouvantèrent les Syracusains. Ceux-ci firent une sortie contre eux, dans l'intention de livrer bataille pour s'y opposer. Pendant que les troupes se

* Le Cyklos.

ἐπεξελθόντες, μάχην διενοοῦντο ποιεῖσθαι καὶ μὴ περιορᾷν. Καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις, οἱ τῶν Συρακουσίων στρατηγοὶ, ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον τε καὶ οὐ ῥᾳδίως ξυντασσόμενον, ἀνήγαγον πάλιν ἐς τὴν πόλιν πλὴν μέρους τινὸς τῶν ἱππέων· οὗτοι δὲ ὑπομένοντες ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μακροτέραν. Καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν καὶ οἱ ἱππῆς μετ' αὐτῶν πάντες ἐτρέψαντο τοὺς τῶν Συρακοσίων ἱππέας προσβαλόντες, καὶ ἀπέκτεινάν τε τινὰς καὶ τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.

ϟθ'. Καὶ τῇ ὑστεραίᾳ οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ πρὸς βορέαν τοῦ κύκλου τεῖχος, οἱ δὲ λίθους καὶ ξύλα ξυμφοροῦντες παρέβαλλον ἐπὶ τὸν Τρώγιλον καλούμενον ἀεὶ, ἧπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. Οἱ δὲ Συρακούσιοι, οὐχ ἥκιστα Ἑρμοκράτους τῶν στρατηγῶν ἐσηγησαμένου, μάχαις μὲν πανδημεὶ πρὸς Ἀθηναίους οὐκέτι ἐβούλοντο διακινδυνεύειν, ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι ᾗ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος, καὶ, εἰ φθάσειαν, ἀποκλείσεις γίγνεσθαι, καὶ ἅμα καὶ ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν αὐτοὺς τῆς στρατιᾶς καὶ φθάνειν ἂν τοῖς σταυροῖς προκαταλαμβάνοντες τὰς ἐφόδους, ἐκείνους δὲ ἂν παυομένους τοῦ ἔργου πάντας [ἂν] πρὸς σφᾶς τρέπεσθαι. Ἐτείχιζον οὖν ἐξελθόντες ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι,

rangeaient en bataille l'une contre l'autre, les généraux Syracusains, voyant leur armée disséminée et les rangs difficiles à former, la ramenèrent dans la ville, à l'exception d'une partie des cavaliers. Ceux-ci tinrent ferme; et empêchèrent les Athéniens d'amasser des pierres et de se répandre plus loin. Une division des hoplites athéniens, et toute la cavalerie avec elle, attaquèrent et mirent en déroute les cavaliers syracusains; ils en tuèrent quelques-uns, et dressèrent un trophée pour ce combat de cavalerie.

99. Le lendemain, une partie des Athéniens se mit à élever, à partir de l'enceinte circulaire*, le mur de circonvallation qui se dirige vers le nord, tandis qu'une autre partie amassait des pierres et du bois et ne cessait de les déposer en s'avançant vers l'endroit nommé Trogilos, c'est-à-dire dans la direction la plus courte pour eux à fortifier, du grand port jusqu'à la mer opposée. Les Syracusains, surtout d'après la recommandation de l'un de leurs généraux, Hermocrates, ne voulurent plus risquer contre les Athéniens des batailles générales; il leur parut préférable de construire un contre-mur dirigé d'en bas vers la ligne du mur de circonvallation projeté des Athéniens; s'ils parvenaient à le devancer, l'investissement serait arrêté; d'ailleurs, si sur ces entrefaites l'ennemi venait en force, ils pourraient, en envoyant contre lui une partie de leur armée, avoir le temps de palissader les passages avec des pieux; de cette manière, l'ennemi devrait cesser ses travaux pour se porter en masse contre eux.

* Le Cyklos.

κάτωθεν τοῦ κύκλου τῶν Ἀθηναίων ἐγκάρσιον τεῖχος ἄγοντες, τάς τε ἐλάας ἐκκόπτοντες τοῦ τεμένους καὶ πύργους ξυλίνους καθιστάντες. Αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα, ἀλλ' ἔτι οἱ Συρακούσιοι ἐκράτουν τῶν περὶ τὴν θάλασσαν, κατὰ γῆν δ' ἐκ τῆς Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο.

ρ'. Ἐπειδὴ δὲ τοῖς Συρακουσίοις ἀρκούντως ἐδόκει ἔχειν ὅσα τε ἐσταυρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ οἱ Ἀθηναῖοι [αὐτοὺς] οὐκ ἦλθον κωλύσοντες, φοβούμενοι μὴ σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ' αὑτοὺς περιτείχισιν ἐπειγόμενοι, οἱ μὲν Συρακούσιοι, φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος, ἀνεχώρησαν ἐς τὴν πόλιν, οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν, καὶ τηρήσαντες τούς τε ἄλλους Συρακουσίους κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ καί τινας καὶ ἐς τὴν πόλιν ἀποκεχωρηκότας καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς φυλάσσοντας, τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας καὶ τῶν ψιλῶν τινὰς ἐκλεκτοὺς ὡπλισμένους προὔταξαν θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ὑποτείχισμα, ἡ δὲ ἄλλη στρατιὰ δίχα, ἡ μὲν μετὰ τοῦ ἑτέρου στρατηγοῦ πρὸς τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώρουν, ἡ δὲ μετὰ τοῦ ἑτέρου πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα. Καὶ προσβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα· καὶ οἱ φύλακες, αὐτὸ ἐκλιπόντες, κατέφυγον ἐς τὸ

Ils sortirent donc de la ville et construisirent un mur transversal au-dessous du retranchement circulaire, ils coupèrent les oliviers du téménos, et établirent des tours en bois. Jusqu'alors les vaisseaux des Athéniens n'étaient pas arrivés de Thapsos au grand port en côtoyant la rive; les Syracusains avaient encore la supériorité sur mer; et les Athéniens faisaient venir de Thapsos les vivres par terre.

100. Les Syracusains pensèrent avoir déjà suffisamment avancé les palissades et la maçonnerie de leur mur inférieur; de leur côté les Athéniens, craignant, en se partageant, d'être plus facilement exposés aux attaques des Syracusains, et pressés en même temps d'achever leur mur de circonvallation, ne vinrent pas les empêcher; alors les Syracusains laissèrent un corps de troupes pour garder les constructions qu'ils venaient d'élever, et se retirèrent dans la ville. Les Athéniens détruisirent les canaux souterrains qui conduisaient de l'eau potable à la ville; et, s'étant aperçus que parmi les Syracusains les uns restaient sous leurs tentes au milieu du jour, et que quelques-uns s'étaient même retirés dans la ville, et que ceux qui se trouvaient aux palissades les gardaient négligemment, firent prendre les devants à trois cents hommes d'élite des leurs et quelques troupes légères choisies bien armées, avec ordre de courir subitement et en toute hâte au mur inférieur. Le reste de l'armée fut divisé en deux corps : la première division, sous les ordres de l'un des deux généraux, s'avança vers la ville, dans le cas où les Syracusains viendraient au secours, tandis que la seconde, commandée par l'autre général, se porta vers les palissades qui étaient près de la petite porte. Les trois cents attaquèrent les

προτείχισμα τὸ περὶ τὸν Τεμενίτην· Καὶ αὐτοῖς ξυνεσέπεσον οἱ διώκοντες, καὶ ἐντὸς γενόμενοι, βίᾳ ἐξεκρούσθησαν πάλιν ὑπὸ τῶν Συρακουσίων, καὶ τῶν Ἀργείων τινὲς αὐτόθι καὶ τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν. Καὶ ἐπαναχωρήσασα ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν καθεῖλον, καὶ τὸ σταύρωμα ἀνέσπασαν, καὶ διεφόρησαν τοὺς σταυροὺς παρ' ἑαυτοὺς, καὶ τροπαῖον ἔστησαν.

ρα'. Τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ, καὶ ᾗπερ αὐτοῖς βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα. Καὶ οἱ Συρακούσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ ἀπεσταύρουν αὖθις ἀρξάμενοι ἀπὸ τῆς πόλεως διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ οἷόν τε ᾖ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης ἀποτειχίσαι· Οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο, ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακουσίων σταυρώματι καὶ τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακουσίων, αὐτοὶ δὲ περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν, καὶ διὰ τοῦ ἕλους, ᾗ πηλῶδες ἦν καὶ στεριφώτατον, θύρας καὶ ξύλα πλατέα ἐπιθέντες καὶ ἐπ' αὐτῶν διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό τε σταύρωμα πλὴν ὀλίγου καὶ τὴν τάφρον, καὶ ὕστερον καὶ τὸ ὑπολειφθὲν εἷλον. Καὶ μάχη

palissades et s'en emparèrent. Les troupes qui les gardaient les abandonnèrent pour se réfugier derrière le rempart du Téménitès, et ceux qui les poursuivaient s'y jetèrent avec eux; mais, quoiqu'ils y eussent pénétré, les Syracusains les repoussèrent de nouveau vigoureusement. Quelques Argéens et un petit nombre d'Athéniens y périrent. Toute l'armée athénienne, revenue sur ses pas, démolit le mur inférieur, arracha les palissades, transporta les pieux chez elle et dressa un trophée.

101. Le lendemain les Athéniens, à partir du Cyklos (l'enceinte circulaire), fortifièrent la pente qui domine le marais et qui, de ce côté des Épipolæ, regarde le grand port; en descendant de cet endroit, il leur restait un très-petit espace à murer jusqu'au port à travers la plaine et le marais. Sur ces entrefaites, les Syracusains sortirent aussi et commencèrent à élever de nouvelles palissades, à partir de la ville et à travers le marais; ils creusèrent en même temps un fossé, pour qu'il fût impossible aux Athéniens de pousser leur mur jusqu'à la mer. Ceux-ci, dès qu'ils eurent achevé leur ouvrage sur la pente, entreprirent une seconde attaque contre les palissades et le fossé des Syracusains; ils ordonnèrent à la flotte de contourner le rivage de Thapsos jusqu'au grand port de Syracuse, tandis qu'eux-mêmes, au point du jour, descendirent des Épipolæ dans la plaine, et ayant placé à travers le marais des portes et des planches là où il était bourbeux et très-ferme, ils passèrent dessus, et à l'aurore s'emparèrent du fossé et des palissades, à l'exception d'une petite partie qu'ils prirent aussi bientôt après. Un combat s'engagea, dans lequel les Athéniens eurent encore le dessus. L'aile droite des

ἐγένετο, καὶ ἐν αὐτῇ ἐνίκων οἱ Ἀθηναῖοι· καὶ τῶν Συρακουσίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες πρὸς τὴν πόλιν ἔφευγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ παρὰ τὸν ποταμόν. Καὶ αὐτοὺς βουλόμενοι ἀποκλήσασθαι τῆς διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν. Δείσαντες δὲ οἱ Συρακούσιοι (ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα) ὁμόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων· καὶ προσπεσόντων αὐτῶν, ξυνεφοβήθη καὶ ἡ πρώτη φυλὴ τοῦ κέρως. Ἰδὼν δὲ ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν μετὰ τοξοτῶν τε οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβὼν, καὶ ἐπιδιαβὰς τάφρον τινὰ, καὶ μονωθεὶς μετ' ὀλίγων τῶν ξυνδιαβάντων ἀποθνήσκει αὐτός τε καὶ πέντε ἢ ἓξ τῶν μετ' αὐτοῦ. Καὶ τούτους μὲν οἱ Συρακούσιοι εὐθὺς κατὰ τάχος φθάνουσιν ἀναρπάσαντες καὶ διαβιβάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλὲς, αὐτοὶ δὲ, ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων, ἀπεχώρουν·

ρβ'. Ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶτον καταφυγόντες, ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς πόλεως ἀναθαρσήσαντες ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς, ἡγούμενοι ἔρημον αἱρήσειν. Καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦ-

Syracusains s'enfuit du côté de la ville, et la gauche vers le fleuve. Dans l'intention de lui couper le passage, les trois cents Athéniens d'élite coururent en toute hâte vers le pont. Les Syracusains s'effrayèrent d'abord; mais, comme c'était là que se trouvait aussi la plus grande partie de leur cavalerie, ils fondirent sur ces trois cents hommes, les mirent en déroute, et se jetèrent sur l'aile droite des Athéniens; à cette attaque, le premier bataillon de cette aile fut aussi saisi de crainte. Lamachos, s'en étant aperçu, vint de l'aile gauche à son secours avec quelques archers; il prit aussi avec lui les Argéens; mais après avoir franchi un fossé, resté seul avec peu d'hommes passés avec lui, il fut tué ainsi que cinq ou six de ceux qui l'accompagnaient. Aussitôt les Syracusains se hâtèrent d'enlever leurs corps qu'ils mirent en lieu sûr au delà du fleuve; mais le reste de l'armée athénienne survenant contre eux, ils se retirèrent.

102. Alors ceux des Syracusains qui s'étaient d'abord réfugiés dans la ville, voyant ce qui se passait, reprirent courage, et sortirent pour se ranger de nouveau contre les Athéniens qui leur étaient opposés; ils envoyèrent aussi une partie de leurs troupes pour s'emparer du Cyklos sur les Épipolæ, dans l'idée qu'ils le trouveraient sans défense. Et en effet ils s'emparèrent de son avant-mur, qui avait dix plèthres*, et le renversèrent, mais quant au Cyklos lui-même, Nicias, qu'une indisposition y avait retenu, les empêcha de s'en emparer; il ordonna aux valets de brûler les machines et les bois déposés en avant de ce retranchement, dès qu'il reconnut que, faute de troupes, ces valets ne pour-

* Dix plèthres font 310 m.

σι καὶ διεπόρθησαν, αὐτὸν δὲ τὸν κύκλον Νικίας διεκώλυσεν (ἔτυχε γὰρ ἐν αὐτῷ δι' ἀσθένειαν ὑπολελειμμένος)· τὰς γὰρ μηχανὰς καὶ ξύλα, ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους ἐσομένους ἐρημίᾳ ἀνδρῶν ἄλλῳ τρόπῳ περιγενέσθαι. Καὶ ξυνέβη οὕτως· οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακούσιοι διὰ τὸ πῦρ, ἀλλ' ἀπεχώρουν πάλιν. Καὶ γὰρ πρός τε τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων ἀποδιωξόντων τοὺς ἐκεῖ ἐπανῄει, καὶ αἱ νῆες ἅμα αὐτῶν ἐκ τῆς Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα. Ἃ ὁρῶντες οἱ ἄνωθεν ἀπῄεσαν κατὰ τάχος, καὶ ἡ ξύμπασα στρατιὰ τῶν Συρακοσίων ἐς τὴν πόλιν, νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.

ργʹ. Μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακουσίοις, καὶ τοὺς μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο. Καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρατεύματος καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους ἀρξάμενοι, ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ τοὺς Συρακουσίους· Τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσῄγετο ἐκ τῆς Ἰταλίας πανταχόθεν. Ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο, καὶ ἐκ

raient avoir aucune chance de succès. Cet expédient réussit : les Syracusains n'avancèrent plus à cause de l'incendie, et revinrent sur leurs pas : d'autant plus à propos qu'un renfort d'Athéniens revenait de la plaine vers le Cyklos pour en chasser les assaillants qui s'y trouvaient, et qu'en même temps leur flotte, partie de Thapsos, d'après les ordres donnés, entrait déjà dans le grand port. A cette vue, les troupes qui étaient sur les hauteurs se retirèrent à la hâte dans la ville, ainsi que toute l'armée syracusaine, ne se croyant pas en état, avec ce qu'ils avaient de forces, d'empêcher la continuation du muraillement jusqu'à la mer.

103. Les Athéniens élevèrent ensuite un trophée, rendirent aux Syracusains leurs morts par un accord, et reçurent le corps de Lamachos et de ceux qui étaient avec lui. Leurs forces de terre et de mer se trouvant alors toutes réunies, ils commencèrent à enfermer les Syracusains d'un double mur jusqu'à la mer, à partir des Épipolæ et de la pente. Les provisions arrivaient à l'armée de tous les côtés de l'Italie. Il vint aussi aux Athéniens un grand nombre d'alliés Sicèles, qui avaient

τῆς Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. Καὶ πάντα προὐχώρει αὐτοῖς ἐς ἐλπίδα.

Καὶ γὰρ οἱ Συρακούσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν περιγενέσθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελοποννήσου ὠφελία οὐδεμία ἧκε, τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐτοῖς ἐποιοῦντο ξυμβατικοὺς καὶ πρὸς τὸν Νικίαν· οὗτος γὰρ ἤδη μόνος εἶχε, Λαμάχου τεθνεῶτος, τὴν ἀρχήν. Καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο, οἷα δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων καὶ μᾶλλον ἢ πρὶν πολιορκουμένων, πολλὰ ἐλέγετο πρός τε ἐκεῖνον καὶ πλείω ἔτι κατὰ τὴν πόλιν. Καὶ γάρ τινα καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς ἀλλήλους εἶχον, καὶ τοὺς στρατηγούς τε, ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη, ἔπαυσαν ὡς ἢ δυστυχίᾳ ἢ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθείλοντο, Ἡρακλείδην καὶ Εὐκλέα καὶ Τελλίαν.

ρδ'. Ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν Σικελίαν διὰ τάχους βοηθῆσαι· Καὶ ὡς αὐτοῖς αἱ ἀγγελίαι ἐφοίτων δειναὶ καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι ὡς ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσι, τῆς μὲν Σικελίας οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ Γύλιππος, τὴν δὲ Ἰταλίαν βουλόμενος περιποιῆσαι αὐτὸς μὲν καὶ Πυθὴν ὁ Κορίνθιος ναυσὶ δυοῖν μὲν Λακωνικαῖν, δυοῖν δὲ Κορινθίαιν, ὅτι τάχιστα ἐπεραιώθησαν τὸν Ἰόνιον ἐς Τάραντα, οἱ δὲ Κορίνθιοι πρὸς ταῖς σφετέραις δέκα Λευκαδίας δύο καὶ Αμ-

temporisé jusqu'alors, et trois vaisseaux pentécontores * de la Tyrsénie. Tout allait au gré de leurs vœux.

* Vaisseaux à cinquante rames.

Les Syracusains ne se croyaient plus en état de remporter la victoire, parce qu'il ne leur venait point de secours, pas même du Péloponnèse. Ils parlaient donc entre eux d'accommodement et faisaient des ouvertures à Nicias; car, après la mort de Lamachos, c'était lui seul qui avait le commandement. Rien cependant ne fut décidé; mais, comme il est naturel quand des hommes sont dans la détresse et assiégés plus qu'auparavant, on disait bien des choses à Nicias et encore plus dans la ville. Car, dans des circonstances aussi fâcheuses, les Syracusains se soupçonnaient réciproquement. Ils destituèrent les généraux sous lesquels ces revers leur étaient arrivés, se croyant victimes ou de leur mauvaise fortune ou de leur trahison, et leur en substituèrent d'autres, Héraclides, Euclès et Tellias.

104. Cependant le Lacédémonien Gylippos et les vaisseaux partis de Corinthe étaient déjà à Leucas, pour porter secours au plus tôt en Sicile. Mais, comme les nouvelles qui leur arrivaient étaient terribles, et toutes également fausses sur l'entier investissement de Syracuse, Gylippos n'eut plus aucun espoir pour la Sicile; voulant du moins préserver l'Italie, il traversa en toute hâte, lui et le Corinthien Pythen, le golfe Ionique pour se rendre à Tarente, avec deux vaisseaux de Lacédémone et deux de Corinthe. Les Corinthiens, indépendamment des dix navires qui leur appartenaient, en équipèrent encore deux de Leucas et trois d'Ambracie qui

πρακιώτιδας τρεῖς προσπληρώσαντες ὕστερον ἔμελλον πλεύσεσθαι. Καὶ ὁ μὲν Γύλιππος, ἐκ τοῦ Τάραντος ἐς τὴν Θουρίαν πρῶτον πρεσβευσάμενος, καὶ τὴν τοῦ πατρὸς πολιτείαν ἀνανεωσάμενος καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέσθαι, ἄρας παρέπλει τὴν Ἰταλίαν, καὶ ἀναρπασθεὶς ὑπ' ἀνέμου κατὰ τὸν [Λευ]τερνισῖον κόλπον, ὃς ἐκπνεῖ ταύτῃ μέγας κατὰ βορέαν ἑστηκὼς, ἀποφέρεται ἐς τὸ πέλαγος, καὶ πάλιν χειμασθεὶς ἐς τὰ μάλιστα, τῷ Τάραντι προσμίσγει· καὶ τὰς ναῦς, ὅσαι μάλιστα ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος, ἀνελκύσας ἐπεσκεύαζεν· Ὁ δὲ Νικίας, πυθόμενος αὐτὸν προσπλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν, ὅπερ καὶ οἱ Θούριοι ἔπαθον, καὶ ληστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ οὐδεμίαν φυλακήν πω ἐποιεῖτο.

ρέ. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ ξύμμαχοι, καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν, καὶ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν, αἵπερ τὰς σπονδὰς φανερώτατα τὰς πρὸς τοὺς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν. Πρότερον μὲν γὰρ λῃστείαις ἐκ Πύλου καὶ περὶ τὴν ἄλλην Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες μετά τε Ἀργείων καὶ Μαντινέων ξυνεπολέμουν, καὶ πολλάκις, Ἀργείων κελευόντων ὅσον σχόντας μόνον ξὺν ὅπλοις ἐς τὴν Λακωνικὴν καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας ἀπελθεῖν, οὐκ ἤθελον· τότε δὲ, Πυθοδώρου καὶ Λαισποδίου καὶ Δημαράτου ἀρχόν-

devaient mettre à la voile plus tard. Gylippos, parti de Tarente, vint d'abord comme ambassadeur à Thourie, rappelant le droit de cité qu'autrefois son père y avait obtenu; mais, n'ayant pu gagner les habitants, il partit et côtoya l'Italie. Assailli dans le golfe Leuternien par un vent du nord qui, en cet endroit, souffle avec impétuosité, il fut d'abord poussé en haute mer, et puis, après une autre tourmente, il aborda de nouveau à Tarente, où il fit tirer à sec, pour les radouber, tous les vaisseaux qui avaient souffert de la tempête. Nicias, ayant appris que Gylippos était en mer, méprisa le petit nombre de ses vaisseaux, comme avaient fait les Thouriens, et, dans l'idée que les ennemis naviguaient équipés en pirates, ne prit pour lors aucune précaution.

105. Cet été, vers le même temps, les Lacédémoniens eux-mêmes et leurs alliés envahirent l'Argolide, et ravagèrent la plus grande partie de son territoire. Les Athéniens vinrent au secours des Argéens avec trente vaisseaux, ce qui occasionna une rupture ouverte entre les Athéniens et les Lacédémoniens. Jusqu'alors, en effet, les Athéniens sortaient de Pylos pour se livrer au pillage, et, débarquant dans le reste du Péloponnèse plutôt qu'en Lacônie, réunis aux Argéens et aux Mantinéens, exerçaient des hostilités. Souvent même, invités par les Argéens à mettre seulement pied en Lacônie les armes à la main et à se retirer avec eux après avoir dévasté une très-faible partie, ils s'y étaient refusés. Mais en cette occasion, sous le commandement de Pythodôros, de Læspodias et de Démaratos, les Athéniens, descendus à

των, ἀποβάντες ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰς καὶ ὅσα ἄττα ἐδῄωσαν τῆς γῆς, καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν.

Ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ καὶ τῶν Λακεδαιμονίων, οἱ Ἀργεῖοι, ἐσβαλόντες ἐς τὴν Φλιασίαν, τῆς τε γῆς αὐτῶν ἔτεμον καὶ ἀπέκτεινάν τινας, καὶ ἀπῆλθον ἐπ' οἴκου.

Épidaure Liméra, à Prasiæ et en tous les autres endroits du pays qu'ils dévastèrent, donnèrent alors aux Lacédémoniens un prétexte bien plus plausible de vengeance.

Après le départ des Lacédémoniens et quand les Athéniens eurent quitté le pays d'Argos et se furent rembarqués, les Argéens firent une irruption dans la Phliasie, dévastèrent une partie du territoire, tuèrent quelques habitants et s'en revinrent chez eux.

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΒΔΟΜΟΝ.

α΄. Ὁ δὲ Γύλιππος καὶ ὁ Πυθὴν ἐκ τοῦ Τάραντος, ἐπεὶ ἐπεσκεύασαν τὰς ναῦς, παρέπλευσαν ἐς Λοκροὺς τοὺς Ἐπιζεφυρίους· καὶ πυνθανόμενοι σαφέστερον ἤδη ὅτι οὐ παντελῶς πω ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσιν, ἀλλ' ἔτι οἷόν τε κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένους ἐσελθεῖν, ἐβουλεύοντο εἴτ', ἐν δεξιᾷ λαβόντες τὴν Σικελίαν, διακινδυνεύσωσιν ἐσπλεῦσαι, εἴτ', ἐν ἀριστερᾷ, ἐς Ἱμέραν πρῶτον πλεύσαντες καὶ αὐτούς τε ἐκείνους καὶ στρατιὰν ἄλλην προσλαβόντες, οὓς ἂν πείθωσι, κατὰ γῆν ἔλθωσι. Καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς Ἱμέρας πλεῖν, ἄλλως τε καὶ τῶν Ἀττικῶν τεσσάρων νεῶν οὔπω παρουσῶν ἐν τῷ Ῥηγίῳ, ἃς ὁ Νικίας ὅμως, πυνθανόμενος αὐτοὺς ἐν Λοκροῖς εἶναι, ἀπέστειλε. Φθάσαντες δὲ τὴν φυλακὴν ταύτην, περαιοῦνται διὰ τοῦ πορθμοῦ, καὶ σχόντες Ῥηγίῳ καὶ Μεσσήνῃ, ἀφικνοῦνται ἐς

HISTOIRE

COMPOSÉE

PAR THUCYDIDES

FILS D'OLOROS.

LIVRE SEPTIÈME.

1. Gylippos et Pythen, après avoir réparé leurs vaisseaux, partirent de Tarente et naviguèrent le long des côtes jusque chez les Locriens-Épizéphyriens; alors mieux informés, ils surent que Syracuse n'était pas encore entièrement cernée par une muraille, et qu'on pourrait y pénétrer avec des troupes en se rendant par les Épipolæ; ils délibérèrent s'ils devaient, prenant la Sicile à droite, tenter d'entrer dans le port de Syracuse, ou cingler d'abord, ayant la Sicile à leur gauche, vers Himère, se faire suivre de ses habitants et des autres troupes qu'ils pourraient engager, et gagner Syracuse par terre. Ils résolurent de faire voile pour Himère, surtout parce que les quatre vaisseaux athéniens n'étaient pas encore arrivés à Rhégion, où Nicias les avait pourtant envoyés à la nouvelle que les ennemis étaient chez les Locriens. Ils devancèrent cette croisière, passèrent le détroit, et

Ἱμέραν. Ἐκεῖ δὲ ὄντες τούς τε Ἱμεραίους ἔπεισαν ξυμπολεμεῖν, καὶ αὐτούς τε ἕπεσθαι καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύταις, ὅσοι μὴ εἶχον, ὅπλα παρασχεῖν (τὰς γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἱμέρᾳ), καὶ τοὺς Σελινουντίους, πέμψαντες, ἐκέλευον ἀπαντᾷν πανστρατιᾷ ἔς τι χωρίον. Πέμψειν δέ τινα αὐτοῖς ὑπέσχοντο στρατιὰν οὐ πολλὴν καὶ οἱ Γελῷοι καὶ τῶν Σικελῶν τινες, οἳ πολὺ προθυμότερον προσχωρεῖν ἑτοῖμοι ἦσαν, τοῦ τε Ἀρχωνίδου νεωστὶ τεθνηκότος, ὃς τῶν ταύτῃ Σικελῶν βασιλεύων τινῶν καὶ ὢν οὐκ ἀδύνατος τοῖς Ἀθηναίοις φίλος ἦν, καὶ τοῦ Γυλίππου ἐκ Λακεδαίμονος προθύμως δοκοῦντος ἥκειν. Καὶ ὁ μὲν Γύλιππος, ἀναλαβὼν τῶν τε σφετέρων ναυτῶν καὶ ἐπιβατῶν τοὺς ὡπλισμένους ἑπτακοσίους μάλιστα, Ἱμεραίους δὲ ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους χιλίους καὶ ἱππέας ἑκατὸν, καὶ Σελινουντίων τέ τινας ψιλοὺς καὶ ἱππέας καὶ Γελῴων ὀλίγους, Σικελῶν τε ἐς χιλίους τοὺς πάντας, ἐχώρει πρὸς τὰς Συρακούσας.

βʹ. Οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι ταῖς τε ἄλλαις ναυσὶν ὡς εἶχον τάχους ἐβοήθουν, καὶ Γόγγυλος, εἷς τῶν Κορινθίων ἀρχόντων, μιᾷ νηὶ τελευταῖος ὁρμηθεὶς, πρῶτος μὲν ἀφικνεῖται ἐς τὰς Συρακούσας, ὀλίγον δὲ πρὸ Γυλίππου, καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλλαγῆς τοῦ πολέμου μέλλοντας ἐκκλησιάσειν, διεκώλυσέ τε καὶ παρεθάρσυνε, λέγων ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι καὶ Γύλιππος ὁ Κλεανδρίδου, Λακεδαιμονίων ἀποστειλάντων, ἄρχων. Καὶ οἱ μὲν

après avoir pris terre à Rhégion et à Messine, atteignirent Himère. Là, ils engagèrent les Himéræens à faire cause commune avec eux, à les suivre eux-mêmes et à fournir des armes à tous ceux des matelots de leur flotte qui n'en avaient pas, car les vaisseaux furent mis à sec à Himère, et ils envoyèrent chez les Sélinontiens, pour les inviter à venir au-devant d'eux avec toutes leurs forces à un endroit désigné. Les habitants de Gèle et quelques Sicèles leur promirent aussi de leur envoyer une petite armée. Ces Sicèles étaient d'autant mieux disposés à s'unir à eux, qu'Archonidès, qui régnait sur une partie des Sicèles de cette contrée, potentat assez puissant et ami des Athéniens, venait de mourir, et que Gylippos arrivait de Lacédémone se montrant animé d'un grand zèle. Gylippos, ayant pris avec lui sept cents au plus de ses matelots et gens de marine armés, mille Himéræens tant hoplites que troupes légères, et cent cavaliers, avec quelque peu de Sélinontiens en troupe légère et cavalerie et un petit nombre de soldats de Gèle, et de Sicèles ne dépassant pas un millier d'hommes, se mit avec ces troupes en route pour Syracuse *.

* Cette troupe sous les ordres de Gylippos ne dépassait donc pas 4,000 hommes.

2. Les Corinthiens partis de Leucas avec le reste de la flotte accélérèrent le plus possible leur marche pour secourir Syracuse; et Gongylos, un des commandants corinthiens, parti le dernier avec un seul vaisseau, arriva le premier à Syracuse, peu avant Gylippos. Ayant trouvé les Syracusains sur le point de s'assembler pour délibérer sur la cessation de la guerre, il les en détourna, et les encouragea, leur disant que d'autres vaisseaux venaient encore à leur secours avec Gylip-

Συρακούσιοι ἐπεῤῥώσθησάν τε καὶ τῷ Γυλίππῳ εὐθὺς πανστρατιᾷ ὡς ἀπαντησόμενοι ἐξῆλθον· ἤδη γὰρ καὶ ἐγγὺς ὄντα ᾐσθάνοντο αὐτόν. Ὁ δὲ, Ἱετάς τότε τι τεῖχος ἐν τῇ παρόδῳ τῶν Σικελῶν ἑλὼν, [καὶ] ξυνταξάμενος ὡς ἐς μάχην, ἀφικνεῖται πρὸς τὰς Ἐπιπολάς· καὶ ἀναβὰς κατὰ τὸν Εὐρύηλον, ᾗπερ καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον, ἐχώρει μετὰ τῶν Συρακουσίων ἐπὶ τὸ τείχισμα τῶν Ἀθηναίων. Ἔτυχε δὲ κατὰ τοῦτο τοῦ καιροῦ ἐλθὼν, ἐν ᾧ ἑπτὰ μὲν ἢ ὀκτὼ σταδίων ἤδη ἀπετετέλεστο τοῖς Ἀθηναίοις ἐς τὸν μέγαν λιμένα διπλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι τὸ πρὸς τὴν θάλασσαν· τοῦτο δ' ἔτι ᾠκοδόμουν. Τῷ δὲ ἀπὸ τοῦ κύκλου πρὸς τὸν Τρώγιλον ἐπὶ τὴν ἑτέραν θάλασσαν λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν, καὶ ἔστιν ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα κατελείπετο. Παρὰ τοσοῦτον μὲν αἱ Συράκουσαι ἦλθον κινδύνου.

γ'. Οἱ δὲ Ἀθηναῖοι, αἰφνιδίως τοῦ τε Γυλίππου καὶ τῶν Συρακουσίων σφίσιν ἐπιόντων, ἐθορυβήθησαν μὲν τὸ πρῶτον, παρετάξαντο δέ. Ὁ δὲ, θέμενος τὰ ὅπλα ἐγγὺς, κήρυκα προσπέμπει αὐτοῖς λέγοντα, εἰ βούλονται ἐξιέναι ἐκ τῆς Σικελίας πέντε ἡμερῶν, λαβόντες τὰ σφέτερα αὐτῶν, ἑτοῖμος εἶναι σπένδεσθαι. Οἱ δὲ ἐν ὀλιγωρίᾳ τε ἐποιοῦντο καὶ οὐδὲν ἀποκρινάμενοι ἀπέπεμψαν. Καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο ἀλλήλοις ὡς ἐς μάχην. Καὶ ὁ Γύλιππος ὁρῶν τοὺς Συρακουσίους ταρασσομένους καὶ οὐ ῥᾳδίως ξυντασσομένους,

pos, fils de Cléandridas, envoyé par les Lacédémoniens comme chef. Les Syracusains prirent courage, et sortirent aussitôt avec toute leur armée pour aller à la rencontre de Gylippos, le sentant déjà près d'eux. Ce général, après s'être emparé sur son passage de Iétæ, fort des Sicèles, arriva aux Épipolæ, ses troupes rangées comme en bataille; il y monta du côté d'Euryélos, comme l'avaient fait d'abord les Athéniens au même endroit, et s'avança avec les Syracusains contre le mur des Athéniens. Son arrivée eut lieu au moment où les Athéniens avaient déjà achevé une double muraille de sept ou huit stades* vers le grand port; il ne restait plus qu'une petite portion près de la mer, où ils bâtissaient encore. Quant à la partie de la circonvallation qui à partir du Cyklos allait vers le Trôgilos, à l'autre côté de la mer, on y avait déjà déposé des pierres dans sa plus grande longueur; quelques travaux y étaient à moitié faits, d'autres étaient achevés. Telle fut la grandeur du péril que courut Syracuse.

* De 1 kil. 245 m. à 1 kil. 280.

3. A l'attaque subite de Gylippos et des Syracusains, les Athéniens furent d'abord troublés; cependant ils se rangèrent en bataille. Gylippos fit halte près d'eux, et envoya un héraut leur dire que si dans cinq jours ils voulaient sortir de la Sicile en emportant ce qui leur appartenait, il était prêt à traiter avec eux. Les Athéniens méprisèrent ces propositions et renvoyèrent le héraut sans réponse. Après cela, de part et d'autre on se prépara au combat. Gylippos, voyant que les Syracusains se troublaient et avaient peine à former leurs rangs, ramena l'armée dans un endroit plus spacieux.

ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν μᾶλλον. Καὶ ὁ Νικίας οὐκ ἐπῆγε τοὺς Ἀθηναίους, ἀλλ' ἡσύχαζε πρὸς τῷ ἑαυτῶν τείχει. Ὡς δ' ἔγνω ὁ Γύλιππος οὐ προσιόντας αὐτοὺς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ τὴν ἄκραν τὴν Τεμενῖτιν καλουμένην, καὶ αὐτοῦ ηὐλίσαντο. Τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην τῆς στρατιᾶς παρέταξε πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ὅπως μὴ ἐπιβοηθοῖεν ἄλλοσε, μέρος δέ τι πέμψας πρὸς τὸ φρούριον τὸ Λάβδαλον, αἱρεῖ, καὶ ὅσους ἔλαβεν ἐν αὐτῷ πάντας ἀπέκτεινεν· ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς Ἀθηναίοις τὸ χωρίον. Καὶ τριήρης τῇ αὐτῇ ἡμέρᾳ ἁλίσκεται τῶν Ἀθηναίων ὑπὸ τῶν Συρακουσίων ἐφορμοῦσα τῷ μεγάλῳ λιμένι.

δ'. Καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι διὰ τῶν Ἐπιπολῶν ἀπὸ τῆς πόλεως ἀρξάμενοι ἄνω πρὸς τὸ ἐγκάρσιον τεῖχος ἁπλοῦν, ὅπως οἱ Ἀθηναῖοι, εἰ μὴ δύναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι. Καὶ οἵ τε Ἀθηναῖοι ἀναβεβήκεσαν ἤδη ἄνω, τὸ ἐπὶ τῇ θαλάσσῃ τεῖχος ἐπιτελέσαντες, καὶ ὁ Γύλιππος (ἦν γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενὲς), νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν, ἐπῄει πρὸς αὐτό. Οἱ δ' Ἀθηναῖοι (ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι), ὡς ᾔσθοντο, ἀντεπῄεσαν· ὁ δὲ, γνοὺς, κατὰ τάχος ἀπήγαγε τοὺς σφετέρους πάλιν. Ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ Ἀθηναῖοι ὑψηλότερον, αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον, τοὺς δὲ ἄλλους ξυμμάχους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν, ᾗπερ ἔμελλον ἕκαστοι φρουρεῖν. Τῷ δὲ Νικίᾳ ἐδόκει τὸ Πλημ-

Nicias ne fit pas avancer les Athéniens contre l'ennemi, mais se tint tranquille auprès de son retranchement *. Dès que Gylippos s'aperçut qu'on ne venait pas à sa rencontre, il conduisit son armée sur la hauteur appelée Téménitis et y bivouaqua. Le lendemain, il conduisit la plus grande partie de l'armée vers les constructions des Athéniens et la rangea en bataille, afin qu'ils ne pussent porter du secours ailleurs; il envoya une autre partie de l'armée au fort Labdalon, qu'il prit, et fit tuer tous ceux qui s'y trouvaient; cet emplacement était situé hors de la vue des Athéniens. Le même jour, une trirème athénienne stationnée dans le grand port fut prise par les Syracusains.

* Probablement au rempart fortifié devant le Cyklos, à Sykê.

4. Ensuite, les Syracusains et leurs alliés construisirent à travers les Épipolæ un mur simple, commençant du côté de la ville, et se dirigeant transversalement vers les hauteurs, afin que, si les Athéniens ne parvenaient pas à s'y opposer, ils ne pussent plus enceindre Syracuse. Les Athéniens, après avoir achevé le mur de circonvallation jusqu'à la mer, avaient atteint déjà les hauteurs, lorsque Gylippos se porta de nuit avec l'armée contre une partie faible du mur des Athéniens. Dès que les Athéniens, qui bivouaquaient hors du mur, s'aperçurent de son mouvement, ils allèrent à la rencontre. Gylippos, l'ayant su, retira ses troupes à la hâte. Les Athéniens donnèrent plus d'élévation à cette partie du mur, la gardèrent eux-mêmes, après avoir assigné à leurs alliés dans l'autre retranchement les postes que chacun d'eux devait garder. Cependant Nicias jugea devoir fortifier l'endroit nommé Plemmy-

μύριον καλούμενον τειχίσαι· ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως, ἥπερ προὔχουσα τοῦ μεγάλου λιμένος τὸ στόμα στενὸν ποιεῖ, καὶ, εἰ τειχισθείη, ῥᾷον αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι· διʼ ἐλάσσονος λὰρ πρὸς τῷ λιμένι τῷ τῶν Συρακουσίων ἐφορμήσειν σφᾶς, καὶ οὐχ, ὥσπερ νῦν, ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαναγωγὰς ποιήσεσθαι, ἤν τι ναυτικῷ κινῶνται. Προσεῖχέ τε ἤδη μᾶλλον τῷ κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν, ἐπειδὴ Γύλιππος ἧκεν, ἀνελπιστότερα ὄντα. Διακομίσας οὖν στρατιὰν καὶ τὰς ναῦς, ἐξετείχιζε τρία φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη τὰ πλεῖστα ἔκειτο, καὶ τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει καὶ αἱ ταχεῖαι νῆες. Ὥστε καὶ τῶν πληρωμάτων οὐχ ἥκιστα τότε πρῶτον κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ χρώμενοι καὶ οὐκ ἐγγύθεν, καὶ ἐπὶ φρυγανισμὸν ἅμα ὁπότε ἐξέλθοιεν οἱ ναῦται, ὑπὸ τῶν ἱππέων τῶν Συρακουσίων κρατούντων τῆς γῆς οἱ πολλοὶ διεφθείροντο· τρίτον γὰρ μέρος τῶν ἱππέων τοῖς Συρακουσίοις διὰ τοὺς ἐν τῷ Πλημμυρίῳ, ἵνα μὴ κακουργήσοντες ἐξίοιεν, ἐπὶ τῇ ἐν τῷ Ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο. Ἐπυνθάνετο δὲ καὶ τὰς λοιπὰς τῶν Κορινθίων ναῦς προσπλεούσας ὁ Νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν εἴκοσι ναῦς, αἷς εἴρητο περί τε Λοκροὺς καὶ Ῥήγιον καὶ τὴν προσβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς.

ε'. Ὁ δὲ Γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ διὰ τῶν Ἐπιπολῶν τεῖχος, τοῖς λίθοις χρώμενος, οὓς οἱ Ἀθηναῖοι προπαρ-

rion; c'est un promontoire à l'opposite de la ville; s'avançant dans le grand port, il en rétrécit l'entrée. Fortifier cet endroit lui semblait faciliter l'introduction des vivres; car la flotte athénienne stationnerait à une moindre distance près du port des Syracusains*, et ne ferait pas d'attaques, comme jusqu'alors, du fond du port, au moindre mouvement de la flotte syracusaine. Déjà Nicias s'appliquait davantage à la guerre sur mer, parce qu'il voyait que les affaires du côté de la terre, depuis l'arrivée de Gylippos, donnaient moins d'espoir. Il fit donc passer à Plemmyrion une partie de l'armée et les vaisseaux, et y construisit trois forts, où fut déposée la majeure partie du matériel, et là stationnèrent aussi les grands et les légers bâtiments. Ce fut alors surtout que les équipages commencèrent à dépérir; ils ne pouvaient se procurer que peu d'eau et au loin, et en même temps, lorsque les matelots sortaient pour ramasser du menu bois, ils étaient tués par les cavaliers syracusains maîtres de la campagne; car un tiers de cette cavalerie, pour empêcher les ennemis qui étaient à Plemmyrion de sortir et faire du dégât, campait auprès de la bourgade qui est à l'Olympiéion. Nicias, apprenant que le reste aussi de la flotte des Corinthiens s'approchait, envoya pour l'observer vingt vaisseaux avec ordre de stationner dans les parages de Locres et de Rhégium et aux abords de la Sicile.

* L'ancien arsenal παλαιοὶ νεώσοικοι.

5. Gylippos, tout en faisant bâtir le mur à travers les Épipolæ, en employant les pierres que les Athéniens y

ἐβάλοντο σφίσιν, ἅμα δὲ παρέτασσεν ἐξάγων ἀεὶ πρὸ τοῦ τειχίσματος τοὺς Συρακουσίους καὶ τοὺς ξυμμάχους· καὶ οἱ Ἀθηναῖοι ἀντιπαρετάσσοντο. Ἐπειδὴ δὲ ἔδοξε τῷ Γυλίππῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου· καὶ ἐν χερσὶ γενόμενοι ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων, ᾗ τῆς ἵππου τῶν Συρακουσίων οὐδεμία χρῆσις ἦν. Καὶ νικηθέντων τῶν Συρακουσίων καὶ τῶν ξυμμάχων καὶ νεκροὺς ὑποσπόνδους ἀνελομένων, καὶ τῶν Ἀθηναίων τροπαῖον στησάντων, ὁ μὲν Γύλιππος, ξυγκαλέσας τὸ στράτευμα, οὐκ ἔφη τὸ ἁμάρτημα ἐκείνων ἀλλ' ἑαυτοῦ γενέσθαι· τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφέλειαν τῇ τάξει, ἐντὸς λίαν τῶν τειχῶν ποιήσας, ἀφελέσθαι· νῦν οὖν αὖθις ἐπάξειν. Καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτούς, ὡς τῇ μὲν παρασκευῇ οὐκ ἔλασσον ἕξοντας, τῇ δὲ γνώμῃ οὐκ ἀνεκτὸν ἐσόμενον εἰ μὴ ἀξιώσουσι Πελοποννήσιοί τε ὄντες καὶ Δωριῆς, Ἰώνων καὶ νησιωτῶν καὶ ξυγκλύδων ἀνθρώπων κρατήσαντες, ἐξελάσασθαι ἐκ τῆκ χώρας.

ς'. Καὶ μετὰ ταῦτα, ἐπειδὴ καιρὸς ἦν, αὖθις ἐπῆγεν αὐτούς. Ὁ δὲ Νικίας καὶ οἱ Ἀθηναῖοι νομίζοντες, καὶ εἰ ἐκεῖνοι μὴ ἐθέλοιεν μάχης ἄρχειν, ἀναγκαῖον σφίσιν εἶναι μὴ περιορᾷν παροικοδομούμενον τὸ τεῖχος (ἤδη γὰρ καὶ ὅσον οὐ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους τελευτὴν ἡ ἐκείνων τείχισις, καί, εἰ προέλθοι, ταὐτὸν ἤδη ἐποίει αὐτοῖς νικᾷν τε μαχομένοις διὰ παντὸς καὶ μηδὲ μάχεσθαι), ἀντεπῄεσαν οὖν τοῖς Συρακουσίοις. Καὶ ὁ Γύλιππος, τοὺς μὲν

avaient déposées pour eux-mêmes, faisait en même temps sortir successivement les Syracusains et leurs alliés pour les ranger en bataille devant ce mur. De leur côté, les Athéniens formèrent leur rangs. Quand Gylippos crut le moment favorable, il commença l'attaque; on en vint aux mains, et la bataille se livra dans l'intervalle des retranchements, où la cavalerie des Syracusains et de leurs alliés ne fut d'aucun usage. Les Syracusains et leurs alliés, vaincus, avaient enlevé leurs morts par une convention, et les Athéniens dressé un trophée, lorsque Gylippos assembla ses troupes, et leur dit que ce revers ne provenait pas d'elles, mais de lui; car, en serrant les rangs trop près des murs *, il avait rendu inutiles la cavalerie et les gens de trait; et qu'il allait derechef les mener à l'ennemi. Il les exhorta à se bien mettre dans l'esprit qu'ils ne seraient pas inférieurs quant aux forces, et que, quant au courage, étant Péloponnésiens et Dôriens, on ne saurait admettre qu'ils ne prétendissent pas vaincre les Iôniens, des insulaires et un ramas d'hommes, et les expulser du pays.

* Le combat s'engagea entre le mur de la ville, le mur transversal et le double mur des Athéniens.

6. Puis, quand il en fut temps, il les conduisit de nouveau à l'ennemi. Nicias et les Athéniens pensèrent que, quand même l'armée syracusaine ne voudrait pas commencer le combat, il devenait urgent pour eux de s'opposer à la construction qu'élevait l'ennemi près de leur mur (en effet, sa fortification avait déjà dépassé presque l'extrémité du mur des Athéniens), et que, si elle le devançait, vaincre en combattant sans cesse,

ὁπλίτας ἔξω τῶν τειχῶν μᾶλλον ἢ πρότερον προαγαγὼν, ξυνέμισγεν αὐτοῖς, τοὺς δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγίου τάξας τῶν Ἀθηναίων κατὰ τὴν εὐρυχωρίαν, ᾗ τῶν τειχῶν ἀμφοτέρων αἱ ἐργασίαι ἔληγον. Καὶ προσβαλόντες οἱ ἱππῆς ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ κέρᾳ τῶν Ἀθηναίων, ὅπερ κατ' αὐτοὺς ἦν, ἔτρεψαν· καὶ διὰ τοῦτο καὶ τὸ ἄλλο στράτευμα, νικηθὲν ὑπὸ τῶν Συρακουσίων, κατηράχθη ἐς τὰ τειχίσματα. Καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες καὶ παρελθόντες τὴν τῶν Ἀθηναίων οἰκοδομίαν, ὥστε μηκέτι μήτε αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ παντάπασιν ἀπεστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.

ζ'. Μετὰ δὲ τοῦτο αἵ τε τῶν Κορινθίων νῆες καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων ἐσέπλευσαν αἱ ὑπόλοιποι δώδεκα, λαθοῦσαι τὴν τῶν Ἀθηναίων φυλακὴν (ἦρχε δὲ αὐτῶν Θρασωνίδης Κορίνθιος), καὶ ξυνετείχισαν τὸ λοιπὸν τοῖς Συρακουσίοις μέρος τοῦ ἐγκαρσίου τείχους. Καὶ ὁ Γύλιππος ἐς τὴν ἄλλην Σικελίαν ἐπὶ στρατιάν τε ᾤχετο, καὶ ναυτικὴν καὶ πεζὴν ξυλλέξων, καὶ τῶν πόλεων ἅμα προσαξόμενος, εἴ τις ἢ μὴ πρόθυμος ἦν ἢ παντάπασιν ἔτι ἀφειστήκει τοῦ πολέμου. Πρέσβεις τε ἄλλοι τῶν Συρακουσίων καὶ Κορινθίων ἐς Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν, ὅπως στρατιὰ ἔτι περαιωθῇ τρόπῳ ᾧ ἂν [ἐν ὁλκάσιν ἢ πλοίοις ἢ ἄλλως ὅπως ἂν] προχωρῇ, ὡς καὶ τῶν Ἀθηναίων ἐπιμεταπεμπομέ-

ou ne pas combattre du tout, devenait indifférent pour eux *. Ils s'avancèrent donc contre les Syracusains. Gylippos, ayant conduit les hoplites hors des murs, plus loin qu'auparavant, en vint aux mains avec les Athéniens; il rangea la cavalerie et les gens de trait contre le flanc des Athéniens dans la plaine, à l'endroit où finissaient les fortifications des deux murs. Dans ce combat, la cavalerie, ayant attaqué l'aile gauche des Athéniens, qui était devant elle, la mit en déroute; le reste de l'armée, entraîné dans ce mouvement, fut vaincu par les Syracusains et vint se briser contre les retranchements. La nuit suivante, les Syracusains eurent le temps de bâtir leur mur près de la muraille des Athéniens, et de la dépasser. Ainsi les Syracusains n'avaient plus aucun obstacle à redouter, et ils ôtaient aux Athéniens, fussent-ils vainqueurs, tout moyen de les renfermer désormais.

* Syracuse pourrait communiquer au dehors.

7. Après cela, le reste des vaisseaux de Corinthe, d'Ambracie et de Leucas, au nombre de douze, entra dans le port de Syracuse en se dérobant à la croisière des Athéniens (le commandant de cette flotte était Thrasonidès de Corinthe); ces nouvelles troupes, de concert avec les Syracusains, achevèrent ce qui restait à construire du mur transversal. Gylippos parcourut les autres parties de la Sicile, pour lever des troupes de mer et de terre, et attirer en même temps à son parti celles des villes peu zélées pour la guerre, ou qui jusqu'alors n'y avaient pris aucune part. D'autres députés syracusains et corinthiens furent envoyés à Lacédémone et à Corinthe, pour demander qu'on fît passer encore des troupes en Sicile, soit sur des bâtiments de charge, soit sur de petits navires, et par tout autre moyen, attendu

νων. Οἵ τε Συρακούσιοι ναυτικὸν ἐπλήρουν καὶ ἀνεπειρῶντο ὡς καὶ τούτῳ ἐπιχειρήσοντες, καὶ ἐς τἆλλα πολὺ ἐπέῤῥωντο.

η'. Ὁ δὲ Νικίας, αἰσθόμενος τοῦτο, καὶ ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς Ἀθήνας ἀγγέλλων πολλάκις μέν καὶ ἄλλοτε καθ' ἕκαστα τῶν γιγνομένων, μάλιστα δὲ καὶ τότε, νομίζων ἐν δεινοῖς τε εἶναι, καὶ εἰ μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψουσιν, ἢ ἄλλους μὴ ὀλίγους ἀποστελοῦσιν, οὐδεμίαν εἶναι σωτηρίαν. Φοβούμενος δὲ μὴ οἱ πεμπόμενοι ἢ κατὰ τοῦ λέγειν ἀδυνασίαν ἢ καὶ μνήμης ἐλλιπεῖς γιγνόμενοι ἢ τῷ ὄχλῳ πρὸς χάριν τι λέγοντες οὐ τὰ ὄντα ἀπαγγέλλωσιν, ἔγραψεν ἐπιστολὴν, νομίζων οὕτως ἂν μάλιστα τὴν αὐτοῦ γνώμην μηδὲν ἐν τῷ ἀγγέλῳ ἀφανισθεῖσαν μαθόντας τοὺς Ἀθηναίους βουλεύσασθαι περὶ τῆς ἀληθείας. Καὶ οἱ μὲν ᾤχοντο φέροντες, ὡς ἐπέστειλε, τὰ γράμματα καὶ ὅσα ἔδει αὐτοὺς εἰπεῖν· ὁ δὲ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς μᾶλλον ἤδη ἔχων ἢ δι' ἑκουσίων κινδύνων ἐπεμελεῖτο.

θ'. Ἐν δὲ τῷ αὐτῷ θέρει τελευτῶντι καὶ Εὐετίων, στρατηγὸς Ἀθηναίων, μετὰ Περδίκκου στρατεύσας ἐπ' Ἀμφίπολιν Θρᾳξὶ πολλοῖς, τὴν μὲν πόλιν οὐχ εἷλεν, ἐς δὲ τὸν Στρυμόνα περικομίσας τριήρεις, ἐκ τοῦ ποταμοῦ ἐπολιόρκει ὁρμώμενος ἐξ Ἱμεραίου. Καὶ τὸ θέρος ἐτελεύτα.

ι'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς τὰς Ἀθήνας

que les Athéniens aussi redemandaient du renfort. De plus, les Syracusains équipèrent une flotte, l'exercèrent pour tenter avec elle la fortune, et prirent grand courage.

8. Nicias s'en aperçut; et, voyant chaque jour s'accroître les forces des ennemis et sa propre détresse, il envoya de son côté des messagers à Athènes, ce qu'autrefois même il faisait souvent à la suite de chaque événement; mais il les multiplia surtout alors, parce qu'il se croyait dans de grands périls, et que, si on ne rappelait pas l'armée au plus tôt, ou si on ne lui envoyait pas des renforts considérables, il n'y avait aucun espoir de salut. Comme il craignait que les messagers, soit par insuffisance de leur parole, soit faute de mémoire, ou pour plaire à la multitude par leurs discours, ne fissent pas connaître l'état des choses, il écrivit une lettre, pensant que, par ce moyen, les Athéniens, instruits exactement de sa pensée qu'un messager ne pourrait atténuer, aviseraient à des mesures conformes à l'état vrai des choses. Ces envoyés partirent chargés de sa lettre et de tout ce qu'ils devaient dire de vive voix; quant à lui, redoublant ses soins pour la garde du camp, il s'appliquait à ne rien exposer aux hasards.

9. A la fin de ce même été, Évétiôn aussi, général athénien, réuni à Perdiccas, se porta contre Amphipolis avec un corps nombreux de Thraces : il ne put prendre cette ville; mais, ayant fait remonter des trirèmes dans le Strymon, il la bloqua du côté de ce fleuve, Himéræon lui servant de station; et l'été finit.

ἄλλην στρατιὰν, καὶ ἐς τὰς ἐν Σικελίᾳ πόλεις Γύλιππος οἴχεται, τὰς μὲν καὶ πείσων ξυμπολεμεῖν, ὅσαι νῦν ἡσυχάζουσιν, ἀπὸ δὲ τῶν ἔτι καὶ στρατιὰν πεζὴν καὶ ναυτικοῦ παρασκευὴν, ἣν δύνηται, ἄξων. Διανοοῦνται γὰρ, ὡς ἐγὼ πυνθάνομαι, τῷ τε πεζῷ ἅμα τῶν τειχῶν ἡμῶν πειρᾶν καὶ ταῖς ναυσὶ κατὰ θάλασσαν. Καὶ δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι ὅτι καὶ κατὰ θάλασσαν. Τὸ γὰρ ναυτικὸν ἡμῶν, ἤπερ κἀκεῖνοι πυνθάνονται, τὸ μὲν πρῶτον ἤκμαζε καὶ τῶν νεῶν τῇ ξηρότητι καὶ τῶν πληρωμάτων τῇ σωτηρίᾳ· νῦν δε αἵ τε νῆες διάβροχοι τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι, καὶ τὰ πληρώματα ἔφθαρται. Τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν ἀνελκύσαντας διαψῦξαι διὰ τὸ ἀντιπάλους τῷ πλήθει καὶ ἔτι πλείους τὰς τῶν πολεμίων οὔσας ἀεὶ προσδοκίαν παρέχειν ὡς ἐπιπλεύσονται. Φανεραὶ δέ εἰσιν ἀναπειρώμεναι, καὶ αἱ ἐπιχειρήσεις ἐπ' ἐκείνοις, καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον ἐξουσία· οὐ γὰρ ἐφορμοῦσιν ἄλλοις.

ιγ'. « Ἡμῖν δ' ἐκ πολλῆς ἂν περιουσίας νεῶν μόλις τοῦτο ὑπῆρχε, καὶ μὴ ἀναγκαζομένοις, ὥσπερ νῦν, πάσαις φυλάσσειν· εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βραχὺ τῆς τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν, παρὰ τὴν ἐκείνων πόλιν χαλεπῶς καὶ νῦν ἐσκομιζόμενοι. Τὰ δὲ πληρώματα διὰ τόδε ἐφθάρη τε ἡμῖν καὶ ἔτι νῦν φθείρεται, τῶν ναυτῶν [τῶν] μὲν διὰ φρυγανισμὸν καὶ ἁρπαγὴν καὶ ὑδρείαν μακρὰν ὑπὸ τῶν ἱππέων ἀπολλυμένων· οἱ δὲ θεράποντες, ἐπειδὴ ἐς ἀντίπαλα καθε-

loponnèse demander une autre armée, et Gylippos parcourt les villes de la Sicile, pour engager les unes (celles qui restent tranquilles à présent) à s'unir à lui pour la guerre, et tirer des autres, s'il le peut, de nouvelles forces de terre et de mer. Car ils ont l'intention, comme je l'apprends, d'essayer une attaque contre nos murailles à la fois avec leur armée de terre et sur mer avec leur flotte. Que ce mot, sur mer, ne surprenne personne d'entre vous. Au su même de nos ennemis, notre flotte était d'abord dans un état florissant, les vaisseaux bien étanchés et les équipages saufs : mais à présent nos vaisseaux font eau de toutes parts, pour avoir tenu la mer si longtemps, et nos équipages sont détruits. Il nous est impossible de tirer nos vaisseaux à terre pour les faire sécher, parce que la flotte ennemie, égale et même supérieure en nombre, fait toujours supposer qu'ils vont attaquer. Leurs intentions sont manifestes, l'attaque leur appartient maintenant, et il leur est facile de mettre leurs vaisseaux à sec, n'ayant pas à faire de croisière.

13. « Pour nous, à peine aurions-nous un semblable avantage si notre flotte était plus nombreuse et s'il ne nous fallait, comme aujourd'hui, nous tenir sur nos gardes avec tous nos vaisseaux ; car, pour peu que nous nous relâchions de notre surveillance, nous manquerons de vivres ; déjà même nos convois près de leur ville nous parviennent difficilement. Quant aux équipages, voici ce qui en a causé et qui en cause encore maintenant la

στήκαμεν, αὐτομολοῦσι, καὶ οἱ ξένοι οἱ μὲν ἀναγκαστοὶ ἐσβάντες εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν, οἱ δὲ ὑπὸ μεγάλου μισθοῦ τὸ πρῶτον ἐπαρθέντες καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ τἆλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται, οἱ δὲ ὡς ἕκαστοι δύνανται· πολλὴ δ' ἡ Σικελία· εἰσὶ δ' οἳ καὶ αὐτοὶ ἐμπορευόμενοι, ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους, τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῄρηνται.

ιδ'. « Ἐπισταμένοις δ' ὑμῖν γράφω ὅτι βραχεῖα ἀκμὴ πληρώματος καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν καὶ ξυνέχοντες τὴν εἰρεσίαν. Τούτων δὲ πάντων ἀπορώτατον τό τε μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ (χαλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι) καὶ ὅτι οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει, ἀλλ' ἀνάγκη ἀφ' ὧν ἔχοντες ἤλθομεν τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι· αἱ γὰρ νῦν οὖσαι πόλεις ξύμμαχοι ἀδύνατοι Νάξος καὶ Κατάνη. Εἰ δὲ προσγενήσεται ἓν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ τρέφοντα ἡμᾶς χωρία τῆς Ἰταλίας, ὁρῶντα ἐν ᾧ τε ἐσμὲν, καὶ ὑμῶν μὴ ἐπιβοηθούντων, πρὸς ἐκείνους χωρῆσαι, διαπεπολεμήσεται αὐτοῖς ἀμαχεὶ, ἐκπολιορκηθέντων ἡμῶν, ὁ πόλεμος. Τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν, οὐ μέντοι

destruction : une partie des matelots qui s'écartent pour ramasser du menu bois, ou faire du butin et de l'eau, sont tués par la cavalerie ennemie; les valets désertent depuis que les forces sont égales de part et d'autre, et parmi les étrangers, ceux qui dans l'origine furent embarqués malgré eux retournent dans les villes, et ceux qui d'abord, séduits par l'appât d'une solde considérable, s'étaient imaginé amasser de l'argent plutôt que se battre, depuis que, contre leur attente, ils voient les ennemis résister avec une flotte et autres moyens, ils s'en vont, les uns en passant à l'ennemi, les autres comme chacun le peut, car la Sicile est grande; il en est qui, trafiquant eux-mêmes, obtiennent des triérarques de se faire remplacer par des esclaves d'Hyccara, ce qui enlève l'excellence de la flotte.

14. « Vous savez ce que je vous écris, que les bons équipages sont rares, et qu'il en est peu parmi les matelots qui sachent conduire un vaisseau hors du port, et manier d'accord les rames. Mais de tous ces embarras le pire est qu'il m'est impossible, à moi le général, de les faire cesser (tant vous êtes d'une nature difficile à régir), et que nous ne savons où recruter nos équipages, ce que peut faire l'ennemi en maint endroit; pour combler nos vides et réparer nos pertes, il nous faut prendre sur ce que nous avions en arrivant, car les villes de Naxos et de Catane, nos alliées aujourd'hui, ne peuvent nous aider. De sorte que si, par un surcroît de bonheur pour nos ennemis, les villes de l'Italie qui nous fournissent des subsistances, voyant l'état où nous sommes et que vous ne venez pas à notre secours, se réunissent à eux, ils termineront la guerre sans combat, forcés que nous serons de nous

χρησιμώτερά γε, εἰ δεῖ σαφῶς ὑμᾶς εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι. Καὶ ἅμα τὰς φύσεις ἐπιστάμενος ὑμῶν, βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν, αἰτιωμένων δὲ ὕστερον, ἤν τι ὑμῖν ἀπ' αὐτῶν μὴ ὅμοιον ἐκβῇ, ἀσφαλέστερον ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι.

ιε'. « Καὶ νῦν ὡς ἐφ' ἃ μὲν ἤλθομεν τὸ πρῶτον καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων, οὕτω τὴν γνώμην ἔχετε· ἐπειδὴ δὲ Σικελία τε ἅπασα ξυνίσταται καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ προσδόκιμος, αὐτοὶ βουλεύσασθε ἤδη, ὡς τῶν γ' ἐνθάδε μηδὲ τοῖς παροῦσιν ἀνταρκούντων, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω ἐπιπέμπειν καὶ πεζὴν καὶ ναυτικὴν, καὶ χρήματα μὴ ὀλίγα, ἐμοὶ δὲ διάδοχόν τινα, ὡς ἀδύνατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν. Ἀξιῶ δ' ὑμῶν ξυγγνώμης τυγχάνειν· καὶ γὰρ ὅτ' ἐῤῥώμην πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα. Ὅ τι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράττετε, ὡς τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι' ὀλίγου ποριουμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μὲν, ὅμως δ', ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς, ὥσπερ καὶ πρότερον, τὰ δὲ φθήσονται. »

ις'. Ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου, οἱ δὲ Ἀθηναῖοι, ἀκούσαντες αὐτῆς, τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέν-

rendre. J'aurais pu vous mander des nouvelles plus agréables, mais non plus utiles, puisqu'il faut que vous sachiez la vérité sur ce qui se passe ici, pour en délibérer. Comme je connais d'ailleurs votre caractère, que vous aimez à entendre les choses les plus agréables, et qu'ensuite vous vous plaignez si l'événement n'y répond pas, j'ai jugé plus sûr de vous dévoiler toute la vérité.

15. « Et maintenant, soyez bien persuadés que quant au but de notre expédition, soldats et chefs ne vous ont donné aucun sujet de plainte ; mais, comme toute la Sicile se ligue, et qu'elle attend une autre armée du Péloponnèse, délibérez en conséquence ; car ceux que nous avons ici ne suffisent même pas aux besoins actuels : il faut ou nous rappeler, ou nous envoyer une autre armée de terre et de mer, non moins considérable que la première, beaucoup d'argent, et un successeur pour me remplacer ; tourmenté par une néphrétique, je ne puis rester plus longtemps ici. Je réclame votre indulgence ; tant que ma santé me l'a permis, je vous ai rendu bien des services dans mes divers commandements. Ce que vous croirez devoir faire, faites-le sans retard dès le printemps, car nos ennemis peuvent vite se procurer les ressources qu'ils ont en Sicile ; quant aux secours du Péloponnèse, ils viendront plus tard, il est vrai, mais, si vous n'y prenez garde, ou ils vous échapperont *, comme précédemment, ou bien ils vous devanceront. »

* Il fait allusion au départ de Gylippos et de la flotte corinthienne qu'ils n'ont pas empêché.

16. Tel était le contenu de la lettre de Nicias. Les Athéniens, après en avoir entendu la lecture, n'ôtèrent pas le commandement à Nicias, mais, en attendant l'ar-

τες ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσείλοντο, Μένανδρον καὶ Εὐθύδημον, ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη, στρατιὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν ναυτικὴν καὶ πεζὴν, Ἀθηναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων. Καὶ ξυνάρχοντας αὐτῷ εἵλοντο Δημοσθένη τε τὸν Ἀλκισθένους καὶ Εὐρυμέδοντα τὸν Θουκλέους. Καὶ τὸν μὲν Εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἀποπέμπουσιν ἐς τὴν Σικελίαν μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι καὶ ἑκατὸν τάλαντα ἀργυρίου, καὶ ἅμα ἀγγελοῦντα τοῖς ἐκεῖ ὅτι ἥξει βοήθεια καὶ ἐπιμέλεια αὐτῶν ἔσται.

ιζ΄. Ὁ δὲ Δημοσθένης ὑπομένων παρεσκευάζετο τὸν ἔκπλουν ὡς ἅμα τῷ ἦρι ποιησόμενος, στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους καὶ χρήματα αὐτόθεν καὶ ναῦς καὶ ὁπλίτας ἑτοιμάζων. Πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ τῆς Πελοποννήσου ἐς τὴν Σικελίαν περαιοῦσθαι. Οἱ γὰρ Κορίνθιοι, ὡς αὐτοῖς οἱ πρέσβεις ἦκον, καὶ τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον ἐπέρρωντο, καὶ ἐν ὁλκάσι παρεσκευάζοντο αὐτοί τε ἀποστελοῦντες ὁπλίτας ἐς τὴν Σικελίαν, καὶ ἐκ τῆς ἄλλης Πελοποννήσου οἱ Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. Ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακὴν, καὶ τὰς

rivée d'autres collègues qu'on aurait choisis, ils lui adjoignirent deux de ceux qui se trouvaient en Sicile, Ménandros et Euthydémos, pour que dans sa maladie il ne supportât pas seul les fatigues de la guerre. Ils décrétèrent aussi l'envoi d'une seconde armée de terre et de mer, composée d'Athéniens inscrits sur le rôle et d'alliés. Ils élurent, pour collègues de Nicias, Démosthènes fils d'Alcisthènes et Eurymédon fils de Thouclès. Dès le solstice d'hiver, ils envoyèrent Eurymédon en Sicile avec dix vaisseaux et cent vingt talents d'argent pour annoncer à l'armée qu'il lui arriverait du secours et qu'on aurait soin d'elle.

17. Démosthènes resta pour préparer l'expédition et partir dès le printemps; il demanda des levées de troupes aux alliés, et se procura chez eux de l'argent, des vaisseaux et des hoplites. Les Athéniens envoyèrent aussi vingt vaisseaux autour du Péloponnèse pour veiller à ce que personne ne passât en Sicile de Corinthe et du Péloponnèse. Car les Corinthiens, aussitôt l'arrivée de leurs députés, qui annonçaient que les affaires en Sicile allaient mieux, pensant que leur premier envoi de vaisseaux n'avait pas été inutile, redoublèrent d'énergie, et se préparaient à expédier eux-mêmes en Sicile des hoplites sur des bâtiments de charge, tandis que par le même moyen les Lacédémoniens y enverraient aussi des hoplites du reste du Péloponnèse. Les Corinthiens équipèrent de plus vingt-cinq vaisseaux, pour tenter un combat naval contre la croisière devant Naupacte, et aussi pour que les Athéniens qui étaient stationnés à

ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριηρῶν τὴν φυλακὴν ποιούμενοι.

ιη΄. Παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ Λακεδαιμόνιοι, ὥσπερ τε προεδέδοκτο αὐτοῖς, καὶ τῶν Συρακουσίων καὶ τῶν Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως δὴ, ἐσβολῆς γενομένης, διακωλυθῇ. Καὶ ὁ Ἀλκιβιάδης προσκείμενος ἐδίδασκε τὴν Δεκέλειαν τειχίζειν καὶ μὴ ἀνιέναι τὸν πόλεμον. Μάλιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, διότι τοὺς Ἀθηναίους ἐνόμιζον, διπλοῦν τὸν πόλεμον ἔχοντας, πρός τε σφᾶς καὶ Σικελιώτας, εὐκαθαιρετωτέρους ἔσεσθαι, καὶ ὅτι τὰς σπονδὰς προτέρους λελυκέναι ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προτέρῳ πολέμῳ σφέτερον τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι τε ἐς Πλάταιαν ἦλθον Θηβαῖοι ἐν σπονδαῖς, καὶ, εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας θέλωσι διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν Ἀθηναίων. Καὶ διὰ τοῦτο εἰκότως δυστυχεῖν τε ἐνόμιζον, καὶ ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν καὶ εἴ τις ἄλλη αὐτοῖς γένοιτο. Ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι ταῖς τριάκοντα ναυσὶν ἐξ Ἄργους ὁρμώενοι Ἐπιδαύρου τέ τι καὶ Πρασιῶν καὶ ἄλλα ἐδήωσαν, καὶ ἐκ Πύλου ἅμα ἐλήστευον, καὶ, ὁσάκις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς σπονδάς ἀμφισβητουμένων, ἐς

Naupacte, s'occupant à observer les trirèmes de Corinthe qui leur seraient opposées, pussent moins entraver le départ des bâtiments de charge.

18. Les Lacédémoniens préparaient aussi l'invasion dans l'Attique, conformément à une précédente decision, et aux exhortations des Syracusains et des Corinthiens, qui, informés du secours que les Athéniens allaient envoyer en Sicile, voulaient y mettre obstacle en faisant envahir l'Attique. Alcibiades, de son côté, par de vives instances, démontrait qu'il fallait fortifier Décélie et ne pas relâcher la guerre. Ce qui encourageait surtout les Lacédémoniens, c'était la pensée que les Athéniens, occupés d'une double guerre, contre eux et contre les Sicéliôtes, seraient plus faciles à abattre : c'était aussi la croyance où ils étaient que les Athéniens avaient rompu la trêve les premiers. Or, dans la précédente guerre *, les Lacédémoniens s'attribuaient plutôt à eux-mêmes la violation des traités quand les Thébains entrèrent à Platée en temps de paix ; et comme il était dit dans les précédents traités de ne pas faire la guerre à qui se rendrait à l'appel en justice, et qu'eux s'y refusèrent lorsque les Athéniens leur en avaient fait la proposition * ; en raison de cela, dans leur opinion, toutes les souffrances, ils les avaient justement méritées, et la catastrophe de Pylos et toutes leurs autres infortunes se représentaient toujours à leur souvenir. Mais du moment que les Athéniens étaient allés en partant d'Argos * avec les trente vaisseaux ravager les campagnes d'Épidaure, de Prasiæ et d'autres contrées, et qu'en même temps ils s'étaient livrés au brigandage en partant de Pylos, et qu'appelés en justice par les Lacédémoniens chaque fois que des difficultés s'élevaient sur les points litigieux du

* L. I, 28, et la paix de trente ans.

* Voy. L. I, 140.

* Voy. VI, 105.

Voy. VI. 105.

δίκας προκαλουμένων τῶν Λακεδαιμονίων, οὐκ ἤθελον ἐπιτρέπειν, τότε δὴ οἱ Λακεδαιμόνιοι, νομίσαντες τὸ παρανόμημα, ὅπερ καὶ σφίσι πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον. Καὶ ἐν τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τοὺς ξυμμάχους καὶ τἆλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισμὸν, καὶ τοῖς ἐν τῇ Σικελίᾳ ἅμα ὡς ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν αὐτοί τε ἐπόριζον καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκαζον. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ὄγδοον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

ιθ´. Τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου πρωϊτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐσέβαλον· ἡγεῖτο δὲ Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. Καὶ πρῶτον μὲν τῆς χώρας τὰ περὶ τὸ πεδίον ἐδῄωσαν, ἔπειτα Δεκέλειαν ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ ἔργον. Ἀπέχει δὲ ἡ Δεκέλεια σταδίους μάλιστα τῆς τῶν Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατὸν, παραπλήσιον δὲ καὶ οὐ πολλῷ πλέον καὶ ἀπὸ τῆς Βοιωτίας. Ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς χώρας τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως. Καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον, οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν Σικελίαν, Λακεδαι-

traité, les Athéniens refusaient de s'y rendre, dès lors les Lacédémoniens crurent que le même crime antérieurement commis par eux-mêmes était retombé pareillement sur les Athéniens, et n'hésitèrent plus à faire la guerre. Pendant cet hiver, ils ordonnèrent aux alliés de fournir du fer, et préparèrent les autres instruments nécessaires pour élever les fortifications; en même temps ils envoyèrent eux-mêmes un secours en Sicile sur des bâtiments de charge, et obligèrent aussi les autres Péloponnésiens d'en faire autant. L'hiver finit, avec la dix-huitième année de la guerre dont Thucydides a composé l'histoire.

19. Dès l'entrée du printemps suivant, les Lacédémoniens et leurs alliés envahirent aussitôt l'Attique; leur chef était Agis fils d'Archidamos, roi des Lacédémoniens. D'abord ils dévastèrent les plaines de l'Attique; ensuite ils fortifièrent Décélie, après avoir partagé ce travail entre les troupes des différentes villes. Décélie est éloignée d'Athènes de cent vingt stades tout au plus *; elle est à peu près à pareille distance de la Bœôtie. Le fort qui dominait la plaine était construit dans les plus fertiles contrées afin de causer plus de dommage à l'ennemi; on pouvait l'apercevoir jusque dans Athènes. Tandis que les Péloponnésiens avec leurs alliés fortifiaient Décélie en Attique, ceux qui étaient au Péloponnèse envoyaient les hoplites en Sicile sur des bâtiments de charge. Les Lacédémoniens choisirent les meilleurs

Dix-neuvième année de la guerre.
413 av. J.-C.
Saison d'été.

* 22 kil. 200 m.

μόνιοι μὲν τῶν τε Εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους καὶ τῶν Νεοδαμωδῶν, ξυναμφοτέρων ἐς ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα, Βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε καὶ Νίκων Θηβαῖοι καὶ Ἡγήσανδρος Θεσπιεύς. Οὗτοι μὲν οὖν ἐν τοῖς πρῶτοι ὁρμήσαντες ἀπὸ τοῦ Ταινάρου τῆς Λακωνικῆς, ἐς τὸ πέλαγος ἀφῆκαν· μετὰ δὲ τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον πεντακοσίους ὁπλίτας, τοὺς μὲν ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ προσμισθωσάμενοι Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες, ἀπέπεμψαν. Ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώνιος. Αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ τοῦ χειμῶνος πληρωθεῖσαι ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς, ἕως περ' αὐτοῖς οὗτοι οἱ ὁπλῖται ταῖς ὁλκάσιν ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ πρῶτον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ὁλκάδας μᾶλλον ἢ πρὸς τὰς τριήρεις τὸν νοῦν ἔχωσιν.

κ'. Ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι ἅμα τῆς Δεκελείας τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου περί τε Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν καὶ Χαρικλέα τὸν Ἀπολλοδώρου ἄρχοντα, ᾧ εἴρητο, καὶ ἐς Ἄργος ἀφικομένῳ, κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων [τε] ὁπλίτας ἐπὶ τὰς ναῦς, καὶ τὸν Δημοσθένη ἐς τὴν Σικελίαν, ὥσπερ ἔμελλον, ἀπέστελλον ἑξήκοντα μὲν ναυσὶν Ἀθηναίων καὶ πέντε Χίαις, ὁπλίταις δὲ

des hilôtes et des néodamôdes, en formant un corps de six cents hoplites commandés par le Spartiate Eccritos. Les Bœôtiens envoyèrent trois cents hoplites, commandés par les Thébains Xénon et Nicon, et le Thespiéen Hégésandros. Ces troupes partirent les premières du Ténare en Lacônie, et gagnèrent la haute mer. Peu après leur départ, les Corinthiens expédièrent cinq cents hoplites, dont les uns étaient de Corinthe même, et les autres des Arcadiens stipendiés, et placèrent à leur tête Alexarchos de Corinthe. Les Sicyôniens aussi envoyèrent avec ceux de Corinthe deux cents hoplites, sous le commandement de Sargéus de Sicyône. Les vingt-cinq vaisseaux de Corinthe, équipés pendant l'hiver, croisèrent contre les vingt navires d'Athènes qui étaient à Naupacte, jusqu'à ce que les hoplites corinthiens fussent partis du Peloponnèse sur les bâtiments de charge ; c'était dans ce but aussi qu'on les avait équipés tout d'abord afin d'attirer l'attention des Athéniens plutôt sur les trirèmes que sur les bâtiments de charge.

20. En attendant, les Athéniens de leur côté, pendant qu'on fortifiait Décélie, et dès le commencement du printemps, expédièrent trente vaisseaux autour du Péloponnèse sous le commandement de Chariclès fils d'Apollodôros, auquel on avait ordonné d'aller aussi à Argos, demander, conformément au traité d'alliance, d'envoyer des hoplites sur sa flotte ; ils firent partir aussi,

ἐκ καταλόγου Ἀθηναίων διακοσίοις καὶ χιλίοις, καὶ νησιωτῶν ὅσοις ἑκασταχόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι, καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων, εἴ ποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν πόλεμον, ξυμπορίσαντες. Εἴρητο δ' αὐτῷ πρῶτον μετὰ τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν Λακωνικήν. Καὶ ὁ μὲν Δημοσθένης ἐς τὴν Αἴγιναν πλεύσας τοῦ στρατεύματός τε εἴ τι ὑπελείπετο, περιέμενε, καὶ τὸν Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.

κα'. Ἐν δὲ τῇ Σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ ἦρος καὶ ὁ Γύλιππος ἧκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ τῶν πόλεων, ὧν ἔπεισε, στρατιάν ὅσην ἑκασταχόθεν πλείστην ἐδύνατο. Καὶ ξυγκαλέσας τοὺς Συρακουσίους, ἔφη χρῆναι πληροῦν ναῦς ὡς δύνανται πλείστας καὶ ναυμαχίας ἀπόπειραν λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον κατεργάσεσθαι. Ξυνανέπειθε δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν [ἐπιχειρήσειν] πρὸς τοὺς Ἀθηναίους, λέγων οὐδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ ἀΐδιον τῆς θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώτας μᾶλλον τῶν Συρακουσίων ὄντας καὶ ἀναγκασθέντας ὑπὸ Μήδων ναυτικοὺς γενέσθαι. Καὶ πρὸς ἄνδρας τολμηρούς, οἵους καὶ Ἀθηναίους, τοὺς ἀντιτολμῶντας χαλεπωτάτους αὐτοῖς φαίνεσθαι· ᾧ γὰρ ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει ἔστιν ὅτε προὔχοντες, τῷ δὲ θράσει ἐπιχειροῦντες καταφοβοῦσι, καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν.

comme ils l'avaient résolu, Démosthènes en Sicile avec soixante vaisseaux d'Athènes, cinq de Chios, douze cents hoplites athéniens inscrits sur le rôle, et le plus qu'ils purent d'insulaires levés de tous côtés; ils tirèrent aussi des autres alliés, sujets d'Athènes, tout ce qu'ils pouvaient avoir chez eux d'utile à la guerre. On avait donné l'ordre à Démosthènes de croiser d'abord avec Chariclès, et d'aller conjointement dévaster les côtes de la Lacônie. Démosthènes, s'étant rendu à Égine, attendit que le reste des troupes pût arriver, et que Chariclès eût pris les Argéens sur sa flotte.

21. Cependant, en Sicile, vers le même temps de ce printemps, Gylippos aussi vint à Syracuse, amenant des villes qu'il sut rallier le plus de troupes qu'il put de chaque côté. Ayant convoqué les Syracusains, il leur dit qu'il fallait équiper le plus possible de vaisseaux, et risquer un combat naval dont il espérait que l'heureux succès compenserait le péril dans cette guerre. Hermocrates aussi les exhorta non moins énergiquement à ne pas craindre d'attaquer les Athéniens avec la flotte; il leur dit que l'expérience sur mer n'était point un héritage que les Athéniens eussent eu de tout temps, mais que, bien plus que les Syracusains, ils étaient un peuple continental, forcé par les Mèdes à s'adonner à la marine; que ceux qui oseraient opposer l'audace à des hommes aussi audacieux que les Athéniens, leur sembleraient les adversaires les plus redoutables : car, de même que par la témérité les Athéniens, bien que parfois inférieurs en force, attaquent les autres et les épouvantent, les Syracusains aussi inspireraient à leur tour une

Καὶ Συρακουσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι πλέον τι διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν περιγενησομένους ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν Συρακουσίων ἀπειρίαν βλάψοντας. Ἰέναι οὖν ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ καὶ μὴ ἀποκνεῖν. Καὶ οἱ μὲν Συρακούσιοι, τοῦ τε Γυλίππου καὶ Ἑρμοκράτους καὶ εἴ του ἄλλου πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν καὶ τὰς ναῦς ἐπλήρουν.

κϐ΄. Ὁ δὲ Γύλιππος, ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικὸν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν, αὐτὸς μὲν τοῖς ἐν τῷ Πλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσϐαλεῖν, αἱ δὲ τριήρεις τῶν Συρακουσίων ἅμα καὶ ἀπὸ ξυνθήματος πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον, αἱ δὲ πέντε καὶ τεσσαράκοντα ἐκ τοῦ ἐλάσσονος, οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς, περιέπλεον, βουλόμενοι πρὸς τὰς ἐντὸς προσμίξαι καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυϐῶνται. Οἱ δ' Ἀθηναῖοι, διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς, ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν Συρακουσίων τὰς ἐν τῷ μεγάλῳ λιμένι ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας. Καὶ εὐθὺς πρὸ τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον ἀλλήλοις ἐπὶ πολὺ, οἱ μὲν βιάσασθαι βουλόμενοι τὸν ἔσπλουν, οἱ δὲ κωλύειν.

terreur pareille à leurs ennemis. Il dit enfin que si les Syracusains, par un retour inattendu trompant toute attente, osaient s'opposer à la flotte athénienne, l'épouvante dont ils frapperaient par là l'ennemi leur serait un avantage bien supérieur au mal que pourrait causer la science athénienne à l'inexpérience des Syracusains. Il les exhorta donc d'aller sans crainte en faire sur mer l'expérience. Les Syracusains, excités par les exhortations de Gylippos, d'Hermocrates et de quelques autres, s'enhardirent à livrer un combat naval, et équipèrent leurs vaisseaux.

22. Gylippos, dès que la flotte fut prête, prit avec lui toute l'armée de pied pour aller vers la nuit en personne attaquer par terre les forts construits à Plemmyrion. En même temps et à un signal donné trente-cinq trirèmes des Syracusains s'avancèrent du grand port, et quarante-cinq du petit port, où était aussi l'arsenal des Syracusains. Celles-ci côtoyèrent afin de se joindre aux trirèmes qui étaient dans le grand port, et se porter avec elles contre Plemmyrion, en jetant le trouble parmi les Athéniens, attaqués de deux côtés. Mais ceux-ci équipèrent à la hâte soixante vaisseaux, dont vingt-cinq combattirent les trente-cinq trirèmes des Syracusains qui étaient dans le grand port, et allèrent avec les autres à la rencontre de celles qui, sorties de l'arsenal, longeaient la côte. Aussitôt le combat s'engagea à l'entrée du grand port : la résistance fut longue de part et d'autre, les uns voulant forcer l'entrée, les autres s'y opposer.

κγ'. Ἐν τούτῳ δὲ ὁ Γύλιππος, τῶν ἐν τῷ Πλημμυρίῳ Ἀθηναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων, φθάνει προσπεσὼν ἅμα τῇ ἕῳ αἰφνιδίως τοῖς τείχεσι, καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον, ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν. Καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος χαλεπῶς οἱ ἄνθρωποι, ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐς τὸ στρατόπεδον ἐξεκομίζοντο· τῶν γὰρ Συρακουσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ ναυμαχίᾳ, ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ οἱ Συρακούσιοι ἐτύγχανον ἤδη νικώμενοι καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν. Αἱ γὰρ τῶν Συρακουσίων αἱ πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι, βιασάμεναι τὰς τῶν Ἀθηναίων ναῦς, οὐδενὶ κόσμῳ ἐσέπλεον, καὶ ταραχθεῖσαι περὶ ἀλλήλας παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις· ταύτας τε γὰρ ἔτρεψαν καὶ ὑφ' ὧν τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι. Καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακουσίων κατέδυσαν, καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσον ἐκ τριῶν νεῶν, οὓς ἐζώγρησαν· τῶν δὲ σφετέρων τρεῖς νῆες διεφθάρησαν. Τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακουσίων, καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ Πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

κδ'. Οἱ δὲ Συρακούσιοι κατὰ μὲν τὴν ναυμαχίαν οὕτως

23. Tandis que les Athéniens qui étaient à Plemmyrion étaient descendus au rivage, et que le combat naval absorbait leur attention, Gylippos survint et dès l'aurore tomba à l'improviste sur les forts, s'empara du plus grand, et ensuite des deux plus petits, où les gardes n'opposèrent pas de résistance, dès qu'ils virent qu'on s'était emparé aisément du plus grand. A la prise du premier fort, les hommes qui s'étaient réfugiés sur les barques et sur un bâtiment de charge, regagnèrent le camp avec peine, car la flotte syracusaine qui était dans le grand port, ayant la supériorité dans le combat, une trirème à la marche rapide s'était mise à leur poursuite. Mais, après la prise des deux autres forts, ceux qui s'en échappèrent purent longer la côte plus facilement, car alors les Syracusains venaient d'être vaincus. Ceux de leurs vaisseaux qui se battaient à l'entrée du port, ayant forcé la flotte athénienne et ayant pénétré dans le port sans aucun ordre, s'embarrassèrent mutuellement et livrèrent la victoire aux Athéniens, qui les mirent en fuite ainsi que les navires qui d'abord avaient eu sur eux l'avantage dans le port. Ils submergèrent onze vaisseaux syracusains, et tuèrent la plupart des hommes, excepté ceux qu'ils firent prisonniers sur trois navires ; mais ils perdirent eux-mêmes trois de leurs vaisseaux. Ils tirèrent à terre les débris du naufrage des Syracusains, dressèrent un trophée sur l'îlot qui est en face de Plemmyrion, et revinrent à leur camp.

24. Tel fut pour les Syracusains le résultat du com-

ἐπεπράγεσαν, τὰ δ' ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον, καὶ τροπαῖα ἔστησαν αὐτῶν τρία. Καὶ τὸ μὲν ἕτερον τοῖν δυοῖν τειχοῖν τοῖν ὕστερον ληφθέντοιν κατέβαλον, τὰ δὲ δύο ἐπισκευάσαντες ἐφρούρουν. Ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέθανον καὶ ἐζωγρήθησαν πολλοὶ, καὶ χρήματα πολλὰ τὰ ξύμπαντα ἑάλω· ἅτε γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων τοῖς τείχεσι, πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος ἐνῆν, πολλὰ δὲ καὶ τῶν τριηράρχων, ἐπεὶ καὶ ἱστία τεσσαράκοντα τριήρων καὶ τἆλλα σκεύη ἐγκατελήφθη, καὶ τριήρεις ἀνειλκυσμέναι τρεῖς. Μέγιστόν τε καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ ἔτι οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων (οἱ γὰρ Συρακούσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες ἐκώλυον, καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐσκομιδαὶ), ἔς τε τἆλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.

κε΄. Μετὰ δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακούσιοι καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν Συρακούσιον ἄρχοντα. Καὶ αὐτῶν μία μὲν ἐς Πελοπόννησον ᾤχετο, πρέσβεις ἄγουσα, ὅπως τά τε σφέτερα φράσωσιν ὅτι ἐν ἐλπίσιν εἰσὶ καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρύνωσι γίγνεσθαι· αἱ δὲ ἕνδεκα νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν. Καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν, καὶ ξύλα ναυπη-

bat naval; mais ils occupèrent les forts qui étaient à Plemmyrion, et dressèrent trois trophées, un pour chaque fort. Ils démolirent l'un des deux forts pris les derniers, réparèrent les deux qui restaient, et y mirent garnison. A la prise de ces forts, beaucoup de leurs défenseurs furent tués ou faits prisonniers, et tout ce qu'ils contenaient, en quantité considérable, fut enlevé; comme les Athéniens se servaient de ces forts pour y déposer leur trésor, il s'y trouvait beaucoup d'effets et de blé des négociants et des triérarques; on y avait déposé aussi les voiles et les autres agrès pour quarante trirèmes et trois trirèmes y étaient mises à sec. La prise de Plemmyrion occasionna le plus grand et le plus notable dommage à l'armée athénienne; car l'entrée du port n'était plus sûre pour introduire des subsistances, parce que les vaisseaux syracusains qui stationnaient en ces lieux s'y opposaient; les importations ne se faisaient donc plus sans combat; et ce malheur, considéré sous toutes ses faces, jeta dans l'armée l'épouvante et le découragement.

25. Après le combat, les Syracusains dépêchèrent douze vaisseaux sous le commandement du Syracusain Agatharchos. Un de ces vaisseaux vogua vers le Péloponnèse avec des députés chargés d'y annoncer que leurs affaires en Sicile donnaient de l'espoir, et insister pour qu'on poussât la guerre en Attique plus vigoureusement encore. Les onze autres vaisseaux firent voile vers l'Italie, parce qu'ils avaient appris que dix bâtiments chargés de provisions, et destinés aux Athéniens, s'y dirigeaient. Les Syracusains rencontrèrent ces vaisseaux, en détruisirent le plus grand nombre, et brûlèrent le bois de construction qu'on avait préparé dans la con-

γήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ τοῖς Ἀθηναίοις ἑτοῖμα ἦν. Ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον, καὶ ὁρμουσῶν αὐτῶν κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου ἄγουσα Θεσπιέων ὁπλίτας· καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακούσιοι ἐπὶ τὰς ναῦς, παρέπλεον ἐπ' οἴκου. Φυλάξαντες δ' αὐτοὺς οἱ Ἀθηναῖοι εἴκοσι ναυσὶ πρὸς τοῖς Μεγάροις, μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας οὐκ ἐδυνήθησαν, ἀλλ' ἀποφεύγουσιν ἐς τὰς Συρακούσας.

Ἐγένετο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι, οὓς οἱ Συρακούσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν, καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμβάλλοντες. Προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα, ἔκ τε τῶν ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς σταυρούς, καὶ ἀνέκλων, καὶ κατακολυμβῶντες ἐξέπριον. Οἱ δὲ Συρακούσιοι ἀπὸ τῶν νεωσοίκων ἔβαλλον, οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον, καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι. Χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος· ἦσαν γὰρ τῶν σταυρῶν, οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέπηξαν, ὥστε δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προϊδών τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν. Ἀλλὰ καὶ τούτους κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. Ὅμως δ' αὖθις οἱ Συρακούσιοι ἐσταύρωσαν. Πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους, οἷον εἰκὸς

trée de Caulônia pour les Athéniens; ils allèrent ensuite chez les Locriens. Ils y stationnaient, lorsqu'un des bâtiments de charge partis du Pèloponnèse aborda, amenant des hoplites de Thespiæ; les Syracusains les prirent à bord et revinrent chez eux. Les Athéniens, qui les épiaient avec vingt vaisseaux près de Mégara, prirent un de ces bâtiments avec tout l'équipage; mais ne purent s'emparer des autres, qui leur échappèrent et se réfugièrent à Syracuse.

Il y eut aussi un engagement dans le port au sujet des pilotis que les Syracusains avaient enfoncés en mer devant l'ancien arsenal, afin que leurs vaisseaux pussent se tenir à l'ancre dans cette enceinte, et que les Athéniens, dans leurs attaques, ne les endommageassent pas du choc de l'éperon de leurs vaisseaux. Les Athéniens firent approcher un navire énorme surmonté de tours de bois et garni de parapets; et montés sur de petites barques ils liaient les pieux, les ébranlaient et les arrachaient avec des cabestans, ou les sciaient en plongeant au fond de la mer. Les Syracusains tiraient sur eux du haut de l'arsenal; mais les troupes leur ripostaient du gros bâtiment; enfin les Athéniens enlevèrent la plupart des pieux. La partie qui en était cachée rendait cette opération difficile : car on en avait planté qui ne s'élevaient pas à fleur d'eau, de sorte qu'il était dangereux d'en approcher, de crainte que, sans les voir, on n'échouât son vaisseau comme sur un écueil. Cependant des plongeurs, s'enfonçant sous l'eau, les sciaient pour de l'argent. Mais les Syracusains recommencèrent leurs pilotis. De part et d'autre on employait bien des expédients, et cela devait être, vu la proximité des deux camps opposés l'un à l'autre; on

τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων, ἐμηχανῶντο, καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο.

Ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ Συρακούσιοι Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων, ἀγγέλλοντας τήν τε τοῦ Πλημμυρίου λῆψιν καὶ τῆς ναυμαχίας πέρι ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύϊ μᾶλλον ἢ τῇ σφετέρᾳ ταραχῇ ἡσσηθεῖεν, τά τε ἄλλα [αὖ] δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσὶ, καὶ ἀξιώσοντας ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ, ὡς καὶ τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ, καὶ, ἢν φθάσωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπεπολεμησόμενον. Καὶ οἱ μὲν ἐν τῇ Σικελίᾳ ταῦτα ἔπρασσον.

κϛ΄. Ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα, ὃ ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς Αἰγίνης καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον, τῷ τε Χαρικλεῖ καὶ ταῖς τριάκοντα ναυσὶ τῶν Ἀθηναίων ξυμμίσγει, καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας ἐπὶ τὰς ναῦς, ἔπλεον ἐς τὴν Λακωνικὴν, καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς ἐδῄωσαν, ἔπειτα, σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων αὐτόσε αὐτομολῶσι, καὶ ἅμα λῃσταὶ ἐξ αὐτοῦ, ὥσπερ ἐκ τῆς Πύλου, ἁρπαγὴν ποιῶνται. Καὶ ὁ μὲν Δημοσθένης εὐθὺς ἐπειδὴ ξυγ-

faisait des escarmouches et des tentatives de toutes sortes.

Les Syracusains envoyèrent aussi dans les villes des députés corinthiens, ambraciôtes et lacédémoniens, pour annoncer la prise de Plemmyrion, et, quant au combat naval, pour en attribuer le mauvais succès non pas à la force de l'ennemi, mais à leur propre désordre, enfin pour annoncer tous les motifs d'espérances et solliciter des villes des secours en troupes et en vaisseaux, vu que les Athéniens aussi attendaient une autre armée, et que, s'ils parvenaient à détruire avant son arrivée leur armée présente, la guerre serait finie. Tel était l'état des affaires en Sicile.

26. Démosthènes, dès qu'il eut rassemblé l'armée de secours qu'il devait amener en Sicile, leva l'ancre d'Ægine, vogua vers le Péloponnèse et se joignit à Chariclès et aux trente vaisseaux d'Athènes. Ils embarquèrent quelques hoplites argéens, et cinglèrent vers la Lacônie. D'abord ils dévastèrent une partie de l'Épidaure Limère; ensuite ils prirent terre dans les parages de la Lacônie, en face de l'île de Cythère, là où est le temple d'Apollon, ravagèrent une partie de la campagne, et fortifièrent un emplacement qui forme un isthme, afin que les hilôtes de Lacédémone pussent déserter en ce lieu, et que des brigands aussi en sortissent, comme de Pylos, pour exercer leurs rapines. Démosthènes, après avoir aidé à occuper cette place, vogua vers Corcyre, pour prendre aussi à bord des alliés de cette île,

κατέλαβε τὸ χωρίον παρέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως καὶ τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν τὸν ἐς τὴν Σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται· ὁ δὲ Χαρικλῆς, περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε, καὶ καταλιπὼν φυλακὴν αὐτοῦ ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα ναυσὶν ἐπ' οἴκου, καὶ οἱ Ἀργεῖοι ἅμα.

κζ΄. Ἀφίκοντο δὲ καὶ Θρᾳκῶν μαχαιροφόρων τοῦ Διακοῦ γένους ἐς τὰς Ἀθήνας πελτασταὶ τοῦ αὐτοῦ θέρους τούτου τριακόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς τὴν Σικελίαν ξυμπλεῖν. Οἱ δ' Ἀθηναῖοι, ὡς ὕστερον ἧκον, διενοοῦντο αὐτοὺς πάλιν, ὅθεν ἦλθον, ἐς Θρᾴκην ἀποπέμπειν. Τὸ γὰρ ἔχειν πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον αὐτοὺς πολυτελὲς ἐφαίνετο· δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανον. Ἐπειδὴ γὰρ ἡ Δεκέλεια, τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον δὲ φρουραῖς ἀπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο, πολλὰ ἔβλαπτε τοὺς Ἀθηναίους, καὶ ἐν τοῖς πρῶτον χρημάτων τ' ὀλέθρῳ καὶ ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα. Πρότερον μὲν γὰρ βραχεῖαι γιγνόμεναι αἱ εἰσβολαὶ τὸν ἄλλον χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον· τότε δὲ ξυνεχῶς ἐπικαθημένων, καὶ ὁτὲ μὲν καὶ πλεόνων ἐπιόντων, ὁτὲ δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταθεούσης τε τὴν χώραν καὶ λῃστείας ποιουμένης, βασιλέως τε παρόντος τοῦ τῶν Λακεδαιμονίων Ἄγιδος, ὃς οὐκ ἐκ παρέργου τὸν πό-

et se rendre au plus tôt en Sicile. Quant à Chariclès, il resta jusqu'à ce qu'il eût achevé les fortifications; et, après y avoir laissé garnison, revint à Athènes avec les trente vaisseaux, et avec les hoplites argéens.

27. Ce même été, il vint à Athènes treize cents peltastes de ces Thraces de la tribu des Diens qui sont armés de coutelas; ils devaient accompagner Démosthènes en Sicile. Mais, comme ils arrivèrent trop tard, les Athéniens pensèrent à les renvoyer en Thrace d'où ils étaient venus; car les entretenir pour la guerre de Décélie leur paraissait fort onéreux, puisque chacun d'eux recevait une drachme par jour. Décélie, fortifiée d'abord cet été par toute l'armée, puis occupée par les garnisons des villes qui envahissaient successivement la campagne, nuisit beaucoup aux Athéniens, et la perte que ce fort leur fit éprouver en hommes et en argent ruina surtout leurs affaires. Auparavant, comme les invasions duraient peu, elles n'empêchaient pas le reste de l'année de tirer parti de la campagne; mais alors, pendant le séjour continuel des ennemis à Décélie, tantôt de grandes invasions, tantôt des incursions que faisait dans la campagne par nécessité la garnison fixée, enfin la présence du roi Agis, qui ne faisait pas une guerre

λεμον ἐποιεῖτο, μεγάλα οἱ Ἀθηναῖοι ἐβλάπτοντο. Τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο, καὶ ἀνδραπόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων τὸ πολὺ μέρος χειροτέχναι, πρόβατά τε ἀπωλώλει πάντα καὶ ζεύγη· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων καὶ κατὰ τὴν χώραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο.

κη΄. Ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆν διὰ τῆς Δεκελείας θᾶσσον οὖσα, περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ πόλις, καὶ ἀντὶ τοῦ πόλις εἶναι φρούριον κατέστη. Πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν οἱ Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ ξύμπαντες πλὴν τῶν ἱππέων, οἱ μὲν ἐφ' ὅπλοις που, οἱ δ' ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο. Μάλιστα δ' αὐτοὺς ἐπίεζεν ὅτι δύο πολέμους ἅμα εἶχον, καὶ ἐς φιλονεικίαν καθέστασαν τοιαύτην, ἣν πρὶν γενέσθαι ἠπίστησεν ἄν τις ἀκούσας· τὸ γὰρ αὐτοὺς πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ Πελοποννησίων μηδ' ὣς ἀποστῆναι ἐκ Σικελίας, ἀλλ' ἐκεῖ Συρακούσας τῷ αὐτῷ τρόπῳ ἀντιπολιορκεῖν, πόλιν οὐδὲν ἐλάσσω αὐτήν γε καθ' αὑτὴν τῆς Ἀθηναίων, καὶ τὸν παράλογον τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι τῆς δυνάμεως καὶ τόλμης, ὅσον κατ' ἀρχὰς τοῦ πολέμου

passagère, causaient de grandes pertes aux Athéniens. Car, outre qu'ils étaient privés de toute la campagne, il déserta plus de vingt mille esclaves, dont la plupart étaient gens de métier; tous les bestiaux périrent, ainsi que les bêtes de somme; les chevaux même, dans les sorties journalières des cavaliers, dans leurs courses vers Décélie, et en gardant la campagne, étaient fourbus par les fatigues continuelles qu'ils éprouvaient sur un terrain rocailleux, ou étaient blessés.

28. De plus l'importation des subsistances venant de l'Eubée, autrefois opérée plus promptement par terre d'Orôpos à travers Décélie, était onéreuse depuis qu'il fallait par mer tourner le Sunion; il en était de même de tous les objets dont avait besoin la ville; au lieu d'une cité, Athènes devint une forteresse. Le jour, les Athéniens gardaient alternativement les remparts; et, la nuit, tous ensemble, hormis les cavaliers, étaient les uns sous les armes, les autres sur les murs, et souffraient été comme hiver. Mais ce qui les accablait surtout, c'était d'avoir à soutenir deux guerres à la fois. Ils en vinrent à un tel point d'animosité, qu'on n'aurait pu croire au récit qu'on en eût fait avant l'événement. Quoique entourés eux-mêmes par les fortifications des Péloponnésiens, loin de se retirer de la Sicile, ils assiégeaient à leur tour de même Syracuse, cette ville non moindre qu'Athènes, et ils étonnaient tellement les Hellènes par leurs forces et leur audace que bien qu'au début de la guerre, les uns eussent cru que les Athéniens ne pourraient tenir qu'un an, les autres deux, d'autres enfin trois au plus, mais personne

οἱ μὲν ἐνιαυτὸν, οἱ δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν, οὐδεὶς πλείω χρόνον ἐνόμιζον περιοίσειν αὐτοὺς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν ἐς τὴν χώραν, ὥστε ἔτει ἑπτακαιδεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν ἦλθον ἐς Σικελίαν, ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι, καὶ πόλεμον οὐδὲν ἐλάσσω προσανείλοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου. Δι' ἃ καὶ τότε ὑπό τε τῆς Δεκελείας πολλὰ βλαπτούσης καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων ἀδύνατοι ἐγένοντο τοῖς χρήμασι. Καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ τοῦ φόρου τοῖς ὑπηκόοις ἐπέθεσαν, πλείω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι. Αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν, ἀλλὰ πολλῷ μείζους καθέστασαν, ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν, αἱ δὲ πρόσοδοι ἀπώλλυντο.

κθ'. Τοὺς οὖν Θρᾷκας, τοὺς τῷ Δημοσθένει ὑστερήσαντας, διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων οὐ βουλόμενοι δαπανᾷν, εὐθὺς ἀπέπεμπον, προστάξαντες κομίσαι αὐτοὺς Διιτρέφει, καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ (ἐπορεύοντο γὰρ δι' Εὐρίπου) καὶ τοὺς πολεμίους, ἤν τι δύνηται, ἀπ' αὐτῶν βλάψαι. Ὁ δὲ ἔς τε τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς, καὶ ἁρπαγήν τινα ἐποιήσατο διὰ τάχους, καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀφ' ἑσπέρας διαπλεύσας τὸν Εὔριπον καὶ ἀποβιβάσας ἐς τὴν Βοιωτίαν ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν. Καὶ τὴν μὲν νύκτα λαθὼν πρὸς τῷ Ἑρμαίῳ ηὐλίσατο (ἀπέχει δὲ

au delà, si les Péloponnésiens envahissaient leur pays : cependant, dix-sept ans après la première invasion, les Athéniens, quoique entièrement épuisés par la guerre, avaient envahi la Sicile, et entrepris une guerre non moins importante que celle qu'ils avaient déjà contre le Péloponnèse. Ce fut ainsi qu'à cette époque, par le dommage que leur causait Décélie, et les autres dépenses qui les accablaient, ils furent épuisés d'argent, et qu'au lieu du tribut ordinaire, ils imposèrent leurs sujets à un vingtième sur tout ce qu'on recevait et exportait par mer, croyant qu'il leur reviendrait bien plus d'argent par ce moyen. Les dépenses n'étaient plus telles qu'autrefois, elles s'accrurent considérablement, et en rapport avec la guerre toujours croissante, tandis que les revenus dépérissaient.

29. Ce fut donc faute d'argent à cette époque que les Athéniens, pour restreindre la dépense, renvoyèrent immédiatement les Thraces venus trop tard pour pouvoir se joindre à Démosthènes; ils chargèrent Diitréphès de les conduire, avec ordre de leur faire commettre sur leur passage par l'Euripe tout le mal possible à l'ennemi. Diitréphès, à Tanagre, fit quelque butin à la hâte, et de Chalcis en Eubée traversa le soir l'Euripe et puis, après avoir débarqué ces Thraces en Bœôtie, il les conduisit contre Mycalessos. La nuit, sans être aperçu, il passa près du temple de Mercure, situé au

τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους), ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο οὔσῃ οὐ μεγάλῃ, καὶ αἱρεῖ, ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις μὴ ἄν ποτέ τινας σφίσιν ἀπὸ θαλάσσης τοσοῦτον ἐπαναβάντας ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ βραχέος ᾠκοδομημένου, καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνεῳγμένων. Ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν, τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον, φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἑξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν· τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὅμοια τοῖς μάλιστα τοῦ βαβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι. Καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες, κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ, οὐδεμιᾶς ἥσσων, μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή.

λ΄. Οἱ δὲ Θηβαῖοι αἰσθόμενοι ἐβοήθουν, καὶ καταλαβόντες προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ, τήν τε λείαν ἀφείλοντο, καὶ αὐτοὺς φοβήσαντες καταδιώκουσιν ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα, ἃ ἤγαγεν, ὥρμει. Καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους νεῖν, τῶν τε ἐν τοῖς πλοίοις, ὡς

plus à seize stades* de Mycalessos, et au point du jour fondit sur cette ville, qui n'est pas considérable; il s'en empara, ayant assailli des hommes qui n'étaient pas sur leurs gardes et qui ne s'attendaient pas qu'on pût jamais s'avancer si loin de la mer pour les attaquer : la muraille était faible, et même écroulée en quelques endroits, à d'autres elle avait peu de hauteur; d'ailleurs, les portes étaient ouvertes, vu la sécurité où l'on était. Les Thraces se jetèrent dans Mycalessos, pillèrent les maisons et les temples, tuèrent les habitants sans épargner ni la vieillesse ni le jeune âge; et massacrèrent indistinctement tout ce qu'ils rencontrèrent, enfants et femmes, les bêtes de somme même et tout ce qu'ils virent d'êtres vivants. Car la race des Thraces, ainsi que les nations les plus barbares, quand il n'y a rien à craindre, est très-sanguinaire. Dans cette circonstance le trouble fut extrême, et le carnage s'offrit sous toutes les formes. Ces barbares se jetèrent dans une école d'enfants; elle était fort grande et les enfants venaient d'y entrer; tous furent taillés en-pièces; ce désastre, que nul autre ne saurait égaler, fondit sur la ville tout entière aussi imprévu qu'épouvantable.

* 2960 kil.

30. A cette nouvelle, les Thébains accoururent; ils rencontrèrent les Thraces encore peu éloignés, leur arrachèrent le butin, et, jetant l'épouvante parmi eux, les poursuivirent jusqu'à l'Euripe au bord de la mer, où étaient les vaisseaux qui les avaient amenés. Ils en tuèrent un grand nombre pendant l'embarquement; car ces barbares ne savaient pas nager. Ceux qui étaient sur les vaisseaux, à la vue de ce qui se passait à terre, mirent

εώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοξεύματος τὰ πλοῖα, ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχωρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων ἱππικὸν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντές τε καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει τὴν φυλακὴν ἐποιοῦντο, καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν. Μέρος δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι' ἁρπαγὴν ἐγκαταληφθὲν ἀπώλετο. Οἱ δὲ ξύμπαντες τῶν Θρᾳκῶν πεντήκοντα καὶ διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον. Διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων, οἳ ξυνεβοήθησαν, ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ, καὶ Θηβαίων τῶν Βοιωταρχῶν Σκιρφώνδαν· τῶν δὲ Μυκαλησσίων μέρος τι ἀπαναλώθη. Τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν, πάθει χρησαμένων οὐδενὸς, ὡς ἐπὶ μεγέθει, τῶν κατὰ τὸν πόλεμον ἧσσον ὀλοφύρασθαι ἀξίῳ, τοιαῦτα ξυνέβη.

λα'. Ὁ δὲ Δημοσθένης τότε ἀποπλέων ἐπὶ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ Ἠλείων εὑρὼν, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει, οἱ δ' ἄνδρες ἀποφυγόντες ὕστερον λαβόντες ἄλλην, ἔπλεον. Καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλληνίαν, ὁπλίτας τε παρέλαβε καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο, καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη, ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, ὃ αὐτοὶ εἶχον. Ὄντι δ' αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ

leurs vaisseaux hors de la portée des flèches. Dans leur retraite, les Thraces se défendirent adroitement contre la cavalerie thébaine. Dès qu'elle les assaillait ils couraient au-devant d'elle, et se groupaient en pelotons suivant l'usage de leur pays, pour s'en préserver; peu d'entre eux périrent dans cette retraite. Mais une partie, qui fut prise dans la ville où elle pillait, y fut tuée. En tout il périt deux cent cinquante Thraces sur treize cents. Parmi les Thébains et autres qui vinrent au secours, il y en eut vingt de tués, tant cavaliers qu'hoplites, ainsi que Skirphôndas, un des bœôtarques thébains; quant aux Mycalessiens, ils furent en partie anéantis. Tel fut le sort de Mycalessos, dont les habitants éprouvèrent un désastre qui, eu égard à la grandeur de la ville, ne le cède à aucun autre de cette guerre et mérite des larmes.

31. Démosthènes, après la construction du fort en Lacônie, rencontra, pendant qu'il voguait vers Corcyre, un bâtiment de charge qui mouillait à Phie en Élide : c'était sur ce bâtiment que devaient passer en Sicile les hoplites de Corinthe; Démosthènes le brisa, mais les hommes se sauvèrent, et plus tard, ayant pris un autre bâtiment, ils mirent en mer. Ensuite Démosthènes vint à Zacynthe et à Céphallénie, prit des hoplites, manda de Naupacte un certain nombre de Messéniens, et passa sur le continent opposé en Acarnanie, à Alyzia et à Anactorion, qu'occupaient les Athéniens. Il se trouvait dans cette contrée lorsqu'il fut rencontré par Eurymédôn qui revenait de Sicile, où il avait été

ἐκ τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ χρήματα ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη, καὶ ἀγγέλλει τά τε ἄλλα καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακουσίων ἑαλωκός. Ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐτοὺς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ σφίσιν ἀνθορμοῦσαι οὔτε καταλύουσι τὸν πόλεμον ναυμαχεῖν τε μέλλουσι· πέμπειν οὖν ἐκέλευεν αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι ναυμαχεῖν. Τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων τὰς ἄριστα σφίσι πλεούσας ἀφ' ὧν αὐτοὶ εἶχον, ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ· αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον ἡτοιμάζοντο, Εὐρυμέδων μὲν ἐς τὴν Κέρκυραν πλεύσας καὶ πεντεκαίδεκά τε ναῦς πληροῦν κελεύσας αὐτοὺς καὶ ὁπλίτας καταλεγόμενος (ξυνῆρχε γὰρ ἤδη Δημοσθένει ἀποτραπόμενος, ὥσπερ καὶ ᾑρέθη), Δημοσθένης δ' ἐκ τῶν περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς ξυναγείρων.

λϐ'. Οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυρίου ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις, ἐπειδὴ ἔπεισάν τε καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατὸν, ὁ Νικίας προπυθόμενος πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας καὶ σφίσι ξυμμάχους, Κεντόριπάς τε καὶ Ἀλικυαίους καὶ ἄλλους, ὅπως μὴ διαφρήσουσι τοὺς πολεμίους,

envoyé pendant l'hiver pour porter de l'argent à l'armée : celui-ci, entre autres nouvelles, lui apprit que, pendant son voyage, il avait su l'occupation de Plemmyrion par les Syracusains. Conôn, qui commandait à Naupacte, vint aussi auprès de ces généraux leur annoncer que les vingt-cinq vaisseaux de Corinthe, qui croisaient contre les Athéniens à Naupacte, loin de cesser les hostilités, allaient livrer un combat naval; il leur demanda donc d'envoyer des vaisseaux, parce que les Athéniens, avec les dix-huit qu'ils avaient, n'étaient pas capables de se mesurer contre les vingt-cinq de l'ennemi. Alors Démosthènes et Eurymédon firent partir avec Conôn dix vaisseaux parmi leurs meilleurs voiliers, pour renforcer la flotte de Naupacte, tandis qu'eux-mêmes s'occupaient à rassembler les troupes destinées pour la Sicile. Eurymédôn fit voile pour Corcyre, ordonna aux habitants d'équiper quinze vaisseaux, et enrôla des hoplites; car il partageait déjà le commandement depuis son retour avec Démosthènes, avec qui il avait été élu. Démosthènes, de son côté, réunit aux environs de l'Acarnanie des frondeurs et des gens de trait.

32. Les députés, partis de Syracuse pour les villes (de la Sicile) aussitôt après la prise de Plemmyrion, se les étaient rendues favorables et allaient amener les troupes qu'ils avaient rassemblées, lorsque Nicias, prévenu à temps, envoya chez les Sicèles, qui tenaient le passage et qui étaient ses alliés, chez les Centoripes, les Alicyæens et d'autres, pour les prier de ne pas permettre que ces ennemis traversassent leur pays, et de

ἀλλὰ ξυστραφέντες κωλύσουσι διελθεῖν· ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν· Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν. Πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν, οἱ Σικελοὶ, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν [τινὰ τριχῇ] ποιησάμενοι, ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι, διέφθειραν ἐς ὀκτακοσίους μάλιστα, καὶ τοὺς πρέσβεις πλὴν ἑνὸς τοῦ Κορινθίου πάντας· οὗτος δὲ τοὺς διαφυγόντας ἐς πεντακοσίους καὶ χιλίους ἐκόμισεν ἐς τὰς Συρακούσας.

λγ'. Καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισταὶ καὶ τοξόται τριακόσιοι. Ἔπεμψαν δὲ καὶ οἱ Γελῷοι ναυτικόν τε ἐς πέντε ναῦς καὶ ἀκοντιστὰς τετρακοσίους καὶ ἱππέας διακοσίους. Σχεδὸν γάρ τι ἤδη πᾶσα ἡ Σικελία πλὴν Ἀκραγαντίνων (οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν), οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους μετὰ τῶν Συρακουσίων οἱ πρότερον περιορώμενοι ξυστάντες ἐβοήθουν. Καὶ οἱ μὲν Συρακούσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος ἐγένετο, ἐπέσχον τὸ εὐθέως τοῖς Ἀθηναίοις ἐπιχειρεῖν·

Ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης ἔκ τε τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ' ἄκραν Ἰαπυγίαν· καὶ ὁρμηθέντες αὐτόθεν, κατίσχουσιν ἐς τὰς Χοιράδας νήσους Ἰαπυγίας, καὶ ἀκοντιστάς τέ τινας τῶν Ἰαπύγων πεντήκοντα καὶ ἑκατὸν τοῦ Μεσσαπίου ἔθνους ἀναβιβάζονται ἐπὶ τὰς

se réunir pour s'y opposer; car ils n'essaieraient pas de passer ailleurs; et en effet les Agrigentins leur avaient refusé passage à travers leur pays. Les Sicéliôtes étaient déjà en route, lorsque les Sicèles, sur la demande des Athéniens, dressèrent des embuscades en trois endroits, assaillirent à l'improviste l'ennemi, qui n'était pas sur ses gardes, et lui tuèrent huit cents hommes ainsi que tous les députés, à l'exception d'un seul, qui était de Corinthe : celui-ci conduisit à Syracuse ceux qui échappèrent, au nombre de quinze cents.

33. Durant ces jours, des Camarinæens qui venaient au secours de Syracuse y parvinrent au nombre de cinq cents hoplites, trois cents hommes armés de javelots, et autant d'archers; ceux de Géla envoyèrent aussi une flottille de cinq vaisseaux, quatre cents hommes armés de javelots et deux cents cavaliers. Déjà dans la Sicile presque tout entière, excepté les Agrigentins qui restèrent neutres, quiconque auparavant temporisait, se réunissait aux Syracusains pour les secourir contre les Athéniens. Toutefois les Syracusains, à cause de l'échec qu'ils avaient éprouvé chez les Sicèles, différèrent d'attaquer les Athéniens.

Cependant Démosthènes et Eurymédôn, dès que les troupes de Corcyre et du continent furent prêtes, se rendirent avec toutes leurs troupes, par la mer Ionique, au cap d'Iapygie; de là ils partirent pour aborder aux Chœrades, îles de l'Iapygie, où ils prirent à bord quelques gens de trait iapygiens de la race messapique, au nombre de cent cinquante. Après avoir renouvelé une ancienne amitié avec Artas, chef en ce pays, qui leur avait offert ces gens de trait, ils arrivèrent à Métaponte en Italie. Ils engagèrent les Métapontiens,

ναῦς, καὶ τῷ Ἄρτᾳ, ὅσπερ καὶ τοὺς ἀκοντιστὰς δυνάστης ὢν παρέσχεν αὐτοῖς, ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν, ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας, καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις δύο, καὶ ἀναλαβόντες ταῦτα, παρέπλευσαν ἐς Θουρίαν. Καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας· καὶ βουλόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες εἴ τις ὑπελέλειπτο ἐξετάσαι, καὶ τοὺς Θουρίους πεῖσαι σφίσι ξυστρατεύειν τε ὡς προθυμότατα, καὶ, ἐπειδή περ ἐν τούτῳ τύχης εἰσὶ, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ καὶ ἔπρασσον ταῦτα.

λδ'. Οἱ δὲ Πελοποννήσιοι περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσὶν, οἵπερ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ καὶ προσπληρώσαντες ἔτι ναῦς, ὥστε ὀλίγῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς Ἀχαΐας ἐν τῇ Ῥυπικῇ. Καὶ αὐτοῖς, τοῦ χωρίου μηνοειδοῦς ὄντος, ἐφ' ᾧ ὥρμουν, ὁ μὲν πεζὸς ἑκατέρωθεν προσβεβοηθηκὼς τῶν τε Κορινθίων καὶ τῶν αὐτόθεν ξυμμάχων ἐπὶ ταῖς προανεχούσαις ἄκραις παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφράξασαι· ἦρχε δὲ τοῦ ναυτικοῦ Πολυάνθης Κορίνθιος. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ τρισὶν (ἦρχε

comme alliés, à leur donner trois cents hommes armés de javelots et deux trirèmes, qu'ils prirent avec eux, et passèrent à Thourie; ils y trouvèrent le parti contraire aux Athéniens exilé récemment à la suite d'une sédition. Comme ils voulaient réunir l'ensemble de leurs troupes en cet endroit, reconnaître ce qui en était resté en arrière, presser les Thouriens de coopérer à cette expédition de tout leur zèle, et les engager à n'avoir, dans l'état actuel du pays, que les mêmes amis et les mêmes ennemis que les Athéniens, ils s'arrêtèrent à s'occuper de ces affaires.

34. Vers le même temps, les Péloponnésiens montés sur les vingt-cinq vaisseaux (de Corinthe) qui croisaient pour contenir la station athénienne à Naupacte, afin que les bâtiments de charge pussent passer en Sicile, se disposèrent à livrer un combat naval. Ils s'étaient adjoint d'autres vaisseaux, en sorte que leur force était peu inférieure à celle d'Athènes; ils jetèrent l'ancre à Érinéos, ville de l'Achaïe, dans le territoire de Rhypèse. Le lieu où ils stationnaient a la forme d'un croissant; l'armée de terre envoyée au secours tant par les Corinthiens que par les autres alliés de ces contrées, se rangea sur les promontoires contigus; les vaisseaux occupaient l'espace du milieu, qu'ils encombrèrent. Le Corinthien Polyanthès commandait la flotte. Contre eux les vaisseaux athéniens sortirent de Naupacte, sur

δὲ αὐτῶν Δίφιλος) ἐπέπλευσαν αὐτοῖς. Καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα, ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπεὶ καιρὸς ἐδόκει εἶναι, ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους καὶ ἐναυμάχουν. Καὶ χρόνον ἀντεῖχον πολὺν ἀλλήλοις. Καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται, τῶν δὲ Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἑπτὰ δέ τινες ἄπλοι ἐγένοντο ἀντίπρῳροι ἐμβαλλόμεναι, καὶ ἀναῤῥαγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν. Ναυμαχήσαντες δὲ ἀντίπαλα μὲν καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν, ὅμως δὲ, τῶν ναυαγίων κρατησάντων τῶν Ἀθηναίων διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι ἐπαναγωγὴν, διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ δίωξις οὐδεμία ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἑάλωσαν· οἱ μὲν γὰρ Κορίνθιοι καὶ Πελοποννήσιοι πρὸς τῇ γῇ ναυμαχοῦντες ῥᾳδίως διεσώζοντο, τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς. Ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον, οἱ Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν, καὶ νομίσαντες δι' αὐτὸ οὐχ ἡσσᾶσθαι, δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν· οἵ τε γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν, εἰ μὴ καὶ πολὺ ἐκρατοῦντο, οἵ τ' Ἀθηναῖοι ἐνόμιζον ἡσσᾶσθαι, ὅτι οὐ πολὺ ἐνίκων. Ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων καὶ τοῦ πεζοῦ διαλυθέντος, οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον καὶ αὐτοὶ ἐν τῇ Ἀχαΐᾳ ὡς

trente-trois vaisseaux commandés par Diphilos. D'abord les Corinthiens restèrent en repos; puis, au signal donné, dès qu'ils crurent le moment favorable, ils fondirent sur les Athéniens, et le combat s'engagea. De part et d'autre on résista longtemps : trois vaisseaux corinthiens furent détruits ; aucun vaisseau athénien ne coula bas précisément, mais sept furent mis hors d'état de tenir la mer; attaqués par la proue, ils eurent l'avant brisé par les vaisseaux corinthiens, munis à cet effet de plus grosses épôtides*. Le combat fut tellement balancé, que des deux côtés on s'attribua la victoire; mais les Athéniens restèrent maîtres des débris que le vent poussa en haute mer; les Corinthiens ne revinrent plus à la charge, et les deux flottes se séparèrent ainsi sans qu'il y eût ni poursuite, ni prisonniers de part ni d'autre; les Corinthiens et les Péloponnésiens, s'étant battus près du rivage, purent aisément se sauver et aucun des vaisseaux d'Athènes ne fut submergé. Au retour des Athéniens à Naupacte, les Corinthiens dressèrent aussitôt un trophée comme victorieux, parce qu'ils avaient mis plusieurs vaisseaux ennemis hors de service, et ne se crurent pas vaincus, par cela même que leurs ennemis ne furent pas vainqueurs : car les Corinthiens pensaient que ne pas être entièrement défaits, c'était vaincre ; les Athéniens, au contraire, que ne pas vaincre complétement, c'était avoir le dessous. Après le départ de la flotte péloponnésienne et la dispersion de l'armée de terre, les Athéniens dressèrent aussi un trophée en Achaïe, comme vainqueurs, à vingt stades environ d'Érinéos, où stationnaient les Corinthiens. Ainsi finit ce combat naval.

* Pièces de bois placées de chaque côté de la proue, pour la préserver du choc des éperons ennemis.

νικήσαντες, ἀπέχον τοῦ Ἐρινεοῦ, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, ὡς εἴκοσι σταδίους. Καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελεύτα.

λε'. Ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν ὁπλίταις, τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευον ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ, τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει ποταμῷ, ἦγον διὰ τῆς Θουριάδος γῆς. Καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Ὑλίᾳ ποταμῷ, καὶ αὐτοῖς οἱ Κροτωνιᾶται προσπέμψαντες εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ Ὑλίου· καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. Τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον, ἴσχοντες πρὸς ταῖς πόλεσι πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.

λϛ'. Οἱ δὲ Συρακούσιοι ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν ἐπίπλουν αὖθις ταῖς ναυσὶν ἀποπειρᾶσαι ἐβούλοντο καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ' αὐτὸ τοῦτο, πρὶν ἐλθεῖν αὐτοὺς, φθάσαι βουλόμενοι, ξυνέλεγον. Παρεσκευάσαντο δὲ τό τε ἄλλο ναυτικὸν ὡς ἐκ τῆς προτέρας ναυμαχίας τι πλέον ἐνεῖδον σχήσοντες, καὶ τὰς πρῴρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρῴραις παχείας, καὶ ἀντήριδας ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε

35. Dès que les Thouriens furent prêts à suivre l'armée athénienne avec sept cents hoplites et trois cents hommes armés de javelots, Démosthènes et Eurymédôn ordonnèrent à la flotte de longer les côtes du pays de Crotône, tandis qu'eux-mêmes, après avoir fait une revue générale de l'armée de terre près du fleuve Sybaris, la conduisirent à travers le pays de Thourie. Lorsqu'ils furent arrivés au fleuve Hylias, les Crotôniates les ayant fait prévenir qu'ils ne voulaient pas que l'armée traversât leur territoire, ils descendirent vers la mer et l'embouchure de l'Hylias, où ils passèrent la nuit; leur flotte vint les rejoindre au même endroit. Le lendemain, s'étant embarqués, ils longèrent les côtes, prenant terre à toutes les villes, excepté celle de Locres, et parvinrent enfin à Pétra, sur le territoire de Rhégion.

36. Cependant les Syracusains, instruits de leur approche, voulurent tenter encore un combat sur leurs vaisseaux et avec toutes les forces de terre qu'ils avaient réunies à cet effet, avant l'arrivée de l'ennemi, afin de le prévenir. Comme ils avaient vu par le précédent combat naval qu'ils pourraient obtenir quelque avantage, ils préparèrent toute leur flotte, raccourcirent les proues, pour les rendre plus solides, et les firent surmonter par de fortes épôtides; à partir de ces épôtides, ils appliquèrent plus bas aux parois des vaisseaux, en les consolidant au dedans et au dehors, des étançons de six coudées, de la même manière que les Corinthiens

καὶ ἔξωθεν, ᾧπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ ναῦς ἐπισκευασάμενοι πρῴραθεν ἐναυμάχουν. Ἐνόμισαν γὰρ οἱ Συρακούσιοι πρὸς τὰς τῶν Ἀθηναίων ναῦς οὐχ ὁμοίως ἀντιναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρῴραθεν ἐχούσας διὰ τὸ μὴ ἀντιπρῴροις μᾶλλον αὐτοὺς ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον σχήσειν, καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν, οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι· ἀντίπρῳροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι ἀναῤῥήξειν τὰ πρῴραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ ἀσθενῆ παίοντες τοῖς ἐμβόλοις. Τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε περίπλουν οὔτε διέκπλουν, ᾧπερ τῆς τέχνης μάλιστα ἐπίστευον· αὐτοὶ γὰρ κατὰ τὸ δυνατὸν τὸ μὲν οὐ δώσειν [διεκπλεῖν], τὸ δὲ τὴν στενοχωρίαν κωλύσειν [ὥστε μὴ περιπλεῖν]. Τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι, τὸ ἀντίπρῳρον ξυγκροῦσαι, μάλιστ' ἂν αὐτοὶ χρήσασθαι· πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν· τὴν γὰρ ἀνάκρουσιν οὐκ ἔσεσθαι τοῖς Ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ ἐς τὴν γῆν, καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον, κατ' αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν. Τοῦ δ' ἄλλου λιμένος αὐτοὶ κρατήσειν, καὶ ξυμφερομένους αὐτούς, ἤν πῃ βιάζωνται, ἐς ὀλίγον τε καὶ πάντας ἐς τὸ αὐτὸ προσπίπτοντας ἀλλήλοις ταράξεσθαι (ὅπερ καὶ ἔβλαπτε μάλιστα τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥσπερ τοῖς Συρα-

avaient disposé leurs vaisseaux lorsqu'ils combattirent des proues contre la flotte à Naupacte. Comme les vaisseaux d'Athènes n'avaient pas la même forme que ceux de Syracuse, que leurs proues étaient plus faibles (car ordinairement les Athéniens dirigeaient leurs attaques moins contre les proues que contre le flanc, en faisant un détour), les Syracusains se crurent assurés du succès, et pensèrent que le combat naval dans le grand port, livré à l'étroit avec une foule de vaisseaux, serait à leur avantage; qu'en attaquant proue contre proue, ils briseraient celles des vaisseaux ennemis, par le heurt de leurs éperons solides et forts contre des parties évidées et faibles; que les Athéniens, dans un espace étroit, ne pourraient ni tourner ni percer la ligne ennemie, manœuvre où reposait toute leur confiance; car eux-mêmes empêcheraient l'un autant que possible, et le peu d'espace s'opposerait à l'autre; en sorte que ce qu'on avait jusqu'alors regardé comme ignorance de pilotes, de heurter proue contre proue, serait une manœuvre toute en leur faveur, et leur assurerait la supériorité; d'autant que les Athéniens, repoussés, ne pourraient reculer ailleurs que vers la terre, vu le faible espace qui les séparait de l'étroit emplacement où ils campaient, et qu'ainsi eux-mêmes deviendraient maîtres de tout le reste du port, pendant que les Athéniens, repoussés quelque part, s'entasseraient à l'étroit, et, tombant tous les uns sur les autres au même lieu, mettraient parmi eux le désordre (c'est là ce qui nuisait le plus aux Athéniens dans tous leurs combats de mer, parce qu'ils ne pouvaient, comme les Syracusains, se retirer sur tous les points du port); qu'enfin, devenus maîtres de cingler au large et de reculer, ils rendraient impos-

κουσίοις)· περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν, σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνάκρουσιν, οὐ δυνήσεσθαι αὐτούς, ἄλλως τε καὶ τοῦ Πλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.

λζ'. Τοιαῦτα οἱ Συρακούσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε καὶ δύναμιν ἐπινοήσαντες, καὶ ἅμα τεθαρσηκότες μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσί. Καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον, τὸν ἐκ τῆς πόλεως, Γύλιππος προεξαγαγὼν προσῆγε τῷ τείχει τῶν Ἀθηναίων, καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα· καὶ οἱ ἀπὸ τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ οἱ ἱππῆς καὶ ἡ γυμνητία τῶν Συρακουσίων ἐκ τοῦ ἐπὶ θάτερα προσῄει τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐπεξέπλεον τῶν Συρακουσίων καὶ ξυμμάχων. Καὶ οἱ Ἀθηναῖοι, τὸ πρῶτον αὐτοὺς οἰόμενοι τῷ πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφερομένας ἄφνω, ἐθορυβοῦντο, καὶ οἱ μὲν ἐπὶ τὰ τείχη καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο, οἱ δὲ πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστὰς ἀντεπεξῄεσαν, ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν καὶ ἅμα ἐπὶ τὸν

sible aux Athéniens de prendre le large pour les tourner, surtout ayant contre eux Plemmyrion et l'étroitesse de l'embouchure du port.

37. Les Syracusains, après avoir conçu ce plan selon leur savoir et leurs moyens d'exécution, ayant en même temps repris courage depuis le succès obtenu au dernier combat naval, attaquèrent à la fois avec l'armée de terre et avec la flotte. Gylippos avait fait auparavant sortir les troupes de terre qui étaient dans la ville; il les conduisit au mur des Athéniens du côté faisant face à la ville, tandis que les troupes syracusaines qui étaient à l'Olympieion, hoplites, cavalerie et gens armés à la légère, s'approchaient du mur de l'autre côté. Aussitôt après, les vaisseaux syracusains et ceux de leurs alliés mirent en mer. Les Athéniens crurent d'abord que l'ennemi attaquerait avec l'infanterie seulement; mais, voyant tout à coup que sa flotte aussi se dirigeait contre eux, ils furent troublés. Les uns se rangeaient sur les murs et en avant des murs pour s'opposer à ceux qui s'approchaient; d'autres allaient au-devant d'une masse de cavaliers et de gens de trait qui s'avançaient rapidement de l'Olympieion et de divers points du dehors; d'autres montaient sur les vaisseaux, d'autres en foule

αἰγιαλὸν παρεβοήθουν, καὶ, ἐπειδὴ πλήρεις ἦσαν, ἀντανῆγον πέντε καὶ ἑβδομήκοντα ναῦς· καὶ τῶν Συρακουσίων ἦσαν ὀγδοήκοντα μάλιστα.

λη΄. Τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέοντες καὶ ἀνακρουόμενοι καὶ πειράσαντες ἀλλήλων, καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν Ἀθηναίων οἱ Συρακούσιοι καταδύσαντες, διεκρίθησαν· καὶ ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθε. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι ἡσύχαζον, οὐδὲν δηλοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ Νικίας, ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα, καὶ ἐλπίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν, τούς τε τριηράρχους ἠνάγκαζεν ἐπισκευάζειν τὰς ναῦς, εἴ τίς τι ἐπεπονήκει, καὶ ὁλκάδας προώρμισε πρὸ τοῦ σφετέρου σταυρώματος, ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ λιμένος κληστοῦ ἐν τῇ θαλάσσῃ ἐπεπήγει. Διαλειπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ' ἀλλήλων κατέστησεν, ὅπως, εἴ τις βιάζοιτο ναῦς, εἴη κατάφευξις ἀσφαλὴς καὶ πάλιν καθ' ἡσυχίαν ἔκπλους. Παρασκευαζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.

λθ΄. Τῇ δ' ὑστεραίᾳ οἱ Συρακούσιοι τῆς μὲν ὥρας πρωίτερον, τῇ δ' ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ τοῦ ναυτικοῦ προσέμισγον τοῖς Ἀθηναίοις, καὶ ἀντικαταστάντες ταῖς ναυσὶ τὸν αὐτὸν τρόπον αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡμέρας πειρώμενοι ἀλλήλων, πρὶν δὴ Ἀρίστων ὁ Πυῤῥίχου Κορίνθιος,

accouraient au rivage. Dès que les vaisseaux furent au complet, ils engagèrent le combat au nombre de soixante-quinze; les Syracusains en avaient quatre-vingts.

38. Une grande partie du jour on s'approcha sur mer, on recula, on se tâta réciproquement; et, comme de part ni d'autre on ne put obtenir un important avantage, si ce n'est que les Syracusains coulèrent bas un ou deux vaisseaux athéniens, on se sépara; et en même temps l'armée de terre s'éloigna des murs. Le lendemain les Syracusains se tinrent tranquilles, sans laisser connaître ce qu'ils allaient faire. Cependant Nicias, ayant vu que le succès du combat naval avait été balancé, s'attendait à une seconde attaque; il força les triérarques de réparer ceux des vaisseaux qui avaient souffert, et fit mouiller des bâtiments de charge en avant des pilotis que les Athéniens avaient plantés en mer devant leur flotte, pour leur servir de port fermé. Il fit ranger les bâtiments de charge qui leur restaient à deux plèthres l'un de l'autre, pour assurer la retraite à tout vaisseau qui serait pressé par l'ennemi et faciliter ensuite sa rentrée en ligne. Les Athéniens, pour exécuter ces travaux, employèrent tout le jour jusqu'à la nuit.

39. Le lendemain, de meilleure heure que la veille, mais d'après le même plan d'attaque, les Syracusains sur mer et sur terre en vinrent aux mains avec les Athéniens; de part et d'autre les flottes se rangèrent en bataille, et, comme la première fois, on passa une

ἄριστος ὢν κυβερνήτης τῶν μετὰ Συρακουσίων, πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας, πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν πωλουμένων μεταστήσαντας ἐπὶ τὴν θάλασσαν κομίσαι, καὶ ὅσα τις ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας ἀναγκάσαι πωλεῖν, ὅπως, αὐτοῦ ἐκβιβάσαντες τοὺς ναύτας, εὐθὺς παρὰ τὰς ναῦς ἀριστοποιήσωνται, καὶ δι' ὀλίγου αὖθις καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσι.

μʹ. Καὶ οἱ μὲν πεισθέντες ἔπεμψαν ἄγγελον, καὶ ἡ ἀγορὰ παρεσκευάσθη, καὶ οἱ Συρακούσιοι, ἐξαίφνης πρύμναν κρουσάμενοι, πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν, καὶ εὐθὺς ἐκβάντες, αὐτοῦ ἄριστον ἐποιοῦντο· οἱ δ' Ἀθηναῖοι, νομίσαντες αὐτοὺς ὡς ἡσσημένους σφῶν πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκβάντες, τά τε ἄλλα διεπράσσοντο καὶ τὰ ἀμφὶ τὸ ἄριστον, ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. Ἐξαίφνης δὲ οἱ Συρακούσιοι, πληρώσαντες τὰς ναῦς, ἐπέπλεον αὖθις· οἱ δὲ διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους, οὐδενὶ κόσμῳ ἐσβάντες, μόλις ποτὲ ἀντανήγοντο. Καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι· ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι, ἀλλ' ἐπιχειρεῖν ὅτι τάχιστα, καὶ ἐπιφερόμενοι ἐκ παρακελεύσεως ἐναυμάχουν. Οἱ δὲ Συρακούσιοι δεξάμενοι καὶ ταῖς ναυσὶν ἀντιπρῴροις χρώμενοι, ὥσπερ διενοήθησαν, τῶν ἐμβόλων τῇ παρασκευῇ ἀνέῤῥηγνυσαν

grande partie du jour à se tâter réciproquement. Enfin Aristôn de Corinthe, fils de Pyrrhichos, le meilleur pilote qui fût parmi les Syracusains, engagea les commandants de la flotte d'envoyer ordre à ceux qui, dans la ville, étaient chargés de la police, de faire transporter le marché des subsistances près de la mer, et de forcer tous ceux qui avaient des comestibles à venir les y mettre en vente; afin qu'en faisant débarquer leurs matelots à cet endroit, ils prissent sans délai un repas près des vaisseaux, et qu'aussitôt, ce jour même, ils attaquassent derechef les Athéniens à l'improviste.

40. Les triérarques, d'après cet avis, envoyèrent dans la ville un émissaire, et le marché fut disposé. Les Syracusains, ramant aussitôt du côté de la poupe, reculèrent vers la ville, sortirent des vaisseaux à la hâte, et prirent leur repas sur le rivage. Les Athéniens, croyant que les ennemis rétrogradaient vers leur ville comme vaincus, sortirent tranquillement des vaisseaux, et, entre autres occupations, se mirent à préparer leur repas, dans l'idée que ce jour-là on n'aurait plus à combattre sur mer. Tout à coup les Syracusains, montés sur leurs vaisseaux, s'avancèrent contre eux derechef; les Athéniens, dans un grand tumulte, et la plupart à jeun, s'embarquèrent en désordre, et ne se mirent en ligne contre eux qu'avec peine. Pendant quelque temps on s'abstint d'attaquer de part et d'autre; on s'observait; enfin les Athéniens, ne jugeant pas devoir rester plus longtemps au même endroit, et se livrer d'eux-mêmes par excès de fatigue, préférèrent combattre sur-le-champ. Le signal donné, ils fondirent sur l'ennemi et engagèrent le combat. Les Syracusains les reçurent et, tournant la proue des vaisseaux contre l'ennemi, d'a-

τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας, καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς ἀκοντίζοντες μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους, πολὺ δ' ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν Συρακουσίων καὶ ἔς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολεμίων νεῶν καὶ ἐς τὰ πλάγια παραπλέοντες καὶ ἐξ αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες.

μα΄. Τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ Συρακούσιοι ἐνίκησαν, καὶ οἱ Ἀθηναῖοι τραπόμενοι διὰ τῶν ὁλκάδων τὴν κατάφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον. Αἱ δὲ τῶν Συρακουσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον· ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον. Δύο δὲ νῆες τῶν Συρακουσίων ἐπαιρόμεναι τῇ νίκῃ προσέμιξαν αὐτῶν ἐγγὺς καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα αὐτοῖς ἀνδράσιν ἑάλω. Καταδύσαντες δ' οἱ Συρακούσιοι τῶν Ἀθηναίων ἑπτὰ ναῦς, καὶ κατατραυματίσαντες πολλὰς, ἄνδρας τε τοὺς μὲν ζωγρήσαντες, τοὺς δὲ ἀποκτείναντες, ἀπεχώρησαν, καὶ τροπαῖά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν, καὶ τὴν ἐλπίδα ἤδη ἐχυρὰν εἶχον ταῖς μὲν ναυσὶ καὶ πολὺ κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι. Καὶ οἱ μὲν ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα παρεσκευάζοντο αὖθις·

μβ΄. Ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα ξὺν ταῖς ξενικαῖς καὶ ὁπλίτας περὶ πεν-

près leur stratagème, à l'aide de leurs éperons ils fracturaient profondément l'avant des vaisseaux ennemis, tandis que les soldats sur les ponts, lançant des javelots, faisaient grand mal aux Athéniens, et plus encore ceux des Syracusains qui sur des barques légères voltigeaient autour d'eux, se glissaient sous la rangée des rames des vaisseaux ennemis, en rasaient les flancs, et de là lançaient des traits contre les matelots.

41. Enfin, par cette manière de combattre, les Syracusains remportèrent une victoire complète, et les Athéniens, en fuite, cherchèrent, à travers leurs bâtiments de charge*, un refuge à leur mouillage. Les vaisseaux syracusains les poursuivirent jusqu'auprès de ces bâtiments; mais là les antennes, qui, de ces bâtiments, s'élevaient sur les entrées intermédiaires, en supportant des dauphins*, les empêchèrent d'avancer. Deux vaisseaux syracusains, enorgueillis par la victoire, s'en approchèrent et furent fracassés; l'un des deux fut même pris avec son équipage. Les Syracusains, après avoir coulé bas sept vaisseaux d'Athènes, endommagé beaucoup d'autres, pris et tué des hommes, se retirèrent et dressèrent des trophées pour les deux victoires. Alors, pleins de confiance dans la grande supériorité de leur marine, ils se figuraient que l'armée de terre aussi tomberait entre leurs mains. Ils se préparèrent donc à attaquer l'ennemi une seconde fois par terre et par mer.

* Voyez plus haut, § 38.

* Ils étaient de plomb, suivant les scoliastes de Thucydides et d'Aristophanes.

42. Sur ces entrefaites arrivèrent Démosthènes et Eurymédon, avec les secours envoyés par les Athéniens : soixante-treize vaisseaux, y compris ceux des

τακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους καὶ σφενδονήτας καὶ τοξότας καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. Καὶ τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. Ὁ δὲ Δημοσθένης, ἰδὼν ὡς εἶχε τὰ πράγματα, καὶ νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν (ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερὸς, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ' ἐν Κατάνῃ διεχείμαζεν, ὑπερώφθη τε καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος, ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακούσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄντες καὶ ἀποτετειχισμένοι ἂν ἦσαν, ὥστε μηδ' εἰ μετέπεμψαν ἔτι ὁμοίως ἂν αὐτοὺς ὠφελεῖν), ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης, καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. Καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακουσίων, ᾧ ἐκώλυσαν

étrangers, environ cinq mille hoplites d'Athènes et des alliés, un grand nombre de Barbares et d'Hellènes armés de javelots, des frondeurs, des archers et des munitions suffisantes. La consternation des Syracusains et de leurs alliés à ce moment fut extrême, comme s'il n'y avait plus pour eux de terme où ils seraient délivrés du péril; voyant que, malgré la fortification de Décélie, il n'en était pas moins arrivé contre eux une armée égale à la première et ne lui cédant en rien; enfin que la puissance athénienne se montrait grande partout. La première armée des Athéniens, après tant de malheurs, reprit quelque courage. Démosthènes, voyant l'état des choses, crut qu'il ne fallait pas perdre de temps, ni tomber dans la même faute que Nicias, qui, d'abord formidable à son arrivée, au lieu de fondre aussitôt sur Syracuse, s'arrêta l'hiver à Catane, et fut méprisé et prévenu par Gylippos, qui vint du Péloponnèse avec une armée que les Syracusains n'auraient pas même appelée, si Nicias se fût aussitôt précipité sur eux; car, malgré leur suffisance, ils auraient en même temps senti leur infériorité, se trouvant investis par une muraille, en sorte que, même eussent-ils appelé alors du secours, il ne leur eût plus été aussi utile. D'après ces considérations, Démosthènes, sachant qu'il n'inspirerait jamais aux ennemis plus de terreur que le premier jour de sa venue, voulut profiter en toute hâte de l'effroi que causait la présence de son armée. Voyant que la partie des fortifications par lesquelles les Syracusains avaient empêché les Athéniens de les investir complétement, était simple, et que, si l'on pouvait s'emparer des hauteurs des Épipolæ, et ensuite du campement des Syracusains, on se rendrait facilement maître de ce

περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν ὄν, καὶ, εἰ ἐπικρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθέν (οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα), ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ, καί οἱ ξυντομωτάτην ἡγεῖτο διαπολέμησιν· ἢ γὰρ κατορθώσας ἕξειν Συρακούσας, ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν. Πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακουσίων ἔτεμον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον, καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ καὶ ταῖς ναυσίν (οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακούσιοι ἀντεπεξῄεσαν ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου)·

μγ΄. Ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. Ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ, καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν, ἀλλὰ, πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. Καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πένθ' ἡμερῶν σιτία, καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε καὶ ὅσα ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν,

mur simple, où personne ne pourrait tenir contre eux, il se hâta de tenter l'entreprise. Il pensait par là abréger de beaucoup la guerre ; puisque, vainqueur, il prendrait Syracuse, ou bien ramènerait l'armée, et ne laisserait pas se consumer inutilement l'armée des Athéniens et la ville d'Athènes tout entière. Ils sortirent donc, dévastèrent d'abord la campagne des Syracusains aux environs de l'Anapos, et, comme la première fois, ils furent encore les maîtres sur mer et sur terre ; car les Syracusains ne vinrent à leur rencontre ni d'un côté ni de l'autre, excepté les cavaliers et les gens de trait de l'Olympieion.

43. Puis Démosthènes résolut de faire premièrement essai des machines de guerre contre la fortification syracusaine. Mais, quand il les en eut approchées, comme elles furent brûlées par les ennemis, qui se défendaient du haut des murs, et que le reste de l'armée, dans une attaque sur plusieurs points, fut repoussée, Démosthènes ne jugea plus à propos de différer ; il engagea donc Nicias et ses autres collègues d'agir d'après son plan, et il s'attaqua aux Épipolæ. Pendant le jour il paraissait impossible d'en approcher et d'y monter sans être aperçu ; il commanda des vivres pour cinq jours, prit tous les maçons et charpentiers ; et, s'étant pourvu de projectiles et de tout le nécessaire si, une fois maître du terrain, il voulait y élever des fortifications, à l'heure du premier sommeil, suivi d'Eurymédon, de Ménandros et de toute l'armée, il s'avança vers les Épipolæ, tandis que Nicias gardait

αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος, ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν, ἐχώρει πρὸς τὰς Ἐπιπολὰς, Νικίας δ' ἐν τοῖς τείχεσιν ὑπελείπετο. Καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, ᾗπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη, λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακουσίων, καὶ προσβάντες, τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακουσίων αἱροῦσι, καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν. Οἱ δὲ πλείους, διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία ἐν προτειχίσμασιν, ἓν μὲν τῶν Συρακουσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον, καὶ τοῖς ἑξακοσίοις τῶν Συρακουσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. Οἱ δ' ἐβοήθουν τ' εὐθὺς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες, ἀμυνομένους προθύμως ἔτρεψαν. Καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ [ἀπὸ τῆς πρώτης] παρατείχισμα τῶν Συρακουσίων, οὐχ ὑπομενόντων τῶν φυλάκων, ᾕρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον.

Οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων, καὶ, ἀδοκήτου τοῦ τολμήματος σφίσιν ἐκ νυκτὶ γενομένου, προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι, καὶ βιασθέντες ὑπ' αὐτῶν, τὸ πρῶτον ὑπεχώρησαν. Προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ

les retranchements. Quand les Athéniens furent arrivés aux Épipolæ vers Euryélos, du côté par où la première armée était antérieurement montée, et que, sans être aperçus de la garde syracusaine, ils eurent atteint la hauteur, ils enlevèrent le fort qu'occupaient les Syracusains en cet endroit, et tuèrent quelques gardes. Le plus grand nombre s'enfuit aussitôt vers les trois camps qui étaient sur les Épipolæ dans des avant-murs, un pour les Syracusains, un pour les autres Siceliôtes, et un pour les alliés : ils y annoncèrent l'attaque de l'ennemi et en informèrent aussi les six cents Syracusains qui, de ce côté des Épipolæ, étaient placés en avant. Ceux-ci accoururent au secours; Démosthènes et les Athéniens les rencontrèrent, les mirent en fuite malgré leur vigoureuse défense, et sans délai marchèrent en avant, de peur de laisser ralentir l'ardeur qu'ils avaient d'atteindre leur but; un autre corps s'emparait du contre-mur des Syracusains que la garnison abandonna, et il en arrachait les créneaux.

Cependant les Syracusains et leurs alliés, Gylippos et ceux qui étaient avec lui, sortirent des avant-murs, et, ne s'attendant pas à ce coup audacieux pendant la nuit, dans leur trouble, ils se portèrent contre les Athéniens, mais, repoussés par eux, d'abord ils cédèrent. Déjà les Athéniens avançaient avec quelque désordre comme sûrs de la victoire, et voulaient traverser au plus vite toute l'armée ennemie qui n'avait pas encore combattu,

μᾶλλον ἤδη ὡς κεκρατηκότων, καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν, ἵνα μὴ, ἀνέντων σφῶν τῆς ἐφόδου, αὖθις ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον, καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.

μδ'. Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ' ἀφ' ἑτέρων ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. Ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μὲν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα πλὴν τὸ καθ' ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ, ἣ μόνη δὴ στρατοπέδων μεγάλων ἔν γε τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις σαφῶς τι ᾔδει; ἦν μὲν γὰρ σελήνη λαμπρὰ, ἑώρων δὲ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾷν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. Ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. Καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. Πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀνεβεβήκει, τὸ δ' ἔτι προσανῄει, ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ τι χρὴ χωρῆσαι. Ἤδη γὰρ τὰ πρόσθεν, τῆς τροπῆς γεγενημένης, ἐτετάρακτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. Οἵ τε γὰρ Συρακούσιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες παρεκελεύοντό τε κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζή-

de peur que, s'ils ralentissaient leur marche, elle ne se ralliât, lorsque les Bœòtiens les premiers leur résistèrent, les chargèrent, les firent plier et les mirent en fuite.

44. De ce moment les Athéniens se trouvèrent dans un grand embarras et une telle perplexité, qu'il ne fut pas possible d'apprendre d'aucun côté comment chaque chose se passa; car, bien que dans le jour on voie mieux, cependant ceux qui assistent à une bataille n'en connaissent pas tous les détails; à peine chacun sait-il ce qui le concerne : mais, dans un combat nocturne, le seul qui pendant cette guerre ait eu lieu entre deux armées considérables, comment aurait-on pu savoir quelque chose avec certitude? La lune était brillante, mais on ne se voyait de part et d'autre que comme on peut le faire au clair de lune, et on était incertain si le corps dont on apercevait la forme était celui d'un ami. Une foule d'hoplites des deux partis tournoyaient dans un espace étroit; du côté des Athéniens les uns étaient déjà vaincus, tandis que d'autres, encore dans la première impétuosité, s'avançaient intacts. Une grande partie du reste de l'armée était montée, une autre montait encore, et l'on ne savait de quel côté se diriger; car toutes les troupes avancées se trouvaient, par suite de la déroute, dans une grande confusion, et les clameurs empêchaient de se reconnaître. D'un côté, les Syracusains et leurs alliés, victorieux, s'animaient à grands cris, seul signal qu'ils pouvaient se donner dans la nuit, et en même temps recevaient de pied ferme les assaillants : de leur côté, les Athéniens se cherchaient entre eux; et quiconque s'avançait à leur rencontre, même de leurs amis qui s'en retournaient,

τουν τε σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐξ ἐναντίας, καὶ εἰ φίλιον εἴη τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον, καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι, ὥστ', εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολεμίων, διέφευγον αὐτοὺς ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα, εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθείροντο. Μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψεν ὁ παιανισμός· ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. Οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν, ὁπότε παιανίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως. Ὥστε τέλος, ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες, μόλις ἀπελύοντο. Καὶ διωκόμενοι κατά τε τῶν κρημνῶν οἱ πολλοὶ ῥίπτοντες ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν καταβαῖεν, οἱ μὲν πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον διεφύγγανον, οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἳ, διαμαρτόντες τῶν

déjà mis en fuite, ils le prenaient pour un ennemi. Par les fréquentes demandes qu'ils faisaient du mot d'ordre, dans l'impossibilité de se reconnaître autrement, ils accrurent encore le tumulte parmi eux, et tous à la fois demandant ce mot, en donnèrent connaissance aux ennemis : mais ils n'apprenaient pas de même celui des Syracusains, qui, victorieux et non dispersés, se reconnaissaient mieux; de sorte que, si les Athéniens, supérieurs en nombre, rencontraient quelques ennemis, ceux-ci leur échappaient, parce qu'ils savaient leur mot d'ordre, tandis que si les Athéniens ne répondaient pas, on les égorgeait. Mais rien ne leur fut plus nuisible que le chant du pæan : semblable des deux côtés, il jetait les Athéniens dans l'incertitude; car les Argéens, les Corcyræens et tout ce qui était de race dôrique dans l'armée athénienne, chaque fois qu'ils chantaient le pæan, épouvantaient les Athéniens que les ennemis effrayaient aussi du même chant. Enfin, se jetant les uns sur les autres, en plusieurs endroits de l'armée, dès qu'une fois le désordre s'y fut mis, amis sur amis, citoyens sur citoyens, non-seulement ils s'épouvantèrent, mais ils en vinrent même aux mains entre eux, et ils ne se séparaient que difficilement. A leur retour, poursuivis par l'ennemi, dans l'étroite descente des Épipolæ, la plupart se jetaient dans les précipices et périssaient. Parmi ceux qui, des hauteurs, descendirent dans la plaine, la plupart et principalement les soldats de la première armée, qui connaissaient mieux le pays, se réfugièrent au camp; mais quelques-uns des derniers arrivés, s'étant trompés de chemin, s'égarèrent dans la campagne, et, quand vint le jour, enveloppés par les cavaliers de Syracuse, ils furent massacrés.

ὁδῶν, κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππῆς τῶν Συρακουσίων περιελάσαντες διέφθειραν.

με'. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι δύο τροπαῖα ἔστησαν, ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ τὸ χωρίον ᾗ οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν, οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο. Ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων, ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήφθη· οἱ γὰρ κατὰ τῶν κρημνῶν βιασθέντες ἅλλεσθαι ψιλοὶ [ἄνευ τῶν ἀσπίδων] οἱ μὲν ἀπώλοντο οἱ δ' ἐσώθησαν.

μϛ'. Μετὰ δὲ τοῦτο οἱ μὲν Συρακούσιοι, ὡς ἐπὶ ἀπροσδοκήτῳ εὐπραγίᾳ πάλιν αὖ ἀναῤῥωσθέντες, ὥσπερ καὶ πρότερον, ἐς μὲν Ἀκράγαντα στασιάζοντα πεντεκαίδεκα ναυσὶ Σικανὸν ἀπέστειλαν, ὅπως ἐπαγάγοιτο τὴν πόλιν, εἰ δύναιτο· Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν ἄλλην Σικελίαν ᾤχετο αὖθις, ἄξων στρατιὰν ἔτι, ὡς ἐν ἐλπίδι ὢν καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη.

μζ'. Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο πρός τε τὴν γεγενημένην ξυμφορὰν καὶ πρὸς τὴν παροῦσαν ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀῤῥωστίαν. Τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες, καὶ τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ· νόσῳ τε γὰρ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης, ἐν ᾗ ἀσθε-

45. Le lendemain les Syracusains élevèrent deux trophées, l'un aux Épipolæ, vers la montée, et l'autre à l'endroit où les Bœôtiens résistèrent les premiers. Par un accord, les Athéniens enlevèrent leurs morts : le nombre en fut considérable chez eux et chez leurs alliés, mais moindre proportionnellement à celui des armes abandonnées ; car parmi les Athéniens, contraints de se lancer dans des précipices, en se débarrassant de leurs boucliers, les uns s'étaient tués, et les autres sauvés.

46. Après ce succès inespéré les Syracusains, ayant de nouveau repris courage, comme précédemment, envoyèrent quinze vaisseaux avec Sicanos à Agrigente, que des factions divisaient, pour soumettre cette ville, s'il était possible; et derechef Gylippos parcourut le reste de la Sicile par terre, pour en amener encore des troupes. D'après le succès obtenu aux Épipolæ, il concevait l'espoir d'enlever de vive force les murailles mêmes des Athéniens.

47. Cependant les généraux d'Athènes délibérèrent sur le malheur qui venait d'arriver et sur l'épuisement total où se trouvait alors l'armée. Ils voyaient que toutes leurs entreprises échouaient, et que les soldats étaient fatigués de leur séjour. L'armée souffrait doublement par les maladies; car on était dans la saison de l'année où les hommes sont le plus sujets aux maladies, et en même temps l'endroit où l'on campait était marécageux et malsain; tout d'ailleurs leur paraissait désespéré. Aussi Démosthènes crut-il ne plus devoir séjour-

νοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα, ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες καὶ χαλεπὸν ἦν, τά τε ἄλλα ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. Τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν· ἀλλ', ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διεκινδύνευσεν, ἐπειδὴ ἔσφαλτο, ἀπιέναι ἐψηφίζετο καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν. Καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι ἢ Συρακουσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προσκαθῆσθαι. Καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν·

μη΄. Ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρὰ σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἄν, ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. Τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ' ὧν ἐπὶ πλέον ἢ οἱ ἄλλοι ᾐσθάνετο αὐτῶν, ἐλπίδος τι ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. Καὶ ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτὸν καὶ

ner davantage; mais conformément à son opinion qu'il avait émise alors qu'il risqua l'attaque des Epipolæ, puisqu'elle avait échoué, il fut d'avis que, sans plus différer, on quittât la Sicile alors qu'on pouvait encore traverser la mer, et maîtriser les forces ennemies avec le nouveau renfort de vaisseaux récemment arrivés. Il valait mieux, dit-il, pour Athènes faire la guerre contre ceux qui élevaient des forts sur son territoire que contre les Syracusains, devenus désormais difficiles à soumettre, et il ne convenait pas de dépenser en vain tant d'argent pour continuer le siége. Voilà ce que pensait Démosthènes.

48. De son côté, Nicias voyait le fâcheux état des affaires, mais il ne voulait pas en divulguer la faiblesse, ni qu'on se dénonçât soi-même aux ennemis, en décrétant ouvertement dans un conseil nombreux le départ de l'armée; car, en agissant ainsi, il serait bien difficile d'en dérober la connaissance, si on voulait l'effectuer. D'ailleurs les affaires des ennemis, dont il était mieux instruit que les autres, lui donnaient encore quelque espoir qu'elles empireraient plus que celles des Athéniens, si on persistait dans le siége; car on épuiserait l'ennemi par le manque d'argent, à présent surtout qu'avec la flotte actuelle on était maître de la mer. Il y avait d'ailleurs un parti même à Syracuse qui, voulant livrer le pouvoir aux Athéniens, envoyait des émissaires à Nicias et s'opposait à ce qu'il levât le siége. Instruit de cet état des choses, et perplexe entre les deux partis à prendre, il observait et restait en suspens; mais, dans le discours qu'il tint alors ouvertement, il déclara qu'il

οὐκ εἴα ἀπανίστασθαι. Ἃ ἐπιστάμενος τῷ μὲν ἔργῳ ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχε, τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη ἀπάξειν τὴν στρατιάν. Εὖ γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν ταῦτα οὐκ ἀποδέξονται, ὥστε, μὴ αὐτῶν ψηφισαμένων, ἀπελθεῖν. Καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν αὐτῶν καὶ τὰ πράγματα, ὥσπερ καὶ αὐτοὶ, ὁρῶντας καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούοντας γνώσεσθαι, ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. Τῶν τε παρόντων στρατιωτῶν πολλοὺς καὶ τοὺς πλείους ἔφη, οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους τἀναντία βοήσεσθαι ὡς ὑπὸ χρημάτων καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον. Οὔκουν βούλεσθαι αὐτός γε ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπο τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. Τά τε Συρακουσίων ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· χρήμασι γὰρ αὐτοὺς ξενοτροφοῦντας καὶ ἐν περιπολίοις ἅμα ἀναλίσκοντας, καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας, τὰ μὲν ἀπορεῖν τὰ δ' ἔτι ἀμηχανήσειν· δισχίλιά τε γὰρ τάλαντα ἤδη ἀνηλωκέναι καὶ ἔτι πολλὰ προσοφείλειν, ἥν τε καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς τῷ μὴ διδόναι τροφὴν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπικουρικὰ μᾶλλον ἢ δι' ἀνάγκης, ὥσπερ τὰ σφέτερα, ὄντα. Τρίβειν οὖν ἔφη χρῆναι προσκαθημένους, καὶ μὴ, χρήμασιν ἕως πολὺ κρείσσους εἰσὶ, νικηθέντας ἀπιέναι.

n'emmènerait pas l'armée, parce qu'il savait que les Athéniens n'approuveraient pas qu'ils partissent sans y être autorisés par un décret de leur part ; car dans Athènes ce seront d'autres qu'eux, qui, sans avoir vu comme eux l'état des choses, voteront sur leur sort, et leur opinion sur les affaires résultera, non des critiques qu'on pourrait faire, mais des calomnies d'un beau parleur. Même parmi les soldats ici présents, disait-il, il en est beaucoup, et même le plus grand nombre de ceux qui crient le plus aujourd'hui des maux qu'ils souffrent, qui, dès qu'ils seront à Athènes, crieront alors en sens contraire, et diront que pour de l'argent, trahissant l'armée, leurs généraux ont quitté la Sicile; qu'enfin, pour sa part, connaissant le caractère des Athéniens, il ne voulait pas, sur une accusation infamante, être mis à mort injustement par eux, et, s'il fallait mourir, il préférait périr de son plein gré par la main des ennemis. Il ajouta que les affaires des Syracusains étaient encore pires que les leurs; que, par la solde des troupes étrangères, les autres dépenses pour les garnisons dans le pays, et l'entretien d'une flotte considérable depuis une année, leurs ressources étaient épuisées, et que leurs embarras s'accroîtraient encore; qu'ils avaient déjà dépensé deux mille talents, et en devaient encore beaucoup; que, pour peu qu'ils réduisissent leur état militaire actuel, en cessant de donner des rations, leurs affaires seraient ruinées, attendu que leurs troupes étaient mercenaires plutôt qu'obligées, comme celles des Athéniens; qu'il fallait donc prolonger le siége et ne pas se retirer vaincu tant qu'on était bien plus riche que l'ennemi.

μθ'. Ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν, καὶ ὅτι ἦν αὐτόθι πολὺ τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα καὶ ἐπικηρυκευόμενον πρὸς αὐτὸν ὥστε μὴ ἀπανίστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶ μᾶλλον θαρσῶν ἢ πρότερον [ἐθάρσησε κρατηθείς]. Ὁ δὲ Δημοσθένης περὶ μὲν τοῦ προσκαθῆσθαι οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν αὐτοὺς, ἔφη χρῆναι ἢ ἐς τὴν Θάψον ἀναστάντας τοῦτο ποιεῖν ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες θρέψονται πορθοῦντες τὰ τῶν πολεμίων καὶ ἐκείνους βλάψουσι, ταῖς τε ναυσὶν ἐν πελάγει καὶ οὐκ ἐν στενοχωρίᾳ, ἢ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι, τοὺς ἀγῶνας ποιήσονται, ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, καὶ ἀναχωρήσεις καὶ ἐπίπλους οὐκ ἐκ βραχέος καὶ περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίροντες ἕξουσι. Τό τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν ἐξανίστασθαι. Καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν. Ἀντιλέγοντος δὲ τοῦ Νικίου, ὄκνος τις καὶ μέλλησις ἐγένετο, καὶ ἅμα ὑπόνοια μή τι καὶ πλέον εἰδὼς ὁ Νικίας ἰσχυρίζηται. Καὶ οἱ μὲν Ἀθηναῖοι τούτῳ τῷ τρόπῳ διεμέλλησάν τε καὶ κατὰ χώραν ἔμενον.

ν'. Ὁ δὲ Γύλιππος καὶ ὁ Σικανὸς ἐν τούτῳ παρῆσαν ἐς

49. Ce qui fortifiait Nicias dans ses assertions, c'est qu'il connaissait exactement l'état intérieur de Syracuse, et le dénûment des finances, et qu'il y avait même un parti nombreux qui, voulant livrer l'autorité aux Athéniens, l'engageait par ses messages à ne pas lever le siége ; d'ailleurs il se confiait du moins plus qu'auparavant dans la flotte. Mais Démosthènes n'admettait nullement l'idée de continuer le siége : si on ne pouvait emmener l'armée sans un décret des Athéniens, disait-il, et si on devait temporiser, il fallait alors lever le camp et se rendre soit à Thapsos, soit à Catane, où on pourrait vivre en parcourant le pays en divers lieux avec les troupes de terre, et nuire à l'ennemi en dévastant ses campagnes ; la flotte alors livrerait des combats, non à l'étroit, ce qui favorisait l'ennemi, mais au large en pleine mer, où la science des Athéniens leur serait profitable et où l'on pourrait se retirer ou bien fondre sur l'ennemi sans être gêné par un espace étroit et circonscrit ; en un mot, il dit qu'il désapprouvait en tout point de s'arrêter plus longtemps au même lieu, et qu'il fallait partir au plus tôt et sans délai. Eurymédon fut du même avis. Mais, comme Nicias s'y opposait, de la lenteur et du retard s'ensuivirent, et on soupçonnait aussi que Nicias, pour persister dans son opinion, en savait un peu plus que les autres. Ce fut ainsi que les Athéniens ajournèrent leur départ et restèrent aux mêmes lieux.

50. Cependant Gylippos et Sicanos arrivèrent à Sy-

τὰς Συρακούσας, ὁ μὲν Σικανὸς ἁμαρτὼν τοῦ Ἀκράγαντος (ἐν Γέλᾳ γὰρ ὄντος αὐτοῦ ἔτι, ἡ τοῖς Συρακουσίοις στάσις φιλία ἐξεπεπτώκει)· ὁ δὲ Γύλιππος ἄλλην τε στρατιὰν πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς Σικελίας καὶ τοὺς ἐκ τῆς Πελοποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας ἀποσταλέντας, ἀφικομένους ἀπὸ τῆς Λιβύης ἐς Σελινοῦντα. Ἀπενεχθέντες γὰρ ἐς Λιβύην, καὶ δόντων Κυρηναίων τριήρεις δύο καὶ τοῦ πλοῦ ἡγεμόνας, καὶ ἐν τῷ παράπλῳ Εὐεσπερίταις πολιορκουμένοις ὑπὸ Λιβύων ξυμμαχήσαντες καὶ νικήσαντες τοὺς Λίβυς, καὶ αὐτόθεν παραπλεύσαντες ἐς Νέαν πόλιν Καρχηδονιακὸν ἐμπόριον, ὅθενπερ Σικελία ἐλάχιστον δύο ἡμερῶν καὶ νυκτὸς πλοῦν ἀπέχει, καὶ ἀπ' αὐτοῦ περαιωθέντες ἀφίκοντο ἐς Σελινοῦντα.

Καὶ οἱ μὲν Συρακούσιοι εὐθὺς αὐτῶν ἐλθόντων παρεσκευάζοντο ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα αὖθις τοῖς Ἀθηναίοις, καὶ ναυσὶ καὶ πεζῷ· οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ὁρῶντες στρατιάν τε ἄλλην προσγεγενημένην αὐτοῖς, καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον χωροῦντα, ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα, μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων πιεζόμενα, μετεμέλοντό τε πρότερον οὐκ ἀναστάντες, καί, ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας ἔτι ὁμοίως ἠναντιοῦτο ἀλλ' ἢ μὴ φανερῶς γε ἀξιῶν ψηφίζεσθαι, προεῖπον ὡς ἐδύναντο ἀδηλότατα ἔκπλουν ἐκ τοῦ στρατοπέδου πᾶσι, καὶ παρασκευάσασθαι, ὅταν τις σημήνῃ. Καὶ μελλόντων αὐτῶν, ἐπειδὴ

racuse. Sicanos avait manqué l'occasion à Agrigente; car il était encore à Géla, quand la faction d'Agrigente, qui s'était déclarée en faveur des Syracusains, fut exilée. Gylippos vint de la Sicile avec une autre armée nombreuse, ainsi qu'avec les hoplites envoyés du Péloponnèse, au printemps, sur des bâtiments de charge, et arrivés de Libye à Sélinonte. Poussés par la tempête en Libye, ces hoplites obtinrent des Cyrénæens deux trirèmes et des guides pour la navigation. En longeant la côte, ils secoururent les Évespérites, assiégés par les Libyens, battirent ces Libyens, et de là suivirent la côte jusqu'à Néapolis, comptoir des Carthaginois, d'où le plus court trajet jusqu'en Sicile est de deux jours et d'une nuit; de Néapolis ils passèrent à Sélinonte.

Dès l'arrivée de ces troupes, les Syracusains se proposèrent d'attaquer de nouveau les Athéniens de deux côtés, avec la flotte et l'armée de terre. Les généraux athéniens, voyant qu'une autre armée était survenue à l'ennemi, et qu'en même temps leurs affaires, loin de s'améliorer, empiraient chaque jour sous tous les rapports, et que surtout la maladie consumait l'armée, se repentaient de n'avoir pas levé le camp auparavant; et, comme Nicias ne persistait plus de même dans son opposition, mais demandait seulement que la délibération ne fût pas ébruitée, ils firent savoir à tous les soldats, le plus secrètement qu'ils purent, d'avoir à quitter le camp pour s'embarquer, et se trouver prêts au moment du signal. Quand tout fut disposé, à l'instant où on allait mettre à la voile, la lune s'éclipsa; elle était alors dans son

ἑτοῖμα ἦν, ἀποπλεῖν, ἡ σελήνη ἐκλείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα. Καὶ οἱ Ἀθηναῖοι οἵ τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγοὺς ἐνθύμιον ποιούμενοι, καὶ ὁ Νικίας (ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος) οὐδ' ἂν διαβουλεύσασθαι ἔτι ἔφη, πρὶν, ὡς οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι, ὅπως ἂν πρότερον κινηθείη. Καὶ τοῖς μὲν Ἀθηναίοις μελλήσασι διὰ τοῦτο ἡ μονὴ ἐγεγένητο·

να'. Οἱ δὲ Συρακούσιοι, καὶ αὐτοὶ τοῦτο πυθόμενοι, πολλῷ μᾶλλον ἐπηρμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν μήτε ταῖς ναυσὶ μήτε τῷ πεζῷ (οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεῦσαι), καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους χαλεπωτέρους εἶναι προσπολεμεῖν, ἀλλ' αὐτοῦ ὡς τάχιστα, καὶ ἐν ᾧ σφίσι ξυμφέρει, ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. Τὰς οὖν ναῦς ἐπλήρουν, καὶ ἀνεπειρῶντο ἡμέρας, ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναὶ εἶναι. Ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν προτεραίᾳ πρὸς τὰ τείχη τῶν Ἀθηναίων προσέβαλλον, καὶ, ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας, ἀπολαμβάνουσί τε τῶν ὁπλιτῶν τινας καὶ τρεψάμενοι καταδιώκουσιν· οὔσης δὲ στενῆς τῆς ἐσόδου, οἱ Ἀθηναῖοι ἵππους τε ἑβδομήκοντα ἀπολλύουσι καὶ τῶν ὁπλιτῶν οὐ πολλούς.

νβ'. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀπεχώρησεν ἡ στρατιὰ

plein. La plupart des Athéniens qui en tirèrent un funeste augure demandèrent aux généraux de différer le départ; Nicias lui-même (qui était très-religieux et adonné à ses pratiques) dit qu'il ne fallait plus délibérer au sujet du départ qu'après s'être arrêté trois fois neuf jours, selon l'indication des devins. Le séjour des Athéniens, retardant leur départ, tint à cette cause.

51. De leur côté les Syracusains, informés eux-mêmes de ce qui se passait, veillèrent bien plus attentivement à ne pas laisser de relâche aux Athéniens, puisque ceux-ci s'étaient jugés eux-mêmes incapables d'avoir désormais la supériorité sur eux, soit sur mer, soit sur terre; leur projet de retraite en était l'aveu; et de plus les Syracusains, pour empêcher l'ennemi de s'établir quelque part ailleurs en Sicile où il serait plus difficile de l'attaquer, voulaient le forcer à un combat naval au plus tôt dans le port même, et dans un endroit tout à leur avantage. Ils équipèrent donc leurs vaisseaux, et s'exercèrent autant de jours qu'ils le crurent nécessaire. Quand il en fut temps, ils attaquèrent, le premier jour, les murs des Athéniens. Un corps peu considérable d'hoplites et de cavaliers sortit par quelques portes contre les Syracusains; mais ceux-ci enveloppèrent une partie des hoplites, et mirent en fuite cette troupe, qu'ils poursuivirent. Le passage étant resserré, les Athéniens perdirent soixante-dix chevaux et quelques hoplites.

52. Ce jour-là l'armée des Syracusains se retira; mais le lendemain ils firent sortir soixante-seize vais-

τῶν Συρακουσίων· τῇ δ' ὑστεραίᾳ ταῖς τε ναυσὶν ἐκπλέουσιν οὔσαις ἓξ καὶ ἑβδομήκοντα καὶ τῷ πεζῷ ἅμα πρὸς τὰ τείχη ἐχώρουν. Οἱ δ' Ἀθηναῖοι ἀντανῆγον ναυσὶν ἓξ καὶ ὀγδοήκοντα, καὶ προσμίξαντες ἐναυμάχουν. Καὶ τὸν Εὐρυμέδοντα ἔχοντα τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων, καὶ βουλόμενον περικλήσασθαι τὰς ναῦς τῶν ἐναντίων, καὶ ἐπεξαγαγόντα τῷ πλῷ πρὸς τὴν γῆν μᾶλλον, νικήσαντες οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι τὸ μέσον πρῶτον τῶν Ἀθηναίων, ἀπολαμβάνουσι κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος, καὶ αὐτόν τε διαφθείρουσι καὶ τὰς μετ' αὐτοῦ ναῦς ἑπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ἤδη ναῦς τῶν Ἀθηναίων κατεδίωκόν τε καὶ ἐξεώθουν ἐς τὴν γῆν.

νγ'. Ὁ δὲ Γύλιππος ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας καὶ ἔξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφερομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας καὶ τὰς ναῦς ῥᾷον τοὺς Συρακουσίους ἀφέλκειν τῆς γῆς φιλίας οὔσης, παρεβοήθει ἐπὶ τὴν χηλὴν μέρος τι ἔχων τῆς στρατιᾶς. Καὶ αὐτοὺς οἱ Τυρσηνοὶ (οὗτοι γὰρ ἐφύλασσον τοῖς Ἀθηναίοις ταύτῃ) ὁρῶντες ἀτάκτως προσφερομένους, ἐπεκβοηθήσαντες καὶ προσπεσόντες τοῖς πρώτοις τρέπουσι καὶ ἐσβάλλουσιν ἐς τὴν λίμνην τὴν Λυσιμέλειαν καλουμένην. Ὕστερον δὲ, πλείονος ἤδη τοῦ στρατεύματος παρόντος τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ οἱ Ἀθηναῖοι ἐπιβοηθήσαντες καὶ δείσαντες περὶ ταῖς ναυσὶν ἐς μάχην τε κατέστησαν

seaux, et en même temps l'armée de terre marchait contre les murs des Athéniens. Ceux-ci s'avancèrent à leur rencontre avec quatre-vingt-six vaisseaux, et engagèrent le combat. Eurymédon, qui commandait l'aile droite des Athéniens, voulait envelopper la flotte ennemie ; mais, dans sa manœuvre, il allongea trop sa ligne vers le rivage. Les Syracusains et leurs alliés, après avoir d'abord vaincu le centre des Athéniens, interceptèrent, dans le fond du port, Eurymédon et le détruisirent ainsi que les vaisseaux qui l'avaient suivi ; ils poursuivirent ensuite toute la flotte athénienne, qu'ils poussèrent au rivage.

53. Gylippos, voyant que les vaisseaux ennemis étaient vaincus et se portaient hors des pilotis et de leur camp, voulant détruire ceux qui débarquaient et pour que les Syracusains pussent tirer plus facilement les vaisseaux athéniens hors de la terre qui leur était amie, vint sur la jetée à leur aide avec une partie de l'armée. Mais les Tyrséniens (c'étaient eux qui y faisaient la garde pour les Athéniens), les voyant s'y porter sans ordre, vinrent en aide et, fondant sur les premiers, les mirent en déroute et les jetèrent dans le marais appelé Lysimélie.

Puis, l'armée des Syracusains et des alliés étant survenue en plus grand nombre, les Athéniens, de leur côté, accoururent au secours, et, craignant pour leurs vaisseaux, engagèrent le combat contre eux et, les ayant vaincus, les poursuivirent, tuèrent quelques hoplites, sauvèrent le plus grand nombre de leurs vaisseaux et les rassemblèrent au camp. Dix-huit cependant furent pris par les Syracusains et leurs alliés, qui en tuè-

πρὸς αὐτοὺς καὶ νικήσαντες ἐπεδίωξαν, καὶ ὁπλίτας τε οὐ πολλοὺς ἀπέκτειναν καὶ τὰς ναῦς τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ξυνήγαγον κατὰ τὸ στρατόπεδον, δυοῖν δὲ δεούσας εἴκοσιν οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν, καὶ τοὺς ἄνδρας πάντας ἀπέκτειναν. Καὶ ἐπὶ τὰς λοιπὰς, ἐμπρῆσαι βουλόμενοι, ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες (ἦν γὰρ ἐπὶ τοὺς Ἀθηναίους ὁ ἄνεμος οὔριος) ἀφεῖσαν τὴν ναῦν πῦρ ἐμβαλόντες. Καὶ οἱ Ἀθηναῖοι, δείσαντες περὶ ταῖς ναυσὶν, ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα, καὶ παύσαντες τήν τε φλόγα καὶ τὸ μὴ προσελθεῖν ἐγγὺς τὴν ὁλκάδα, τοῦ κινδύνου ἀπηλλάγησαν.

νδ'. Μετὰ δὲ τοῦτο Συρακούσιοι μὲν τῆς τε ναυμαχίας τροπαῖον ἔστησαν καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν, ὅθεν καὶ τοὺς ἵππους ἔλαβον, Ἀθηναῖοι δὲ ἧς τε οἱ Τυρσηνοὶ τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην καὶ ἧς αὐτοὶ τῷ ἄλλῳ στρατοπέδῳ.

νε'. Γεγενημένης δὲ τῆς νίκης τοῖς Συρακουσίοις λαμπρᾶς ἤδη καὶ τοῦ ναυτικοῦ (πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας), οἱ μὲν Ἀθηναῖοι ἐν παντὶ ἤδη ἀθυμίας ἦσαν καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν, πολὺ δὲ μείζων ἔτι τῆς στρατείας ὁ μετάμελος. Πόλεσι γὰρ ταύταις μόναις ἤδη ὁμοιοτρόποις ἐπελθόντες, δημοκρατουμέναις τε, ὥσπερ καὶ αὐτοὶ, καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις, οὐ δυνάμενοι ἐπενεγκεῖν οὔτ' ἐκ πολιτείας

rent tous les équipages; quant au reste des autres vaisseaux, voulant les brûler, ils remplirent un vieux navire de charge de sarments et de torches, et, le vent soufflant sur les Athéniens, le lancèrent après y avoir mis le feu. Les Athéniens, craignant pour leurs vaisseaux, imaginèrent plusieurs moyens pour l'éteindre; ils en arrêtèrent la flamme, éloignèrent le navire, et échappèrent au péril.

54. Ensuite les Syracusains dressèrent un trophée pour le combat naval, et pour avoir coupé les hoplites près des retranchements des Athéniens, où ils s'étaient aussi emparés des chevaux; les Athéniens, de leur côté, en dressèrent un, parce que les Tyrséniens avaient repoussé l'infanterie des ennemis vers le marais, et qu'eux-mêmes, avec le reste de l'armée, l'avaient défaite.

55. Par cette victoire maintenant éclatante, que remportèrent sur mer les Syracusains, qui redoutaient auparavant la flotte venue avec Démosthènes, les Athéniens furent entièrement découragés. Leur mécompte fut grand, mais plus grand encore leur repentir de cette expédition. En effet, entre les villes attaquées par eux jusqu'alors, celles de la Sicile étaient les seules de mœurs semblables aux leurs, ayant comme eux-mêmes un gouvernement démocratique, des vaisseaux, de la cavalerie et de la grandeur; les Athéniens, qui ne pouvaient y introduire de dissensions pour les attirer dans leur parti par quelque changement de constitution, les surpassant bien peu en préparatifs de guerre, ayant presque toujours

τι μεταβολῆς, τὸ διάφορον αὐτοῖς ᾧ προσήγοντο ἄν, οὔτ' ἐκ παρασκευῆς πολλῷ κρείσσους ὄντες, σφαλλόμενοι δὲ τὰ πλείω, τά τε πρὸ αὐτῶν ἠπόρουν, καὶ ἐπειδή γε καὶ ταῖς ναυσὶν ἐκρατήθησαν, ὃ οὐκ ἂν ᾤοντο, πολλῷ δὴ μᾶλλον ἔτι.

νς'. Οἱ δὲ Συρακούσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς καὶ τὸ στόμα αὐτοῦ διενοοῦντο κλῄσειν, ὅπως μηκέτι, μηδ' εἰ βούλοιντο, λάθοιεν αὐτοὺς οἱ Ἀθηναῖοι ἐκπλεύσαντες. Οὐ γὰρ περὶ τοῦ αὐτοὶ σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ ὅπως ἐκείνους κωλύσωσι, νομίζοντες, ὅπερ ἦν, ἀπό τε τῶν παρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι, καὶ, εἰ δύναιντο κρατῆσαι Ἀθηναίων τε καὶ τῶν ξυμμάχων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι· τούς τε γὰρ ἄλλους Ἕλληνας εὐθὺς τοὺς μὲν ἐλευθεροῦσθαι, τοὺς δὲ φόβου ἀπολύεσθαι (οὐ γὰρ ἔτι δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν) καὶ αὐτοὶ δόξαντες αὐτῶν αἴτιοι εἶναι ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ ὑπὸ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθαι. Καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν κατά τε ταῦτα καὶ ὅτι οὐχὶ Ἀθηναίων μόνον περιεγίγνοντο, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων, καὶ οὐδ' αὐτοὶ αὖ μόνον ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν, ἡγεμόνες τε γενόμενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων, καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες προκινδυνεῦ-

éprouvé des revers, étaient donc déjà précédemment placés dans une position fâcheuse ; mais, quand ils se virent aussi battus sur mer, ce qu'ils n'auraient pu croire, ils furent encore plus découragés.

56. Aussitôt les Syracusains parcouraient le port sans crainte, et songeaient même à en clore l'entrée, afin que les Athéniens, si même ils le voulaient, ne pussent désormais en sortir à leur insu. Ce n'était plus tant à leur propre salut que veillaient les Syracusains, qu'à empêcher aussi celui de leurs ennemis. Ils croyaient, ce qui était vrai, que, dans l'état présent, ils étaient bien supérieurs aux Athéniens, et que, s'ils parvenaient à les vaincre eux et leurs alliés et sur mer et sur terre, leur lutte paraîtrait belle chez les Hellènes, affranchis dès lors les uns du joug, les autres de la crainte (car ce qui restait de forces aux Athéniens deviendrait insuffisant pour soutenir la guerre qu'on leur ferait par la suite), et eux-mêmes, étant regardés comme les auteurs de ces choses, seraient grandement admirés des hommes du présent et de l'avenir. C'était certes une lutte bien glorieuse sous ce rapport, et parce qu'ils triomphaient non-seulement des Athéniens, mais aussi d'un grand nombre d'alliés d'Athènes ; d'ailleurs, bien que cette victoire leur fût commune avec leurs alliés, ils partageaient maintenant l'empire à l'égal des Corinthiens et des Lacédémoniens ; leur ville s'était exposée la première au péril, et leur marine avait fait de grands progrès. Jamais on ne vit, en effet, un si grand concours de nations vers une seule ville, si l'on ne fait le compte total de celles

σαί τε καὶ τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες. Ἔθνη γὰρ πλεῖστα δὴ ἐπὶ μίαν πόλιν ταύτην ξυνῆλθε, πλήν γε δὴ τοῦ ξύμπαντος λόγου τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀθηναίων τε πόλιν καὶ Λακεδαιμονίων.

νζ'. Τοσοίδε γὰρ ἑκάτεροι ἐπὶ Σικελίαν τε καὶ περὶ Σικελίας, τοῖς μὲν ξυγκτησόμενοι τὴν χώραν ἐλθόντες, τοῖς δὲ ξυνδιασώσοντες, ἐπὶ Συρακούσαις ἐπολέμησαν, οὐ κατὰ δίκην τι μᾶλλον οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες, ἀλλ' ὡς ἕκαστοι τῆς ξυντυχίας ἢ κατὰ τὸ ξυμφέρον ἢ ἀνάγκῃ ἔσχον.

Ἀθηναῖοι μὲν αὐτοὶ Ἴωνες ἐπὶ Δωριέας Συρακουσίους ἑκόντες ἦλθον, καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι Λήμνιοι καὶ Ἴμβριοι καὶ Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον, καὶ ἔτι Ἑστιαιῆς οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες, ξυνεστράτευσαν. Τῶν δὲ ἄλλων οἱ μὲν ὑπήκοοι, οἱ δ' ἀπὸ ξυμμαχίας αὐτόνομοι, εἰσὶ δ' οἳ καὶ μισθοφόροι ξυνεστράτευον. Καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν Ἐρετριῆς καὶ Χαλκιδῆς καὶ Στυρῆς καὶ Καρύστιοι ἀπ' Εὐβοίας ἦσαν, ἀπὸ δὲ νήσων Κεῖοι καὶ Ἄνδριοι καὶ Τήνιοι, ἐκ δ' Ἰωνίας Μιλήσιοι καὶ Σάμιοι καὶ Χῖοι. Τούτων Χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου, ναῦς δὲ παρέχοντες αὐτόνομοι ξυνέσποντο. Καὶ τὸ πλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες καὶ ἀπ' Ἀθηναίων πλὴν Καρυστίων (οὗτοι δ' εἰσὶ Δρύοπες), ὑπήκοοι δ' ὄντες καὶ ἀνάγκῃ ὅμως Ἴωνές γε

qui s'engagèrent dans cette guerre entre la ville d'Athènes et celle de Lacédémone.

57. Voici quel fut le nombre des peuples qui, des deux côtés, combattirent près de Syracuse ou contre ou pour la Sicile, les uns afin d'en partager la conquête, les autres pour coopérer à son salut, et qui s'allièrent moins en raison du droit ou de la parenté que, selon les circonstances, par intérêt ou par nécessité.

Les Athéniens, d'origine iônique, étaient naturellement portés à attaquer les Syracusains, qui étaient Dôriens. Les habitants de Lemnos, d'Imbros, et ceux qui occupaient Ægine à cette époque, unirent leurs armes aux Athéniens, dont ils avaient conservé l'idiome et les usages; avec eux marchaient les Hestiæens, habitant Hestiæe en Eubée, qui était une colonie d'Athènes. Parmi les autres peuples qui participèrent à cette expédition des Athéniens, les uns étaient leurs sujets, d'autres leurs alliés indépendants; il y en avait aussi qui étaient à leur solde. Au nombre des sujets et tributaires d'Athènes on comptait, dans l'île d'Eubée, les Érétriens, les Chalcidéens, les Styréens et les Carystiens; dans les îles, les habitants de Céos, d'Andros et de Ténos; dans l'Iônie, ceux de Milet, de Samos et de Chios. Ces derniers n'étaient pas tributaires, mais fournissaient des vaisseaux, et participaient à cette expédition librement. Tous ceux-ci étaient, pour la plupart, Iôniens, et colons d'Athènes, à l'exception des Carystiens, qui sont des Dryopes. Quoique sujets et obligés de fournir leur contingent, ils suivaient cependant l'expédition comme Iôniens contre des Dôriens. Il y avait en outre des Æoliens,

ἐπὶ Δωριέας ἠκολούθουν. Πρὸς δ' αὐτοῖς Αἰολῆς, Μηθυμναῖοι μὲν ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι, Τενέδιοι δὲ καὶ Αἴνιοι ὑποτελεῖς. Οὗτοι δὲ Αἰολῆς Αἰολεῦσι τοῖς κτίσασι Βοιωτοῖς τοῖς μετὰ Συρακουσίων κατ' ἀνάγκην ἐμάχοντο, Πλαταιῆς δὲ καταντικρὺ Βοιωτοὶ Βοιωτοῖς μόνοι εἰκότως κατὰ τὸ ἔχθος. Ῥόδιοι δὲ καὶ Κυθήριοι, Δωριῆς ἀμφότεροι, οἱ μὲν Λακεδαιμονίων ἄποικοι, Κυθήριοι, ἐπὶ Λακεδαιμονίους τοὺς ἅμα Γυλίππῳ μετ' Ἀθηναίων ὅπλα ἔφερον, Ῥόδιοι δὲ, Ἀργεῖοι γένος, Συρακουσίοις μὲν Δωριεῦσι, Γελῴοις δὲ καὶ ἀποίκοις ἑαυτῶν οὖσι, μετὰ Συρακουσίων στρατευομένοις, ἠναγκάζοντο πολεμεῖν. Τῶν τε περὶ Πελοπόννησον νησιωτῶν Κεφαλλῆνες μὲν καὶ Ζακύνθιοι αὐτόνομοι μὲν, κατὰ δὲ τὸ νησιωτικὸν μᾶλλον κατειργόμενοι, ὅτι θαλάσσης ἐκράτουν οἱ Ἀθηναῖοι, ξυνείποντο· Κερκυραῖοι δὲ, οὐ μόνον Δωριῆς ἀλλὰ καὶ Κορίνθιοι σαφῶς, ἐπὶ Κορινθίους τε καὶ Συρακουσίους, τῶν μὲν ἄποικοι ὄντες, τῶν δὲ ξυγγενεῖς, ἀνάγκῃ μὲν ἐκ τοῦ εὐπρεποῦς, βουλήσει δὲ κατὰ ἔχθος τὸ Κορινθίων οὐχ ἧσσον εἵποντο. Καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐκ Ναυπάκτου καὶ ἐκ Πύλου τότε ὑπ' Ἀθηναίων ἐχομένης ἐς τὸν πόλεμον παρελήφθησαν. Καὶ ἔτι Μεγαρέων φυγάδες οὐ πολλοὶ Μεγαρεῦσι Σελινουντίοις οὖσι κατὰ ξυμφορὰν ἐμάχοντο. Τῶν δὲ ἄλλων ἑκούσιος μᾶλλον ἡ στρατεία ἐγίγνετο ἤδη. Ἀργεῖοι μὲν γὰρ οὐ τῆς ξυμμαχίας ἕνεκα μᾶλλον ἢ τῆς Λακεδαιμονίων τε ἔχθρας καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας ὠφελίας Δωριῆς ἐπὶ Δωριέας μετὰ

parmi lesquels les Méthymnæens étaient assujettis à fournir des vaisseaux, mais sans payer tribut, tandis que ceux de Ténédos et d'Ænos étaient tributaires. Ces peuples æoliques faisaient la guerre forcément contre des Bœôtiens, leurs fondateurs, Æoliens aussi, qui étaient alliés de Syracuse. Ceux de Platæe, véritables Bœôtiens, seuls, par une juste haine, combattaient ouvertement contre les Bœôtiens. Les Rhodiens et les Cythériens sont des Dôriens : ceux de Cythère, colonie de Lacédémone, marchaient avec les Athéniens contre les Lacédémoniens, qui étaient avec Gylippos; tandis que les Rhodiens, originaires d'Argos, étaient contraints de faire la guerre aux Syracusains, d'origine dôrique, et aux habitants de Géla, colonie rhodienne, qui combattaient avec les Syracusains. Parmi les insulaires, autour du Péloponnèse, ceux de Céphallénie et de Zacynthos étaient indépendants ; mais, comme insulaires, ils furent contraints par les Athéniens, maîtres de la mer, à les accompagner. Les Corcyræens, non-seulement Dôriens, mais même véritables Corinthiens, suivirent l'expédition contre les Corinthiens et contre Syracuse, étant colons des uns et parents des autres, en apparence par nécessité, mais non moins de leur plein gré, par haine des Corinthiens. Ceux que l'on appelle aujourd'hui Messéniens tant de Naupacte que de Pylos, occupée alors par les Athéniens, furent enrôlés pour la guerre. Il y eut aussi un petit nombre de Mégaréens exilés qui, vu leur malheur, combattirent contre les Sélinontiens, originaires de Mégara. Quant aux autres peuples, ils firent cette expédition avec une volonté plus libre. Ceux d'Argos, Dôriens, suivirent les Athéniens, d'origine iônique, contre des Dôriens, moins à

Ἀθηναίων Ἰώνων ἠκολούθουν, Μαντινῆς δὲ καὶ ἄλλοι Ἀρκάδων μισθοφόροι, ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους εἰωθότες ἰέναι, καὶ τότε τοὺς μετὰ Κορινθίων ἐλθόντας Ἀρκάδας οὐδὲν ἧσσον διὰ κέρδος ἡγούμενοι πολεμίους, Κρῆτες δὲ καὶ Αἰτωλοὶ μισθῷ καὶ οὗτοι πεισθέντες· ξυνέβη δὲ τοῖς Κρησὶ τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας μὴ ξὺν τοῖς ἀποίκοις, ἀλλ' ἐπὶ τοὺς ἀποίκους ἑκόντας μετὰ μισθοῦ ἐλθεῖν. Καὶ Ἀκαρνάνων τινὲς ἅμα μὲν κέρδει, τὸ δὲ πλέον Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ ξύμμαχοι ὄντες ἐπεκούρησαν. Καὶ οἵδε μὲν τῷ Ἰονίῳ κόλπῳ ὁριζόμενοι· Ἰταλιωτῶν δὲ Θούριοι καὶ Μεταπόντιοι, ἐν τοιαύταις ἀνάγκαις τότε στασιωτικῶν καιρῶν κατειλημμένοι, ξυνεστράτευον, καὶ Σικελιωτῶν Νάξιοι καὶ Καταναῖοι, βαρβάρων δὲ Ἐγεσταῖοι, οἵπερ ἐπηγάγοντο, καὶ Σικελῶν τὸ πλέον, καὶ τῶν ἔξω Σικελίας Τυρσηνῶν τέ τινες κατὰ διαφορὰν Συρακουσίων καὶ Ἰάπυγες μισθοφόροι. Τοσάδε μὲν μετὰ Ἀθηναίων ἔθνη ἐστράτευον.

νη'. Συρακουσίοις δὲ ἀντεβοήθησαν Καμαριναῖοι μὲν ὅμοροι ὄντες καὶ Γελῷοι οἰκοῦντες μετ' αὐτούς, ἔπειτα Ἀκραγαντίνων ἡσυχαζόντων ἐν τῷ ἐπέκεινα ἱδρυμένοι Σελινούντιοι. Καὶ οἵδε μὲν τῆς Σικελίας τὸ πρὸς Λιβύην μέρος τετραμμένον νεμόμενοι, Ἱμεραῖοι δὲ ἀπὸ τοῦ πρὸς τὸν Τυρσηνικὸν πόντον μορίου, ἐν ᾧ καὶ μόνοι Ἕλληνες οἰκοῦσιν· οὗτοι δὲ καὶ ἐξ αὐτοῦ μόνοι ἐβοήθησαν. Καὶ Ἑλληνικὰ μὲν

cause de leur alliance que par haine des Lacédémoniens, et chacun pour son propre intérêt du moment. Les Mantinéens et d'autres Arcades stipendiés, accoutumés à combattre toujours ceux qu'on leur désignait pour ennemis, regardaient alors aussi, par l'appât du gain, comme ennemis les Arcades venus avec les Corinthiens. Les Crétois et les Ætôliens s'étaient aussi mis à la solde d'Athènes ; en sorte que les Crétois qui avaient fondé Géla avec les Rhodiens, s'étant faits mercenaires, marchèrent volontairement, non avec leurs colons, mais contre eux. Quelques Acarnanes s'enrôlèrent aussi, moins pour le gain que par amitié pour Démosthènes, et par bienveillance pour Athènes, dont ils étaient les alliés. Voilà quels furent leurs alliés bornés par le golfe Ionique. Parmi les Italiôtes ce furent les Thouriens et les Métapontiens qui, forcés alors par les discordes civiles, prirent part à l'expédition, ainsi que, parmi les Sicéliôtes, ceux de Naxos et de Catane. Quant aux peuples barbares, ce furent ceux d'Égeste, qui avaient appelé les Athéniens, et la plupart des Sicèles, et parmi les peuples en dehors de la Sicile, quelques Tyrséniens en hostilité avec Syracuse, et des Iapyges mercenaires. Tel fut le nombre des nations qui marchaient avec les Athéniens.

58. De leur côté, les Syracusains furent secourus par les Camarinæens, qui leur sont limitrophes, et par le peuple de Géla, leurs proches voisins ; puis, les Agrigentins restant tranquilles, par les Sélinontiens établis au delà. Voilà quels sont les peuples de la Sicile habitant la partie de l'île tournée vers la Libye, qui les se-

ἔθνη τῶν ἐν Σικελίᾳ τοσάδε, Δωριῆς τε καὶ [οἱ] αὐτόνομοι πάντες, ξυνεμάχουν, βαρβάρων δὲ Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέστασαν πρὸς τοὺς Ἀθηναίους· τῶν δ᾽ ἔξω Σικελίας Ἑλλήνων Λακεδαιμόνιοι μὲν ἡγεμόνα Σπαρτιάτην παρεχόμενοι, νεοδαμώδεις δὲ τοὺς ἄλλους καὶ Εἵλωτας [δύναται δὲ τὸ νεοδαμῶδες ἐλεύθερον ἤδη εἶναι], Κορίνθιοι δὲ καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι καὶ Λευκάδιοι καὶ Ἀμπρακιῶται κατὰ τὸ ξυγγενὲς, ἐκ δὲ Ἀρκαδίας μισθοφόροι ὑπὸ Κορινθίων ἀποσταλέντες, καὶ Σικυώνιοι ἀναγκαστοὶ στρατεύοντες καὶ τῶν ἔξω Πελοποννήσου Βοιωτοί. Πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ Σικελιῶται αὐτοὶ πλῆθος πλέον κατὰ πάντα παρέσχοντο ἅτε μεγάλας πόλεις οἰκοῦντες· καὶ γὰρ ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι καὶ ὁ ἄλλος ὅμιλος ἄφθονος ξυνελέγη. Καὶ πρὸς ἅπαντας αὖθις ὡς εἰπεῖν τοὺς ἄλλους Συρακούσιοι αὐτοὶ πλείω ἐπορίσαντο διὰ μέγεθός τε πόλεως καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν.

νθ΄. Καὶ αἱ μὲν ἑκατέρων ἐπικουρίαι τοσαίδε ξυνελέγησαν, καὶ τότε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν καὶ οὐκέτι οὐδὲν οὐδετέροις ἐπῆλθεν.

Οἵ τε οὖν Συρακούσιοι καὶ οἱ ξύμμαχοι εἰκότως ἐνόμισαν καλὸν ἀγώνισμα σφίσιν εἶναι ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμαχίας ἑλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν Ἀθηναίων τοσοῦτον ὂν, καὶ μηδὲ καθ᾽ ἕτερα αὐτοὺς, μήτε διὰ θαλάσσης μήτε τῷ πεζῷ, διαφυγεῖν. Ἔκλῃον οὖν τόν τε λιμένα εὐθὺς

courureut, ainsi que les Himéræens, qui sont les seuls Hellènes du côté de l'île tourné vers la mer de Tyrsénie, et qui furent aussi les seuls qui de là secoururent Syracuse. Tels sont les peuples helléniques de la Sicile, tous Dôriens et autonomes, qui unirent leurs armes avec Syracuse. Parmi les barbares elle n'eut pour alliés que ceux des Sicèles qui ne se rangèrent pas du côté des Athéniens. Entre les Hellènes hors de la Sicile, les Lacédémoniens fournirent à Syracuse un général spartiate, des néodamôdes et des hilôtes. Les Corinthiens seuls vinrent avec une armée de terre et une flotte; des rapports de parenté avec les Syracusains amenèrent les Leucadiens et les Ambraciôtes. De l'Arcadie, des mercenaires furent envoyés par les Corinthiens, et les Sicyôniens marchèrent de force; enfin, hors du Péloponnèse, il vint des Bœôtiens. Comparativement à toutes ces troupes accourues du dehors, les Sicéliôtes en fournirent eux-mêmes sous tous les rapports un nombre bien supérieur, attendu la grandeur de leurs villes; car ils rassemblèrent beaucoup d'hoplites, de vaisseaux, de chevaux, et une immense multitude. Toutefois, les Syracusains à eux seuls, et comparativement à tous les autres, contribuèrent pour leur part plus que tous les autres Sicéliôtes, en raison de la grandeur de leur ville et parce qu'ils étaient dans un péril extrême.

59. Tel fut le nombre des troupes auxiliaires rassemblées de chaque côté : toutes de part et d'autre se trouvaient alors présentes; aucun secours n'arriva plus par la suite de part et d'autre.

Les Syracusains et leurs alliés pensèrent avec raison que ce serait pour eux un glorieux exploit, après la victoire remportée sur mer, de prendre aussi tout en-

τὸν μέγαν, ἔχοντα τὸ στόμα ὀκτὼ σταδίων μάλιστα, τριήρεσι πλαγίαις καὶ πλοίοις καὶ ἀκάτοις ἐπ' ἀγκυρῶν ὁρμίζοντες, καὶ τἆλλα, ἢν ἔτι ναυμαχεῖν οἱ Ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο, καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.

ξ'. Τοῖς δὲ Ἀθηναίοις τήν τε ἀπόκλησιν ὁρῶσι καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις βουλευτέα ἐδόκει. Καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων καὶ ὅτι τὰ ἐπιτήδεια οὔτε αὐτίκα ἔτι εἶχον (προπέμψαντες γὰρ ἐς Κατάνην ὡς ἐκπλευσόμενοι ἀπεῖπον μὴ ἐπάγειν) οὔτε τὸ λοιπὸν ἔμελλον ἕξειν, εἰ μὴ ναυκρατήσουσιν, ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν, πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν ἀπολαβόντες διατειχίσματι ὅσον οἷόν τε ἐλάχιστον τοῖς τε σκεύεσι καὶ τοῖς ἀσθενοῦσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν, ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς ἁπάσας, ὅσαι ἦσαν καὶ δυναταὶ καὶ ἀπλοώτεραι, πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι, καὶ διαναυμαχήσαντες, ἢν μὲν νικῶσιν, ἐς Κατάνην κομίζεσθαι, ἢν δὲ μὴ, ἐμπρήσαντες τὰς ναῦς πεζῇ ξυνταξάμενοι ἀποχωρεῖν ᾗ ἂν τάχιστα μέλλωσί τινος χωρίου ἢ βαρβαρικοῦ ἢ Ἑλληνικοῦ φιλίου ἀντιλήψεσθαι. Καὶ οἱ μὲν, ὡς ἔδοξεν αὐτοῖς ταῦτα, καὶ ἐποίησαν· ἔκ τε γὰρ τῶν ἄνω τειχῶν ὑποκατέβησαν καὶ τὰς ναῦς ἐπλήρωσαν πάσας, ἀναγκάσαντες ἐσβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐδόκει ἡλικίας μετέχων ἐπιτήδειος εἶναι. Καὶ ξυνεπληρώθησαν νῆες αἱ πᾶσαι δέκα μάλιστα καὶ

tière l'armée si nombreuse des Athéniens, et de ne les laisser s'évader d'aucun côté, ni par mer ni par terre. Ils fermèrent donc aussitôt le grand port, qui avait environ huit stades d'ouverture, avec des trirèmes placées en travers, avec des bâtiments de charge et des barques qu'ils affermissaient sur des ancres, ne négligèrent aucuns préparatifs, au cas où les Athéniens oseraient leur livrer encore un combat naval, et dans leurs grands projets ne voyaient rien en petit.

60. Quant aux Athéniens, s'apercevant qu'on les enfermait, et devinant toute la pensée des Syracusains, ils crurent devoir délibérer. Les généraux et les taxiarques se rassemblèrent pour se consulter sur la détresse qu'ils éprouvaient en tout, et sur les vivres qui leur manquaient actuellement (d'avance ils avaient envoyé à Catane pour en décommander l'envoi, comptant bientôt partir), et qui leur manqueraient dans la suite à moins d'être victorieux sur mer. Ils résolurent donc d'abandonner leurs retranchements supérieurs, d'occuper, près de leurs vaisseaux mêmes, un très-petit espace de terrain qu'on fortifierait et qui pourrait suffire à leurs bagages et à leurs malades, d'y mettre garnison, d'embarquer le reste de l'armée sur les vaisseaux, de les équiper tous, tant ceux en bon état que les moins propres à naviguer, et de livrer un combat naval; vainqueurs, de se rendre à Catane; vaincus, de brûler la flotte, de former leurs rangs et de se mettre en route pour s'emparer au plus vite de quelque place amie, soit barbare, soit hellénique. Dès que ces résolutions furent prises, ils les exécutèrent; ils descendirent des retranchements supérieurs, équipèrent tous les vaisseaux, en forçant à s'embarquer quiconque paraissait encore vigoureux et

ἑκατόν· τοξότας τε ἐπ' αὐτὰς πολλοὺς καὶ ἀκοντιστὰς τῶν τε Ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων ἐσεβίβαζον, καὶ τἄλλα ὡς οἷόν τ' ἦν ἐξ ἀναγκαίου τε καὶ τοιαύτης διανοίας ἐπορίσαντο.

Ὁ δὲ Νικίας, ἐπειδὴ τὰ πολλὰ ἑτοῖμα ἦν, ὁρῶν τοὺς στρατιώτας τῷ τε παρὰ τὸ εἰωθὸς πολὺ ταῖς ναυσὶ κρατηθῆναι ἀθυμοῦντας καὶ διὰ τὴν τῶν ἐπιτηδείων σπάνιν ὡς τάχιστα βουλομένους διακινδυνεύειν, ξυγκαλέσας ἅπαντας παρεκελεύσατό τε πρῶτον καὶ ἔλεξε τοιάδε·

ξα'. « ἌΝΔΡΕΣ στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμμάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται περί τε σωτηρίας καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις· ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσὶν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν. Ἀθυμεῖν δὲ οὐ χρὴ οὐδὲ πάσχειν ὅπερ οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἳ τοῖς πρώτοις ἀγῶσι σφαλέντες ἔπειτα διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν. Ἀλλ' ὅσοι τε Ἀθηναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες, καὶ ὅσοι τῶν ξυμμάχων, ξυστρατευόμενοι ἀεὶ, μνήσθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων, καὶ τὸ τῆς τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι καὶ ὡς ἀναμαχούμενοι ἀξίως τοῦδε τοῦ πλήθους, ὅσον αὐτοὶ ὑμῶν αὐτῶν ἐφορᾶτε, παρασκευάζεσθε.

ξβ'. « Ἃ δὲ ἀρωγὰ ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενό-

bon à quelque emploi. On compléta en tout cent dix vaisseaux bien garnis d'archers et de gens de trait, Acarnanes et autres étrangers, et l'on pourvut à tout le reste, comme on put, dans cette extrémité et avec un tel dessein.

Presque tout était achevé, lorsque Nicias, voyant les soldats découragés pour avoir été tellement maltraités sur mer, contre l'ordinaire, et, pressés par le manque des vivres à courir au-devant des périls, les assembla tous et les encouragea d'abord par un discours, en leur parlant ainsi :

61. « Braves soldats athéniens, et vous autres, alliés! la lutte qui va s'engager sera commune à tous également; il s'agit, pour chacun de nous [aussi bien que pour les ennemis], de notre salut et de la patrie. Si nous sommes vainqueurs aujourd'hui sur mer, il sera possible à chacun de revoir sa propre ville. Il ne faut donc pas se décourager, ni ressentir ce qu'éprouvent les hommes les plus inexpérimentés, à qui un échec dans les premiers combats cause pour toujours des appréhensions égales à leurs malheurs. Mais tous tant que vous êtes ici, Athéniens, qui avez déjà l'expérience de nombreuses guerres, et vous aussi, alliés, qui combattez toujours près de nous, rappelez-vous les mécomptes de la guerre ; espérez que la fortune se mettra aussi de notre côté, et préparez-vous à prendre une revanche digne de cette foule immense qui se déploie à vos regards.

62. « Tout ce que le peu d'étendue du port pouvait

τητι πρὸς τὸν μέλλοντα ὄχλον τῶν νεῶν ἔσεσθαι καὶ πρὸς τὴν ἐκείνων ἐπὶ τῶν καταστρωμάτων παρασκευὴν, οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν ἐκ τῶν παρόντων μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται. Καὶ γὰρ τοξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται καὶ ὄχλος, ᾧ ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει οὐκ ἂν ἐχρώμεθα διὰ τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύτητι τῶν νεῶν, ἐν δὲ τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται. Εὕρηται δ' ἡμῖν ὅσα χρὴ ἀντιναυπηγῆσαι, καὶ πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας, ᾧπερ δὴ μάλιστα ἐβλαπτόμεθα, χειρῶν σιδηρῶν ἐπιβολαὶ, αἳ σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προσπεσούσης νεὼς, ἢν τὰ ἐπὶ τούτοις οἱ ἐπιβάται ὑπουργῶσιν. Ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα ὥστε πεζομαχεῖν ἀπὸ τῶν νεῶν, καὶ τὸ μήτε αὐτοὺς ἀνακρούεσθαι μήτ' ἐκείνους ἐᾷν ὠφέλιμον φαίνεται, ἄλλως τε καὶ τῆς γῆς, πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐπέχῃ, πολεμίας οὔσης.

ξγ'. « Ὧν χρὴ μεμνημένους διαμάχεσθαι, ὅσον ἂν δύνησθε, καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐτὴν, ἀλλὰ, ξυμπεσούσης νηῒ νεὼς, μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι ἢ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώματος ὁπλίτας ἀπαράξητε. Καὶ ταῦτα τοῖς ὁπλίταις οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι, ὅσῳ τῶν ἄνωθεν μᾶλλον τὸ ἔργον τοῦτο· ὑπάρχει δ' ἡμῖν ἔτι νῦν γε τὰ πλείω τῷ πεζῷ ἐπικρατεῖν. Τοῖς δὲ ναύταις

nous offrir de ressources contre la foule des vaisseaux, et contre l'appareil disposé sur les tillacs ennemis, qui nous fut si nuisible jusqu'à présent, a été, dans l'état présent, examiné par nous ainsi que par les pilotes, et disposé à notre avantage. Des archers et des gens de trait monteront en grand nombre sur nos vaisseaux, ainsi qu'une multitude que nous n'aurions pu employer, si le combat naval se fût livré en pleine mer, parce que notre science des manœuvres aurait été entravée par la pesanteur des vaisseaux, tandis que cette disposition nous sera favorable dans ce combat de terre, livré forcément ici sur nos vaisseaux. Nous avons aussi trouvé tout ce qu'il fallait faire pour s'opposer à la force des épôtides de l'ennemi, qui nous causaient tant de mal : des mains de fer, jetées sur le vaisseau qui tomberait sur nous, l'empêcheront de reculer, si nos soldats font leur devoir; car nous en sommes réduits à livrer du haut de nos vaisseaux un combat de terre; notre intérêt évident est de ne plus rétrograder et de ne plus laisser reculer l'ennemi, puisque tout le rivage, excepté l'espace occupé par notre armée de terre, nous est hostile.

63. « Rappelez-vous donc qu'il faut avec toute votre énergie combattre à outrance, sans vous échouer au rivage; et, tombant vaisseau sur vaisseau, ne vous en séparer qu'après avoir exterminé les hoplites sur le tillac ennemi. Ceci s'adresse aux matelots comme aux hoplites, car c'est surtout l'affaire de ceux qui sont sur le pont; encore aujourd'hui vous avez toute chance du succès par notre infanterie. Quant aux matelots, je les exhorte et je les conjure en même temps de ne pas trop s'effrayer de nos malheurs; nos tillacs sont maintenant mieux disposés et nos vaisseaux plus nombreux. Vous

παραινῶ, καὶ ἐν τῷ αὐτῷ τῷδε καὶ δέομαι, μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευὴν ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντας καὶ τὰς ναῦς πλείους, ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι ὡς ἀξία ἐστὶ διασώσασθαι, οἳ τέως Ἀθηναῖοι νομιζόμενοι, καὶ μὴ ὄντες, ἡμῶν τῆς τε φωνῆς τῇ ἐπιστήμῃ καὶ τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ τὸ ὠφελεῖσθαι, ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις καὶ τὸ μὴ ἀδικεῖσθαι πολὺ πλέον μετείχετε. Ὥστε κοινωνοὶ μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες δικαίως [ἂν] αὐτὴν νῦν μὴ καταπροδίδοτε, καταφρονήσαντες δὲ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ' ἀντιστῆναι οὐδεὶς ἕως ἤκμαζε τὸ ναυτικὸν ἡμῖν ἠξίωσεν, ἀμύνασθε αὐτούς, καὶ δείξατε ὅτι καὶ μετὰ ἀσθενείας καὶ ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη κρείσσων ἐστὶν ἑτέρας εὐτυχούσης ῥώμης.

ξδ'. « Τούς τε Ἀθηναίους ὑμῶν πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν τοῖς νεωσοίκοις ἄλλας ὁμοίας ταῖσδε οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε, εἴ τε ξυμβήσεταί τι ἄλλο ἢ τὸ κρατεῖν ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖνα πλευσομένους καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόντας ἀμύνασθαι. Καὶ οἱ μὲν ἂν ὑπὸ Συρακουσίοις εὐθὺς γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε, οἱ δ' ἐκεῖ

(Métœques) rappelez-vous le bonheur dont vous jouissiez, et combien il mérite d'être conservé, vous qui, naguère encore, réputés Athéniens sans l'être, faisiez l'admiration de la Grèce par votre connaissance de notre idiome et l'imitation de nos manières, et qui participiez aux avantages de notre empire plus que nous-mêmes, respectés de nos sujets et mieux que nous à l'abri des injustices. Librement associés, vous seuls, à notre empire, serait-il juste aujourd'hui de le trahir? Pleins de mépris pour les Corinthiens, que vous avez tant de fois vaincus, et pour les Sicéliôtes, dont aucun, tant que florissait notre marine, n'osait nous résister, vengez-vous d'eux, et faites voir que, même dans les désastres et l'affaiblissement, votre science l'emporte sur une force quelconque favorisée du sort.

64. « Athéniens, c'est encore à vous que je rappelle derechef que, dans les arsenaux d'Athènes, vous n'avez laissé ni d'autres vaisseaux tels que ceux-ci, ni d'hoplites dans la force de l'âge; et que, s'il vous arrivait de n'être pas vainqueurs, vos ennemis aussitôt s'embarqueront d'ici pour combattre dans l'Attique, et là, ceux de nos concitoyens que vous y avez laissés ne seront pas capables de repousser et les ennemis qui y sont déjà, et de nouveaux assaillants. Bientôt vous-mêmes seriez assujettis à Syracuse, vous qui savez dans quelle intention vous êtes venus l'attaquer, et vos concitoyens d'Athènes seraient soumis aux Lacédémoniens. Puisque

ὑπὸ Λακεδαιμονίοις. Ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτὲ, καὶ ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι καὶ πεζοὶ τοῖς Ἀθηναίοις εἰσὶ καὶ νῆες καὶ ἡ ὑπόλοιπος πόλις καὶ τὸ μέγα ὄνομα τῶν Ἀθηνῶν, περὶ ὧν, εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδειξάμενος αὐτός τε αὐτῷ ὠφέλιμος γένοιτο καὶ τοῖς ξύμπασι σωτήριος. »

ξε'. Ὁ μὲν Νικίας, τοσαῦτα παρακελευσάμενος, εὐθὺς ἐκέλευε πληροῦν τὰς ναῦς. Τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακουσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν παρασκευὴν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι, προηγγέλθη δὲ αὐτοῖς καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν, καὶ πρός τε τἄλλα ἐξηρτύσαντο ὡς ἕκαστα καὶ πρὸς τοῦτο· τὰς γὰρ πρώρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη. Καὶ ἐπειδὴ ἑτοῖμα πάντα ἦν, παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος καὶ ἔλεξαν τοιάδε·

ξς'. « Ὅτι μὲν καλὰ τὰ προειργασμένα καὶ ὑπὲρ καλῶν τῶν μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακούσιοι καὶ ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι (οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε), καὶ, εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ἤσθηται, σημανοῦμεν. Ἀθηναίους γὰρ, ἐς τὴν χώραν τήνδε

c'est donc à la fois et pour eux et pour vous que vous allez livrer ce combat décisif, redoublez plus que jamais vos efforts, et rappelez-vous, chacun en particulier et tous ensemble, que les guerriers qui vont monter aujourd'hui sur les vaisseaux, sont à la fois et l'armée des Athéniens et leur flotte et leur ville tout entière et le grand nom d'Athènes. Quand il s'agit de tels intérêts, si quelqu'un de vous excelle, soit en science, soit en valeur, jamais meilleure occasion ne s'offrit pour en signaler l'emploi et devenir son propre bienfaiteur et le sauveur de tous. »

65. Nicias, aussitôt après cette exhortation, ordonna de monter à bord. Gylippos et les Syracusains, à la vue de ces dispositions, présumèrent que les Athéniens allaient livrer un combat naval; on les avait même déjà prévenus du projet d'attaque avec des mains de fer; ils y pourvurent comme en toute chose : ils garnirent de peaux dans une grande étendue les proues et la partie supérieure des vaisseaux, afin que la main de fer qu'on y jetterait glissât et n'eût point de prise. Quand tout fut prêt, les généraux syracusains et Gylippos exhortèrent leurs troupes, en leur parlant ainsi :

66. « Syracusains et vous alliés! de grandes choses sont accomplies, et c'est pour de non moins grandes encore que la lutte va s'engager; vous nous en semblez généralement persuadés, à voir le grand zèle que vous témoignez. Mais, si quelqu'un de vous n'en est pas suffisamment convaincu, nous le lui ferons voir. Ces Athéniens, arrivés ici pour subjuguer d'abord la Sicile, puis, en cas de succès, le Péloponnèse et le reste de la Grèce, ce peuple, aujourd'hui le plus puissant de tous les Hellènes des temps passés et présents, c'est

ἐλθόντας, πρῶτον μὲν ἐπὶ τῆς Σικελίας καταδουλώσει, ἔπειτ', εἰ κατορθώσειαν, καὶ τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρχὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν νῦν κεκτημένους, πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυτικῷ, ᾧπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ἤδη ναυμαχίας, τὴν δ' ἐκ τοῦ εἰκότος νῦν νικήσετε. Ἄνδρες γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι προύχειν κολουθῶσι, τό γ' ὑπόλοιπον αὐτῶν τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν ἢ εἰ μηδ' ᾠήθησαν τὸ πρῶτον, καὶ τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν· ὃ νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι.

ξζ'. « Ἡμῶν δὲ τό τε ὑπάρχον πρότερον, ᾧπερ καὶ ἀνεπιστήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν, καὶ, τῆς δοκήσεως προσγεγενημένης αὐτῷ, τὸ κρατίστους εἶναι, εἰ τοὺς κρατίστους ἐνικήσαμεν, διπλασία ἑκάστου ἡ ἐλπίς· τὰ δὲ πολλὰ πρὸς τὰς ἐπιχειρήσεις ἡ μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν προθυμίαν παρέχεται. Τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι καὶ οὐκ ἀνάρμοστοι πρὸς ἕκαστον αὐτῶν ἐσόμεθα· οἱ δ', ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων παρὰ τὸ καθεστηκὸς ὦσι, πολλοὶ δὲ καὶ ἀκοντισταὶ, χερσαῖοι, ὡς εἰπεῖν, Ἀκαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς ἀναβάντες, οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ βέλος ἀφεῖναι εὑρήσουσι, πῶς οὐ σφαλοῦσί τε τὰς

vous qui, les premiers des hommes, leur avez résisté sur l'élément qui les rendit maîtres de tout. Vous avez remporté déjà quelques victoires sur mer, et vous allez sans doute en remporter encore une aujourd'hui. Quand des hommes ont échoué là où ils croyaient exceller, l'opinion qui leur reste alors faiblit plus que s'ils ne l'eussent jamais conçue ; et, contre leur attente, déchus de leur orgueil, ils cèdent au delà même de ce qui leur reste de forces. C'est sous cette impression, n'en doutez pas, qu'ils sont encore.

67. « Pour nous, malgré notre inexpérience, ce courage naturel qui nous fit tout d'abord affronter le péril, maintenant mieux raffermi et même augmenté par la conviction de notre bravoure, puisque nous avons vaincu les plus braves, redouble l'espoir de chacun. Dans les combats, plus l'espoir est grand, plus l'audace s'accroît. Si nos ennemis ont imité nos dispositions, elles ne nous en sont pas moins familières, et contre aucune d'elles nous ne serons au dépourvu. Mais, lorsque, contre l'usage, ils auront sur leurs tillacs une foule d'hoplites et tant de gens de trait, de paysans, pour ainsi dire, Acarnaniens et autres, qui, étant assis, ne sauraient même assurer leurs traits, comment n'embarrasseraient-ils pas les vaisseaux? comment ces hommes, ne pouvant se mouvoir à leur manière et tombant les uns sur les autres, ne causeraient-ils pas tous le désordre? Et que nul de vous ne s'inquiète de combattre contre un nombre inégal de vaisseaux; car, sur des vaisseaux entassés dans un petit espace, ces vaisseaux seront retardés dans les mouvements qu'ils voudraient faire par leur nombre même, et ils seront très-facilement endommagés par nos appareils. Cependant

ναῦς καὶ ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι, ταράξονται; ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ ὠφελήσονται, εἴ τις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις ναυμαχήσει, πεφόβηται· ἐν ὀλίγῳ γὰρ πολλαὶ ἀργότεραι μὲν ἐς τὸ δρᾶν τι ὧν βούλονται ἔσονται, ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. Τὸ δ' ἀληθέστατον γνῶτε, ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πεπύσθαι· ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν καὶ βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας ἐς ἀπόνοιαν καθεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον ἢ τύχης ἀποκινδυνεῦσαι οὕτως ὅπως δύνανται, ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν ἢ κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξαντες χεῖρον.

ξη'. « Πρὸς οὖν ἀταξίαν τε τοιαύτην καὶ τύχην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων ὀργῇ προσμίξωμεν, καὶ νομίσωμεν ἅμα μὲν νομιμώτατον εἶναι πρὸς τοὺς ἐναντίους οἳ ἂν ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος δικαιώσωσιν ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δὲ ἐχθροὺς ἀμύνασθαι ἐκγενησόμενον ἡμῖν, [καὶ] τὸ λεγόμενόν που ἥδιστον εἶναι. Ὡς δὲ ἐχθροὶ καὶ ἔχθιστοι, πάντες ἴστε, οἵ γε ἐπὶ τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι, ἐν ᾧ, εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τἄλγιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν. Ἀνθ' ὧν μὴ μαλακισθῆναί τινα πρέπει,

sachez l'exacte vérité, d'après les avis qui ne nous laissent aucun doute : accablés par l'excès du malheur et contraints par la détresse présente, nos ennemis veulent tenter un coup désespéré, moins confiants en leurs préparatifs que déterminés à tout risquer pour pouvoir gagner le large en forçant le passage, ou, après le combat, effectuer par terre leur retraite, car leur position actuelle ne saurait plus empirer.

68. « C'est au milieu d'un pareil désordre, c'est quand la fortune de ces ennemis acharnés se livre d'elle-même, qu'il faut nous précipiter avec fureur; et, tout à la fois, croyez-le, rien de plus légitime que d'assouvir sa colère contre l'ennemi qui l'a justifiée, en attaquant le premier, et de pouvoir, comme dit le proverbe, en se vengeant, goûter le plus doux des plaisirs. Vous le savez tous, les Athéniens sont nos ennemis, et les pires de tous, eux qui sont venus dans notre pays pour l'asservir. S'ils avaient réussi, ils auraient infligé aux hommes les plus cruels châtiments, aux enfants et aux femmes le plus affreux déshonneur, et à la ville entière le plus honteux de tous les noms. Il ne nous faut donc pas mollir, ni regarder comme un avantage d'avoir obtenu sans péril leur départ, puisque, s'ils sont vainqueurs, c'est là le but de leurs efforts; mais si, comme il est probable, il nous est donné de les châtier et de raffermir la liberté dont la Sicile a joui jusqu'à présent, quel glo-

μηδὲ τὸ ἀκινδύνως ἀπελθεῖν αὐτοὺς κέρδος νομίσαι. Τοῦτο μὲν γὰρ, καὶ ἐὰν κρατήσωσιν, ὁμοίως δράσουσι· τὸ δὲ, πραξάντων ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα, τούσδε τε κολασθῆναι καὶ τῇ πάσῃ Σικελίᾳ καρπουμένῃ καὶ πρὶν ἐλευθερίαν βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. Καὶ κινδύνων οὗτοι σπανιώτατοι οἳ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσι. »

ξθ'. Καὶ οἱ μὲν τῶν Συρακουσίων στρατηγοὶ καὶ Γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσάμενοι, ἀντεπλήρουν τὰς ναῦς εὐθὺς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο. Ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος καὶ ὁρῶν οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη, ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι, καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων, καὶ αὐτοὺς ὀνομαστὶ, καὶ φυλὴν, ἀξιῶν τό τε καθ' ἑαυτὸν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινὰ, καὶ τὰς πατρικὰς ἀρετὰς, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν, πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων, ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἂν, καὶ ὑπὲρ ἁπάν-

rieux exploit! Rien de plus rare dans les combats que ces occasions où, dans la défaite, on perd très-peu, et où, dans la victoire, on a tout à gagner. »

69. Quand les généraux de Syracuse et Gylippos eurent ainsi exhorté leurs soldats, ils les firent monter à bord des vaisseaux dès qu'ils s'aperçurent que les Athéniens en faisaient autant. Nicias, effrayé de l'état des choses, et voyant toute la grandeur du péril et toute son imminence (car on allait lever l'ancre), crut, par un effet naturel dans les crises suprêmes, que, quant aux choses, rien n'était au complet, et qu'en paroles même, il n'en avait pas encore assez dit. S'adressant de nouveau à chacun des triérarques, il les appelait du nom de leur père, de leur nom propre, de celui de leur tribu ; il encourageait ceux qui avaient acquis quelque gloire à ne pas la trahir, et ceux dont les ancêtres s'étaient illustrés à ne pas anéantir les vertus paternelles; il leur rappelait la liberté illimitée de leur patrie, et l'indépendance dont tous y jouissaient dans leur vie privée; recourant dans ses dires aux exhortations qu'en semblables rencontres et sans se soucier de paraître dire des vieilleries, on ne craint pas de débiter sur les femmes, les enfants, les dieux paternels, mais que l'on

των παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται.

Καὶ ὁ μὲν, οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφελία ἐς τὸ θαρσεῖν γίγνοιτο· ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν) ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος καὶ τὸν παραλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.

ο′. Προεξαγαγόμενοι δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν, καὶ πρότερον κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις· καὶ ὁ πεζὸς ἅμα αὐτοῖς παραβοήθει ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν· Ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον·

Ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλήσεις· μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακουσίων καὶ ξυμμάχων ἐπιφερο-

croit utile de proclamerbien haut dans une telle perplexité.

Nicias, après avoir conseillé ce qu'il crut indispensable plutôt que suffisant, s'en revint conduire l'armée de terre près du rivage ; il la rangea en bataille, en lui donnant le plus possible d'étendue, afin que cette vue servît mieux que tout à encourager ceux qui étaient sur les vaisseaux. Démosthènes, Ménandros et Euthydémos, qui commandaient à bord de la flotte athénienne, quittèrent leur station et voguèrent aussitôt vers le barrage du port et le passage qu'on y avait laissé, voulant le forcer pour gagner la pleine mer.

70. Les Syracusains et leurs alliés les devancèrent avec un nombre de vaisseaux presque égal, dont un détachement gardait déjà cette sortie et les alentours du port, pour tomber à la fois de tous côtés sur les Athéniens ; et en même temps l'armée de terre leur vint en aide là où les vaisseaux viendraient à aborder. Sicanos et Agatharchos commandaient la flotte des Syracusains, chacun en tête d'une aile de toute l'escadre ; Pythèn et les Corinthiens étaient au centre.

Quand les Athéniens, de leur côté, se furent avancés près du barrage, du premier choc ils défirent les vaisseaux rangés tout auprès, et tâchèrent de rompre les clôtures ; mais ensuite, les Syracusains et leurs alliés se précipitant sur eux de tous côtés, le combat s'engagea,

μένων, οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων· Πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη, ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους· οἵ τε ἐπιβάται ἐθεράπευον, ὁπότε προσπέσοι ναῦς νηΐ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις ἐν ᾧ προσετέτακτο αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. Ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι), αἱ μὲν ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο, αἱ δὲ προσβολαὶ, ὡς τύχοι ναῦς νηῒ προσπεσοῦσα ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. Καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται ἐς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν· ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν καὶ ἔστιν ἢ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι, καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν, τῶν δ' ἐπιβουλὴν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν νεῶν ξυμπι-

non plus seulement près du barrage, mais aussi dans le port ; il fut opiniâtre, et ne ressembla à aucun des précédents. De part et d'autre chez les matelots même ardeur pour fondre sur l'ennemi au signal donné, même émulation chez les pilotes pour opposer la science à la science. De leur côté les soldats de marine, lorsqu'un vaisseau tombait sur un autre, veillaient à n'omettre aucune de leurs diverses manœuvres sur le tillac ; chacun, à son poste, s'efforçait de paraître le premier. Jamais flotte si nombreuse ne combattit en si petit espace : car toutes deux réunies s'élevaient à près de deux cents navires. Rarement on s'atteignait de l'éperon en prenant de loin son essor, dans l'impossibilité de pouvoir reculer ou prendre son élan ; mais les attaques bord à bord étaient plus fréquentes, lorsqu'un vaisseau venait à tomber sur un autre, soit pour s'évader, soit pour s'ouvrir un passage. Tout le temps que s'avançait un navire, les troupes placées sur les tillacs lançaient sans relâche des javelots, des traits et des pierres ; mais quand les vaisseaux s'étaient joints, les soldats de marine en venaient aux mains, et tâchaient les uns les autres de monter à l'abordage. Il arriva plus d'une fois que, par le peu d'espace, un vaisseau, après en avoir atteint un autre de l'éperon, fut atteint lui-même, de sorte qu'autour d'un navire deux autres et même plus étaient forcément attachés ; les pilotes, soit pour se garder des uns, soit pour surprendre les autres, non sur un point seul, mais sur plusieurs et partout, se tenaient attentifs. Un bruit affreux, s'élevant du grand nombre de vaisseaux qui s'entre-heurtaient, causait l'épouvante en même temps qu'il couvrait la voix des céleustes *, dont les cris et les exhortations redoublaient de part et d'autre, soit pour commander les

* Officiers qui réglaient les mouvements des rameurs.

πτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν. Πολλὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι, τοῖς δὲ Συρακουσίοις καὶ ξυμμάχοις καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι. Καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου πόνου κεκτημένης θαλάσσης ἡγούμενοι ὑποχωροῦσιν, οἱ δὲ Συρακούσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν·

οα'. Ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. Πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικὼς, καὶ διὰ τὸ ἀνώμαλον** καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. Δι' ὀλίγου γὰρ

manœuvres, soit pour ranimer l'ardeur de la lutte. Les Athéniens criaient de forcer le passage, et qu'il fallait en ce jour plus que jamais, pour se sauver et revoir encore sa patrie, affronter tout péril; les Syracusains et leurs alliés, qu'il serait beau d'empêcher l'ennemi de fuir, et, par cette victoire, d'illustrer chacun sa patrie. De part et d'autre les généraux eux-mêmes, s'ils voyaient quelque vaisseau reculer, appelant le triérarque par son nom, lui demandaient, les Athéniens, si, croyant la plus hostile des terres déjà plus amie que la mer acquise par tant de labeurs, il y voulait redescendre; les Syracusains, si, sachant l'empressement des Athéniens de s'enfuir à tout prix, ils allaient fuir eux-mêmes devant des fuyards.

71. La victoire demeurait incertaine, et les deux armées, sur le rivage, étaient dans les transes et dans la perplexité; celle des indigènes ambitionnait un avantage plus décisif, et l'armée des agresseurs craignait d'éprouver encore un plus grand désastre. Comme toute la fortune des Athéniens reposait sur leur flotte, rien n'égalait la crainte qu'ils avaient de l'avenir; et, par l'inégalité du terrain, force était que du rivage leur vue aussi donnât inégalement sur le combat naval. Le lieu de l'action n'étant pas éloigné, tous à la fois ne pouvaient considérer le même point, et ceux qui voyaient quelque part les leurs victorieux reprenaient courage, et, recourant aux Dieux, demandaient, dans leurs invocations, de ne les pas priver de leur salut; d'autres, portant leurs regards où on était vaincu, poussaient des cris et des gémissements, et, à la vue de ce qui se passait, leur courage

οὔσης τῆς θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας ἐτρέποντο· οἱ δ' ἐπὶ τὸ ἡσσώμενον βλέψαντες ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. Ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο.

Ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι, ἄλλα, ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. Τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοή-

était encore plus abattu que celui des combattants; d'autres enfin avaient l'œil fixé sur un point où le combat naval était balancé, et, dans la continuelle indécision de cette lutte, leurs corps mêmes suivaient avec terreur les impressions que leur âme éprouvait. Leur anxiété était affreuse; continuellement on se voyait sur le point d'être sauvé ou perdu.

Dans la même armée des Athéniens, tant que les chances du combat naval furent égales, on pouvait entendre à la fois des gémissements, des cris: Ils sont vainqueurs! ils sont vaincus! et toutes ces exclamations que dans un grand péril une grande armée doit nécessairement faire entendre. Sur les vaisseaux l'anxiété n'était pas moindre, lorsque enfin les Syracusains et leurs alliés, après un combat long et opiniâtre, mirent en fuite les Athéniens, tombèrent sur eux avec impétuosité, et, s'exhortant à grands cris, les poursuivirent au rivage. Ce fut alors que, de l'armée maritime, tout ce qui ne fut pas pris en pleine mer gagna confusément la plage pour se réfugier au camp; et l'armée de terre, cessant d'éprouver des sentiments divers, par une seule impulsion gémissait et se lamentait. Irrités de ce revers, les uns couraient au secours des vaisseaux, les autres vers le reste de la muraille pour la garder; d'autres enfin, et c'était le plus grand nombre, ne songeaient plus qu'à eux-mêmes et aux moyens de se sauver. Jamais il n'y eut pareille consternation: le désastre qu'ils causèrent à Pylos, ils l'éprouvaient à leur tour; car, après la destruction de la

λουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακὴν, ἄλλοι δὲ, καὶ οἱ πλεῖστοι, ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. Ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. Παραπλήσιά τ' ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο αὐτοῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται.

οβ'. Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων, οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστησαν. Οἱ δ' Ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβούλοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα. Καὶ, ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων πληροῦν αὐτῶν, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ κα

flotte lacédémonienne, les hommes qui se trouvaient dans l'île devaient aussi périr, ayant perdu leurs vaisseaux; de même les Athéniens, dans cette circonstance, désespéraient de pouvoir se sauver par terre, à moins de quelque prodige.

72. Après ce terrible combat naval, où il périt de part et d'autre tant d'hommes et de vaisseaux, les Syracusains et leurs alliés, vainqueurs, enlevèrent les débris des navires et leurs morts, retournèrent à Syracuse, et dressèrent un trophée; tandis que les Athéniens, par l'excès des maux qu'ils souffraient, ne songeaient pas même à demander l'enlèvement de leurs morts ou les débris de leurs navires; leur dessein était de partir de nuit sans retard. Démosthènes, s'étant rendu auprès de Nicias, ouvrit l'avis d'équiper de nouveau le reste de la flotte, et de forcer, s'il était possible, la sortie du port au point du jour. Il disait qu'il leur restait encore plus de vaisseaux capables de tenir la mer qu'aux ennemis; en effet, les Athéniens en avaient conservé environ soixante et les ennemis moins de cinquante. Nicias goûta ce conseil; mais, lorsqu'ils voulurent faire monter à bord, les marins, effrayés de leur défaite, et ne se croyant plus en

μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. Καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον·

ογ΄. Ἑρμοκράτης δὲ ὁ Συρακούσιος, ὑπονοήσας αὐτῶν τὴν διάνοιαν, καὶ νομίσας δεινὸν εἶναι εἰ τοσαύτη στρατιὰ, κατὰ γῆν ὑποχωρήσασα καὶ καθεζομένη ποι τῆς Σικελίας, βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιιδεῖν, λέγων ταῦτα καὶ [δι'] ἃ αὐτῷ ἐδόκει, ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακουσίους καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι καὶ τὰ στενόπορα τῶν χωρίων προφθάσαντας φυλάσσειν. Οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι, τοὺς δὲ ἀνθρώπους ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους, καὶ ἅμα ἑορτῆς οὔσης (ἔτυχε γὰρ αὐτοῖς Ἡρακλεῖ ταύτην τὴν ἡμέραν θυσία οὖσα) οὐ δοκεῖν ἂν ῥᾳδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. Ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα καὶ οὐκ ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται, δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων. Πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων

état de vaincre, s'y refusèrent. On fut donc généralement d'avis de se retirer par terre.

73. Cependant Hermocrates de Syracuse, soupçonnant leur dessein, crut qu'il serait dangereux qu'une armée si considérable, se retirant par terre, allât s'établir quelque part en Sicile, et voulût y recommencer la guerre contre Syracuse. Il se rend auprès des autorités, leur montre qu'on ne doit pas laisser les Athéniens partir de nuit (il leur en expose les motifs), et qu'il faut que tous les Syracusains et leurs alliés sortent sans délai pour barricader les chemins, et occuper d'avance les défilés. Les magistrats eux-mêmes n'approuvaient pas moins que lui cette mesure, et crurent devoir l'exécuter; toutefois ils craignaient que les hommes, déjà livrés à la joie et au repos après un grand combat naval, n'obéissent pas facilement, surtout pendant une fête (car ce jour-là on sacrifiait à Hercule) ; ils croyaient que, dans l'enivrement de la victoire, la plupart, s'étant mis à boire pendant la fête, obtempéreraient à tout autre ordre qu'à celui de prendre les armes dans un tel moment et de sortir de la ville. Comme, d'après ces réflexions, cela semblait impossible aux magistrats, et qu'Hermocrates ne pouvait les décider, alors il imagina cette ruse : craignant que, pendant la nuit, les Athéniens ne parvinssent sans obstacle à traverser les endroits les plus difficiles, il envoya à la nuit tombante quelques-uns de ses familiers, avec des cavaliers, vers le camp athénien ; ils s'approchèrent d'un lieu d'où l'on pouvait les entendre; et, comme s'ils eussent été amis des

πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἡνίκα ξυνεσκόταζεν· οἳ προσελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι, καὶ ἀνακαλεσάμενοί τινας ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι (ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν) ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς Συρακουσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ' ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν. Καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον, καὶ οἱ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων·

οδʹ. Οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες οὐκ ἀπάτην εἶναι· Καὶ ἐπειδὴ καὶ ὣς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι, ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα, καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντες δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι. Συρακούσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν, ᾗ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι, ἀπεφράγνυσαν, καὶ τῶν ῥείθρων καὶ ποταμῶν τὰς διαβάσεις ἐφύλασσον, καὶ ἐς ὑποδοχὴν τοῦ στρατεύματος ὡς κωλύσοντες ᾗ ἐδόκει ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον· ἐνέπρησαν δέ τινας ὀλίγας, ὥσπερ διενοήθησαν αὐτοὶ οἱ Ἀθηναῖοι, τὰς δ' ἄλλας καθ'

Athéniens (car il y avait des Syracusains qui informaient Nicias de ce qui se passait dans la ville), ils appelèrent quelques personnes, et les invitèrent à dire à Nicias de ne pas emmener l'armée pendant la nuit, attendu que les Syracusains gardaient les chemins, mais de s'organiser sans trouble pour partir au jour. Ils dirent et s'en allèrent ; ceux qui les avaient entendus en instruisirent les généraux athéniens.

74. Ceux-ci, d'après ce rapport, s'abstinrent de partir la nuit, sans penser que c'était une ruse ; et, comme ils ne s'étaient pas hâtés tout d'abord, ils résolurent d'attendre encore le jour d'après, afin que dans de telles circonstances les soldats s'organisassent pour le mieux ; ils devaient emporter seulement ce qui était indispensable pour vivre, et abandonner au départ tout le reste. Cependant Gylippos et les Syracusains prirent les devants avec l'armée de terre, obstruèrent les chemins dans la campagne partout où les Athéniens devaient passer, gardèrent les gués des ruisseaux et des rivières, et se postèrent où ils le jugèrent convenable pour attendre l'armée ennemie et l'empêcher de passer ; avec la flotte ils s'approchèrent du rivage, d'où ils retirèrent les vaisseaux athéniens : ils en brûlèrent un petit nombre, comme les Athéniens eux-mêmes avaient projeté de le faire ; quant aux autres, partout où ils en trouvèrent

ἡσυχίαν, οὐδενὸς κωλύοντος, ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

οε'. Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. Δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες, ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. Τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο, καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο, εἴ τῳ δὲ προλίποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων* ἐπιθειασμῶν καὶ οἰμωγῆς ὑπολειπόμενοι· ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε καὶ μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ

d'échoués, ils les remorquèrent à loisir, et les conduisirent à Syracuse.

75. Enfin, l'armée partit le surlendemain du combat naval, lorsque Nicias et Démosthènes eurent jugé les apprêts suffisants. Tout était affreux dans la position des Athéniens : ils partaient après avoir perdu tous leurs vaisseaux, et au lieu de grandes espérances il n'y avait plus que péril pour eux et pour Athènes; en outre, au moment même de quitter le camp, les sensations les plus douloureuses attristaient la vue et déchirèrent l'âme de chacun. Les morts restaient privés de sépulture : celui qui voyait un des siens gisant sur la terre, était saisi d'une douleur mêlée de crainte; ceux qu'on délaissait encore en vie, blessés ou malades, étaient pour les vivants un objet d'affliction et plus à plaindre que les morts. Par leurs prières et leurs lamentations, ils mettaient l'armée dans l'embarras, en la suppliant de les emmener, et en appelant à haute voix tous ceux de leurs amis ou de leurs camarades qu'ils apercevaient; ils se suspendaient à leurs compagnons de tente au moment de leur départ, et les suivaient aussi loin qu'ils pouvaient; si le courage ou la force manquait à l'un d'eux, c'était au milieu des imprécations et des gémissements qu'il était abandonné. L'armée entière, toute en larmes et dans une telle perplexité, s'éloignait avec peine, quoique d'une terre ennemie, quoique ayant éprouvé des souffrances plus que déplorables, et qu'on en redoutât d'autres dans l'obscurité de l'avenir. A la honte se mêlaient de nombreux reproches qu'ils s'adressaient entre eux. Il semblait voir une ville prise d'assaut dont la population immense s'enfuyait; car il n'y avait pas moins de quarante mille hommes dans

πάθωσι. Κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. Οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. Καὶ τούτων οἵ τε ἄλλοι ἔφερον πάντες ὅ τι τις ἐδύνατο ἕκαστος χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς, παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ἐπὶ τοῖς ὅπλοις, οἱ μὲν ἀπορίᾳ ἀκολούθων, οἱ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε καὶ οἱ πλεῖστοι παραχρῆμα. Ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ. Καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ' ὣς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. Μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ξυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζούς τε ἀντὶ ναυβατῶν πορευομένους καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ. Ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

ος΄. Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν καὶ ἐν

toute cette foule qui marchait à la fois, et où chacun emportait ce qu'il pouvait pour son utilité. Les hoplites eux-mêmes et les cavaliers portaient, contre l'usage, leurs aliments par-dessus les armes, les uns parce qu'ils n'avaient plus de valets, les autres parce qu'ils s'en défiaient; depuis longtemps les valets désertaient, et la plupart les quittèrent à cet instant; d'ailleurs, la nourriture qu'on emportait n'était pas même suffisante, les vivres manquaient déjà au camp. Quoique dans toute souffrance et dans une communauté d'infortune il y ait un certain soulagement à souffrir plusieurs ensemble, dans cette circonstance le poids en paraissait accablant, surtout lorsque tant de splendeur et tant de gloire au début se terminait à un tel abaissement. Jamais aucune armée des Hellènes n'éprouva un si grand revers; venus pour asservir d'autres peuples, ils partaient tremblant eux-mêmes d'être asservis; au lieu des vœux et des chants guerriers avec lesquels ils quittèrent Athènes, maintenant, par un sort contraire, ils s'éloignaient avec des cris sinistres, à pied et non sur leurs vaisseaux, et se confiant aux hoplites plutôt qu'à leur marine. Cependant, en présence de la grandeur et de l'imminence du danger, tous ces maux leur semblaient supportables.

76. Nicias, voyant l'armée découragée et dans une situation si différente, parcourait ses rangs, l'encourageait autant que le permettaient les circonstances, et la consolait. Animé par son zèle, il parlait avec plus de

μεγάλη μεταβολῇ ὄν, ἐπιπαριὼν ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν.

οζ. « Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν (ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν), μηδὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. Κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων (ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου) οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατά τε τὸν ἴδιον βίον καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιῄτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα. Ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θρασεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσι· τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται, καὶ, εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. Ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια δράσαντες ἀνεκτὰ ἔπαθον. Καὶ ἡμᾶς εἰκὸς νῦν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν (οἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου), καὶ ὁρῶντες ὑμᾶς αὐτοὺς οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε μὴ καταπέπληχθε ἄγαν, λογίζεσθε δὲ ὅτι αὐτοί

force qu'à l'ordinaire à chacun de ceux qu'il approchait, et, en haussant la voix, il voulait se rendre utile le plus loin qu'il pourrait.

77. « Athéniens, et vous, alliés, il faut, même en l'état où nous sommes, conserver l'espérance ; d'autres déjà, dans une situation pire que la nôtre, ont trouvé leur salut. Ne vous faites pas de si amers reproches sur ces malheurs, sur ces injustes souffrances. Moi-même, sans être plus fort qu'aucun de vous (vous voyez au contraire dans quelle faiblesse m'a réduit la maladie), et sans être cru moins fortuné qu'un autre dans mon existence privée et en toute chose, je suis ballotté dans un même péril avec les plus misérables. Cependant ma vie fut employée à bien des pratiques pieuses envers les dieux et à bien des actions justes et irréprochables envers les hommes : aussi j'ai un ferme espoir dans l'avenir, et les malheurs actuels ne m'effrayent pas en proportion de leur grandeur. Peut-être vont-ils cesser, car nos ennemis ont eu assez de bonheur ; et quant à nous, si, par cette expédition, nous avons offensé quelque divinité, nous en avons été déjà suffisamment punis. Bien d'autres peuples, avant nous, sont venus attaquer des pays étrangers, et, pour avoir agi d'après la nature humaine, ont éprouvé des maux qu'elle pouvait supporter. Nous aussi, nous devons espérer que la divinité nous traitera avec plus de clémence, car nous sommes plus dignes de la pitié des dieux que de leur colère. Jetez les yeux sur vous-mêmes, et, voyant combien sont braves et nombreux les rangs d'hoplites que vous formez et qui s'avancent en bon ordre, réprimez vos craintes ; songez que, partout où vous vous arrêterez, vous formerez aussitôt une ville, et qu'aucune autre

τε πόλις εὐθύς ἐστε ὅποι ἂν καθέζησθε, καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειεν. Τὴν δὲ πορείαν ὥστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι αὐτοὶ φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος ἢ ἐν ᾧ ἂν ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. Σπουδὴ δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ· τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν, καὶ ἢν ἀντιλαβώμεθά του φιλίου χωρίου τῶν Σικελῶν (οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακουσίων δέος ἔτι βέβαιοί εἰσιν), ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. Προπέπεμπται δ' ὡς αὐτοὺς καὶ ἀπαντᾷν εἰρημένον καὶ σιτία ἅμα κομίζειν. Τό τε ξύμπαν γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε, καὶ ἢν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες· ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί. »

οη'. Ὁ μὲν Νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα καὶ, εἴ πῃ ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν, ξυνάγων καὶ καθιστὰς, καὶ ὁ Δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. Τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον, πρῶτον μὲν ἡγούμενον τὸ

en Sicile ne pourrait soutenir aisément vos attaques, ni vous expulser, une fois établis quelque part. Veillez à ce que notre marche s'exécute en sécurité et sans désordre; chacun doit penser, avant tout, que le terrain où il lui faudra combattre lui servira, s'il est vainqueur, et de patrie et de rempart. Nous hâterons le pas et de nuit et de jour, parce qu'il nous reste peu de vivres; si nous parvenons à quelque place amie chez les Sicèles, ce peuple qui, par crainte des Syracusains, nous reste encore fidèle, croyez dès lors être en sûreté; ils ont été prévenus de venir à notre rencontre et de nous apporter d'autres vivres. Enfin, soldats, soyez convaincus qu'il vous faut forcément agir en braves, puisqu'il n'est près d'ici aucun lieu qui, si vous faiblissez, vous puisse servir d'asile. Songez que, si vous échappez maintenant aux ennemis, tous vous aurez le bonheur de revoir ce qui vous est cher, et que vous, ô Athéniens! vous relèverez, quoique défaillante, la grande puissance de la ville; car ce sont les hommes qui constituent une ville, et non des murs ou des vaisseaux vides de citoyens. »

78. C'est ainsi que Nicias exhortait son armée tout en la parcourant; si quelque part il voyait les rangs rompus et marchant en désordre, il rassemblait les soldats et les rangeait. De son côté, Démosthènes tenait à ses troupes de semblables discours. Le corps d'armée

Νικίου, ἐφεπόμενον δὲ τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. Καὶ ἐπειδή [τε] ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου ἐχώρουν ἐς τὸ πρόσθεν. Οἱ δὲ Συρακούσιοι παριππεύοντές τε προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρωῒ ἐπορεύοντο καὶ προῆλθον ὡς εἴκοσι σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον (ᾠκεῖτο γὰρ ὁ χῶρος) καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. Οἱ δὲ Συρακούσιοι ἐν τούτῳ προελθόντες τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον· ἦν δὲ λόφος καρτερὸς καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης, ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακουσίων καὶ ξυμμάχων αὐτοὺς ἱππῆς καὶ ἀκοντισταὶ ὄντες πολλοὶ ἑκατέρωθεν ἐκώλυον καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. Καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον. Καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον· οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ὑπὸ τῶν ἱππέων.

de Nicias s'avançait disposé en carré long, celui de Démosthènes le suivait; les porteurs de bagages et la plus grande partie de la multitude étaient placés au milieu des hoplites. Arrivés au passage de la rivière Anapos, ils y trouvèrent un détachement de Syracusains et de leurs alliés rangé en bataille; ils le repoussèrent, et, maîtres du passage, marchèrent en avant. Les Syracusains les suivaient de près en caracolant autour d'eux, tandis que leurs troupes légères les assaillaient à coups de javelot. Dans cette journée, les Athéniens, s'étant avancés d'environ quarante stades,* bivouaquèrent sur une colline; le lendemain, ils partirent de bonne heure, et firent encore environ vingt stades.* Descendus dans une plaine unie, ils y campèrent, afin de se procurer quelques vivres dans les maisons (cet endroit était habité), et d'emporter aussi de l'eau avec eux; parce qu'au delà, sur un chemin d'un grand nombre de stades qu'ils allaient faire, il s'en trouverait fort peu. Mais les Syracusains, ayant pris les devants, murèrent le passage que plus loin on devait franchir; c'était une colline d'une forte position, bordée de deux côtés de ravins escarpés : on la nommait Acræon-Lépas. Le lendemain, les Athéniens continuaient leur route, lorsque les cavaliers et les gens de trait des Syracusains et de leurs alliés, qui étaient nombreux, s'opposèrent des deux côtés à leur marche, en lançant des traits et en voltigeant à cheval autour d'eux. Les Athéniens soutinrent longtemps le combat, ensuite ils retournèrent à leur même camp. Mais ils n'avaient plus autant de vivres qu'auparavant, et ne pouvaient plus s'écarter dans la campagne à cause de la cavalerie ennemie.

* 7 kil., 400 m.

* 3 kil., 700 m.

οθ'. Πρωῒ δὲ ἄραντες ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον, καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων· στενὸν γὰρ ἦν τὸ χωρίον. Καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος (διικνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν) καὶ οὐ δυνάμενοι βιάσασθαι ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο. Ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι· ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι. Ἀναπαυομένων δὲ αὐτῶν, ὁ Γύλιππος καὶ οἱ Συρακούσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὖ ἐκ τοῦ ὄπισθεν αὐτοὺς ᾗ προεληλύθεσαν· ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινας διεκώλυσαν. Καὶ μετὰ τοῦτο πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι ηὐλίσαντο. Τῇ δ' ὑστεραίᾳ προὐχώρουν, καὶ οἱ Συρακούσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμάτιζον, καὶ, εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν, εἰ δ' ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴ πως, κατὰ βραχὺ τρεψάμενοι, πᾶν τὸ στράτευμα φοβήσειαν. Καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι, ἔπειτα, προελθόντες πέντε ἢ ἓξ σταδίους,

79. Le matin, ayant levé leur camp, ils se remirent en marche et s'efforcèrent d'atteindre à la colline fortifiée; ils trouvèrent devant eux, dominant le retranchement, l'infanterie ennemie rangée sur un ordre profond, parce que le lieu était étroit. Les Athéniens s'avancèrent contre cette fortification qu'ils attaquèrent; mais de la colline, dont la pente était rapide, ils furent assaillis par une foule d'ennemis, qui d'en haut atteignaient mieux leur but. Les Athéniens, n'ayant pu les forcer, se retirèrent et prirent du repos. Pendant ce temps il survint des tonnerres et de la pluie, comme il arrive ordinairement aux approches de l'automne; ce qui augmenta le découragement des Athéniens, qui croyaient que tous ces accidents annonçaient leur ruine. Tandis qu'ils se reposaient, Gylippos et les Syracusains envoyèrent une partie de leur armée pour élever un autre mur derrière eux, sur le chemin par où ils s'étaient avancés; mais les Athéniens détachèrent de leur côté quelques-uns des leurs, qui les en empêchèrent; et se retirèrent ensuite avec toute l'armée vers la plaine, où ils bivouaquèrent. Le lendemain ils continuaient leur route, lorsque les Syracusains, qui les avaient environnés, les attaquèrent de toutes parts et en blessèrent un grand nombre. Si les Athéniens fondaient sur eux, ils pliaient; s'ils se retiraient, eux alors tombaient surtout sur ceux qui étaient placés aux derniers rangs, afin de mettre en déroute les Athéniens en détail, et de répandre l'effroi dans toute l'armée. Les Athéniens résistèrent longtemps de cette manière; mais ensuite, après s'être avancés cinq ou six stades, ils se reposèrent dans la plaine; de leur côté les Syracusains s'éloignèrent d'eux, pour regagner leur camp.

ἀνεπαύοντο ἐν τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ Συρακούσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

π'. Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν τε ἐπιτηδείων πάντων ἀπορίᾳ ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντες ὡς πλεῖστα, ἀπάγειν τὴν στρατιὰν μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακούσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν. Ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. Καύσαντες οὖν πυρὰ πολλὰ, ἐχώρουν ἐν τῇ νυκτί. Καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή· καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προὔλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ πλέον, ἀπεσπάθη τε καὶ ἀτακτότερον ἐχώρει. Ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην, ἐπορεύοντο, ὅπως, ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ

80. L'armée athénienne était dans cette fâcheuse situation : les vivres lui manquaient déjà totalement, et elle avait eu un grand nombre de blessés dans plusieurs attaques de l'ennemi, lorsque Nicias et Démosthènes crurent devoir allumer pendant la nuit un grand nombre de feux et emmener l'armée, non plus par la route qu'ils avaient d'abord projeté de suivre, mais vers la mer, par un chemin opposé à celui que gardaient les Syracusains. Toute la route que devait suivre l'armée athénienne ne conduisait pas à Catane, mais de l'autre côté de la Sicile, vers Camarine, Géla et les autres villes helléniques ou barbares de cette contrée. Ils allumèrent donc une grande quantité de feux, et partirent de nuit. Mais ils éprouvèrent ce désordre, effet des craintes et de la terreur qui s'emparent ordinairement de toute armée, surtout plus elle est grande, et encore plus dans une marche nocturne, à travers un pays hostile, et quand l'ennemi est à peu de distance. La division de Nicias, qui s'avançait la première, conserva ses rangs et fit beaucoup de chemin, tandis que la moitié et même la plus grande partie de celle de Démosthènes se débanda et marcha en désordre. Cependant, dès le point du jour, ils parvinrent au bord de la mer, entrèrent dans la route appelée Élorine, et continuèrent leur chemin, afin d'atteindre le fleuve Cacyparis et pénétrer dans l'intérieur des terres en suivant son cours. Ils espéraient même que les Sicèles, qu'ils avaient mandés, viendraient les rejoindre en ces lieux. Arrivés à ce fleuve, ils y trouvèrent encore un détachement de Syracusains qui fortifiaient et palissadaient le passage; mais, l'ayant forcé, ils traversèrent le fleuve et continuèrent à s'avancer vers une autre rivière, nommée

τοὺς Σικελοὺς ταύτῃ, οὓς μετεπέμψαντο, ἀπαντήσεσθαι. Ἐπειδὴ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακουσίων ἀποτειχίζουσάν τε καὶ ἀποσταυροῦσαν τὸν πόρον. Καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν, καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν, τὸν Ἐρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

πα'. Ἐν τούτῳ δ' οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἑκόντα ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες, ᾗ οὐ χαλεπῶς ᾐσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν. Καὶ ὡς προσέμιξαν τοῖς μετὰ τοῦ Δημοσθένους, ὑστέροις τε οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες ἐμάχοντο, καὶ οἱ ἱππῆς τῶν Συρακουσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτοὺς δίχα δὴ ὄντας καὶ ξυνῆγον ἐς ταὐτό. Τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν καὶ πεντήκοντα σταδίους· θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, νομίζων οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ ἑκόντας εἶναι καὶ μάχεσθαι σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους ὅσα ἀναγκάζονται. Ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ ξυνεχεστέρῳ ὢν διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους, καὶ τότε γνοὺς τοὺς Συρακουσίους διώκοντας,

Érinéos : c'était le chemin que les guides leur indiquaient.

81. Cependant, dès qu'il fit jour, la plupart des Syracusains et de leurs alliés, s'étant aperçus du départ des Athéniens, reprochèrent à Gylippos d'avoir bien voulu laisser s'échapper l'armée athénienne ; ils se mirent aussitôt à la poursuivre sur la route par où ils présumaient qu'elle se serait avancée avec le moins de difficulté, et ils l'atteignirent à l'heure du dîner. Dès qu'ils eurent rejoint les soldats de Démosthènes, qui formant l'arrière-garde marchaient lentement et en désordre, par suite de la confusion pendant la nuit, ils tombèrent sur eux et engagèrent le combat. La cavalerie syracusaine les enveloppa d'autant plus aisément qu'ils se trouvaient séparés des autres, et les serra de près sur un même point. L'armée de Nicias était en avant jusqu'à une distance de cinquante stades, car Nicias marchait avec plus de célérité, pensant que, dans une pareille circonstance, le salut de l'armée ne consistait pas à s'arrêter sans nécessité pour combattre, mais à se retirer en toute hâte et à ne livrer de combats qu'autant qu'on y serait contraint. Démosthènes avait à soutenir des fatigues plus grandes et plus continuelles ; parti le dernier, il était assailli le premier par les ennemis. Se voyant poursuivi par les Syracusains, il songeait moins à faire avancer sa troupe qu'à la ranger en bataille, jusqu'à ce qu'enfin, après avoir perdu du temps, il fut enveloppé par eux, et se trouva, ainsi que les Athéniens qui étaient avec lui, dans un grand désordre : refoulés dans un lieu environné d'un petit mur, traversé par une route et garni d'oliviers, ils furent de toutes parts accablés de traits. C'était avec raison que les Syracusains employaient ce

οὐ προὐχώρει μᾶλλον ἢ ἐς μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ' αὐτῶν, καὶ ἐν πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ κύκλῳ μὲν τειχίον περιῆν, ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν, ἐλάας δὲ οὐκ ὀλίγας εἶχεν, ἐβάλλοντο περισταδόν. Τοιαύταις δὲ προσβολαῖς καὶ οὐ ξυσταδὸν μάχαις οἱ Συρακούσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους οὐ πρὸς ἐκείνων μᾶλλον ἦν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων, καὶ ἅμα φειδώ τέ τις ἐγίγνετο ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προαναλωθῆναί τῳ, καὶ ἐνόμιζον καὶ ὣς ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι λήψεσθαι αὐτούς.

πβ'. Ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες πανταχόθεν τοὺς Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακούσιοι καὶ οἱ ξύμμαχοι πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί· ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται ὥστε ὅπλα τε παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα μήτε βιαίως μήτε δεσμοῖς μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. Καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας καὶ

genre d'attaque, plutôt que de combattre corps à corps; car se hasarder contre des hommes au désespoir eût été bien moins à leur avantage qu'à celui des Athéniens. D'ailleurs, les Syracusains, assurés déjà du succès, cherchaient à épargner leur vie, afin que personne ne la perdît avant de triompher; ils croyaient même que par cette manœuvre, en domptant les Athéniens, ils les feraient prisonniers.

82. Après avoir donc tiré de toutes parts durant le jour contre les Athéniens et leurs alliés, Gylippos, les Syracusains et leurs alliés, voyant l'ennemi épuisé déjà par les blessures et par les souffrances de tout genre, firent proclamer, d'abord, que quiconque, parmi les insulaires, voudrait conserver sa liberté, eût à se rendre auprès d'eux, ce que firent les troupes de quelques villes, mais en petit nombre; ensuite on convint avec tout le reste de l'armée de Démosthènes qu'elle livrerait ses armes et qu'on ne ferait périr personne ni de mort violente, ni dans les fers, ni par manque du strict nécessaire. Tous se rendirent, au nombre de six mille; ils livrèrent tout l'argent qu'ils avaient, le déposèrent dans des boucliers renversés sur le dos, et en remplirent quatre, que l'on expédia aussitôt à Syracuse. Le même

ἐνέπλησαν ἀσπίδας τέσσαρας. Καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν· Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνοῦνται ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεὸν, καὶ διαϐὰς πρὸς μετέωρόν τι καθῖσε τὴν στρατιάν.

πγ'. Οἱ δὲ Συρακούσιοι τῇ ὑστεραίᾳ καταλαϐόντες αὐτὸν ἔλεγον ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκοιεν σφᾶς αὐτοὺς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν. Ὁ δ' ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. Ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακουσίοις εἶναι ἑτοῖμος ὑπὲρ Ἀθηναίων ξυμϐῆναι, ὅσα ἀνάλωσαν χρήματα Συρακούσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. Οἱ δὲ Συρακούσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες καὶ περιστάντες πανταχόθεν ἔϐαλλον καὶ τούτους μέχρι ὀψέ. Εἶχον δὲ καὶ οὗτοι πονήρως σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίᾳ. Ὅμως δὲ, τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον, ἔμελλον πορεύεσθαι. Καὶ ἀναλαμϐάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακούσιοι αἰσθάνονται καὶ ἐπαιώνισαν. Γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσι, κατέθεντο πάλιν πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ, διὰ τῶν φυλάκων βιασάμενοι, ἐχώρουν τῆς νυκτὸς ᾗ ἐδύναντο.

πδ'. Νικίας δὲ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρα-

jour Nicias et ceux qui étaient avec lui parvinrent au fleuve Érinéos; il le traversa et fit camper son armée sur une éminence.

83. Les Syracusains l'atteignirent le lendemain, lui apprirent que les troupes de Démosthènes s'étaient rendues et le sommèrent d'en faire autant. Nicias, ne croyant pas à cette nouvelle, convint avec eux d'envoyer un cavalier pour s'en informer; et dès que ce messager, à son retour, lui eut appris la reddition des troupes, il envoya dire à Gylippos et aux Syracusains qu'il était prêt à stipuler, au nom des Athéniens, que tout l'argent que les Syracusains avaient dépensé dans cette guerre leur serait rendu, pourvu qu'ils laissassent partir librement son armée; que, jusqu'au remboursement de la somme, il leur donnerait des Athéniens en otages, un homme par talent. Gylippos et les Syracusains n'acceptèrent pas ces propositions; mais ils attaquèrent les Athéniens, les entourèrent de toutes parts, et tirèrent contre eux jusqu'au soir. Ces troupes ne souffraient pas moins que celles de Démosthènes du manque de pain et d'autres munitions. Malgré cela, elles attendirent le repos de la nuit pour se mettre en route; déjà elles reprenaient leurs armes, quand les Syracusains s'en aperçurent et chantèrent le pæan. Les Athéniens, se voyant découverts, restèrent au même lieu, excepté trois cents hommes environ, qui, s'étant ouvert un passage à travers les gardes, allèrent la nuit où ils purent.

84. Dès qu'il fit jour, Nicias partit à la tête de ses troupes; les Syracusains et leurs alliés les harcelè-

τιχόν· οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. Καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμὸν, ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. Ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν· ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέῤῥεον. Ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι (ἦν δὲ κρημνῶδες) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. Οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. Καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο, ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾑματωμένον καὶ περιμάχητον ἦν τοῖς πολλοῖς.

πε'. Τέλος δὲ, νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ, καὶ διεφθαρμένου τοῦ στρατεύματος τοῦ μὲν κατὰ τὸν ποταμὸν, τοῦ δὲ καὶ, εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι,

rent d'après la même manœuvre, en tirant sur elles de toutes parts, et les accablant de traits. Les Athéniens se hâtèrent de gagner la rivière Assinaros, pressés de tous côtés par les attaques d'une nombreuse cavalerie et de toute la foule ennemie, et pensant que, cette rivière traversée, leur position serait meilleure; épuisés qu'ils étaient, c'était aussi pour s'y désaltérer. Dès qu'ils furent sur ses bords, ils s'y précipitèrent pêle-mêle, chacun voulant la franchir le premier; mais les ennemis, qui les suivaient de près, leur rendirent le passage très-pénible. Les Athéniens, obligés de marcher tous confusément, tombaient les uns sur les autres et se foulaient aux pieds. Percés de leurs lances ou embarrassés par leurs bagages, les uns trouvaient aussitôt la mort, les autres glissaient dans la rivière. Les Syracusains, rangés sur la rive opposée, escarpée en cet endroit, tiraient d'en haut sur les Athéniens, qui pour la plupart se livraient au plaisir de boire, et s'embarrassaient les uns les autres dans cette rivière encaissée. Les Péloponnésiens descendirent vers eux et égorgèrent surtout ceux qui étaient dans le fleuve. L'eau fut souillée au même instant; mais on ne la buvait pas moins toute bourbeuse et sanglante; elle était même pour la plupart un objet de querelle.

85. Enfin, de nombreux cadavres gisaient déjà dans la rivière, entassés les uns sur les autres, et l'armée était détruite, partie sur le rivage, partie (s'il s'en échappait) par la cavalerie, lorsque Nicias se rendit à Gylippos, se fiant à lui plutôt qu'aux Syracusains : il le

πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακουσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους ὅ τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. Καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε· καὶ τούς τε λοιποὺς, ὅσους μὴ ἀπεκρύψαντο (πολλοὶ δὲ οὗτοι ἐγένοντο) ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς διωξομένους ξυνέλαβον. Τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν πολύ· καὶ διεπλήσθη πᾶσα Σικελία αὐτῶν ἅτε οὐκ ἀπὸ ξυμβάσεως, ὥσπερ τῶν μετὰ Δημοσθένους, ληφθέντων. Μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε· πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. Καὶ ἐν ταῖς ἄλλαις προσβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν· πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ παραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες ὕστερον· τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

πϛ'. Ξυναθροισθέντες δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. Καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων ὁπόσους ἔλαβον κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τήρησιν, Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος τοῦ

laissait, ainsi que les Lacédémoniens, libres de disposer à leur gré de sa personne; il priait seulement d'arrêter le carnage de ses soldats. Alors Gylippos ordonna de faire des prisonniers : tous ceux que les Syracusains n'avaient pas cachés, et dont le nombre était considérable, furent emmenés vivants; on envoya à la poursuite des trois cents qui avaient échappé aux gardes pendant la nuit, et ils furent arrêtés. Cependant il n'y eut que peu de prisonniers de l'armée athénienne rassemblés au profit de l'État; la plupart furent dérobés. Toute la Sicile en fut remplie, attendu qu'ils ne s'étaient pas rendus d'après une convention, comme ceux de Démosthènes. Le nombre des morts fut aussi très-grand, car il y eut un affreux carnage et qu'aucun autre n'égala dans cette guerre de Sicile. Les attaques réitérées durant la marche firent périr aussi beaucoup de monde. Néanmoins, bien des Athéniens s'évadèrent, les uns à l'instant même, les autres plus tard et après avoir été faits esclaves; c'était à Catane qu'ils trouvaient tous un refuge.

86. Les Syracusains et leurs alliés, après s'être réunis, rassemblèrent le plus possible d'hommes et de dépouilles, et retournèrent à la ville. Ils descendirent dans les carrières tous les prisonniers faits sur les Athéniens et leurs alliés; cet endroit leur parut être la plus sûre des prisons. Quant à Nicias et à Démosthènes, ils les égor-

Γυλίππου ἀπέσφαξαν. Ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. Ξυνέϐαινε δὲ τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ, τὸν δὲ διὰ τὰ αὐτὰ ἐπιτηδειότατον· τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι. Ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα διὰ τοῦτο πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. Ἀλλὰ τῶν Συρακουσίων τινὲς, ὡς ἐλέγετο, οἱ μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτο ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δὲ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ χρήμασι δὴ πείσας τινὰς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν. Καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν.

πζ'. Τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακούσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. Ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταϐολῇ ἐς ἀσθέ-

gèrent, contre la volonté de Gylippos; car celui-ci pensait que c'eût été pour lui un brillant exploit, si, après tant de services, il emmenait encore à Lacédémone les généraux ses adversaires. Démosthènes se trouvait être fort détesté des Lacédémoniens à cause des événements de l'île (de Sphactérie) et de Pylos, tandis que Nicias était très-aimé d'eux, par la même raison; car Nicias s'employa avec zèle pour que les Athéniens fissent la paix et rendissent à la liberté les Lacédémoniens prisonniers dans l'île. C'était pour cela que les Lacédémoniens aimaient Nicias, et que lui-même de son côté s'était rendu avec confiance à Gylippos. Mais quelques Syracusains, disait-on, à cause des intelligences qu'ils avaient eues avec Nicias, craignant que, si la torture lui était appliquée à ce sujet, il ne vînt à compromettre leur prospérité; et d'autres, surtout les Corinthiens, que Nicias, qui était riche, ne s'échappât en séduisant quelques-uns avec de l'or, ce qui pourrait leur causer de nouveaux embarras, persuadèrent les alliés et le tuèrent. Tels furent, ou du moins très-probablement, les motifs de la mort de Nicias, qui, parmi tous les Hellènes de mon temps, par toute sa conduite réglée selon les préceptes de la vertu, mérita le moins une fin si malheureuse.

87. Les prisonniers enfermés dans les carrières furent traités au commencement par les Syracusains avec une grande dureté. Entassés dans un lieu profond et peu spacieux, ils furent d'abord tourmentés par les rayons du soleil et par une température étouffante, car on était entièrement à découvert; tandis que les nuits d'automne, qui, au contraire, étaient fraîches, survenant ensuite,

νειαν ἐνεωτέριζον, πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοὶ, καὶ λιμῷ ἅμα καὶ δίψῃ ἐπιέζοντο (ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου), ἄλλα τε ὅσα εἰκὸς ἐν τῷ τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ τι οὐκ ἐπεγένετο αὐτοῖς. Καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. Ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων.

Ξυνέβη τε ἔργον τοῦτο [Ἑλληνικὸν] τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖν δ' ἔμοιγε καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον· κατὰ πάντα γὰρ πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ τὸ λεγόμενον καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ τι οὐκ ἀπώλετο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. Ταῦτα μὲν τὰ περὶ τὴν Σικελίαν γενόμενα.

---

amenèrent par ces variations un changement funeste à leur santé, surtout obligés qu'ils étaient, dans un espace étroit, de satisfaire à tous leurs besoins aux mêmes lieux; de plus, les cadavres de ceux qui périssaient, soit de leurs blessures, soit par les changements de température ou autre cause, étaient entassés les uns sur les autres. Il s'exhalait une odeur insupportable, et l'on souffrait autant de la faim que de la soif; car, pendant huit mois, chacun des prisonniers ne reçut qu'une cotyle d'eau et deux de blé, et ils ne furent exempts d'aucune des souffrances auxquelles des malheureux enfermés dans un tel endroit pouvaient être exposés. Ils vécurent entassés dans cet état pendant environ soixante-dix jours; ensuite, ils furent tous vendus, excepté les Athéniens et ceux des Sicéliôtes et des Italiôtes qui avaient porté les armes avec eux. Quoiqu'on ne saurait décrire exactement le nombre total des prisonniers, il ne fut pas moindre de sept mille.

Ce fait d'armes fut le plus grand de cette guerre, et, à mon avis, de tous ceux qu'exécutèrent les Hellènes et que nous connaissons par tradition; aussi ce fut le plus glorieux pour les vainqueurs, et le plus désastreux pour ceux qui succombèrent; tout dans leur défaite fut extrême, aucune sorte de souffrance ne leur fit faute, et ils furent ruinés de fond en comble, comme dit le proverbe. Armée, flotte, tout périt; et, sur une expédition aussi considérable, un bien petit nombre d'hommes eurent le bonheur de revoir leurs foyers. Tels furent les événements arrivés en Sicile.

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΟΓΔΟΟΝ.

α΄. Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἄγαν πανσυδὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι καὶ ὁπόσοι τι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν. Πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε καὶ περιειστήκει ἐπὶ τῷ γεγενημένῳ φόβος τε καὶ κατάπληξις μεγίστη δή. Ἅμα μὲν γὰρ στερόμενοι καὶ ἰδίᾳ ἕκαστος καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων καὶ ἡλικίας οἵαν οὐχ ἑτέραν ἑώρων ὑπάρχουσαν ἐβαρύνοντο· ἅμα δὲ ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανάς, οὐδὲ χρήματα ἐν τῷ κοινῷ, οὐδ' ὑπηρεσίας

HISTOIRE

COMPOSÉE

PAR THUCYDIDES

FILS D'OLOROS.

LIVRE HUITIÈME.

1. Quand cette nouvelle parvint à Athènes, longtemps on refusa de croire à l'extermination totale de l'armée, malgré le témoignage de l'élite des soldats échappés au combat même, et l'exactitude de leur rapport. Mais, dès qu'on en fut convaincu, on se courrouça contre ceux des orateurs qui avaient excité l'empressement du peuple pour cette expédition, comme si ce n'était pas lui qui l'eût décrétée; on s'irrita aussi contre les interprètes des oracles, les devins, et tous ceux qui avaient alors, par quelques divinations, encouragé l'espoir de s'emparer de la Sicile. On n'avait de toutes parts que sujets de douleur, et cet événement causait l'effroi et la plus grande consternation. D'un côté, chacun individuellement et la ville tout entière, qu'accablait la perte de tant d'hoplites, de cavaliers et d'une jeunesse comme il n'en existait plus dans Athènes, étaient dans

ταῖς ναυσὶν, ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι, τούς τε ἀπὸ τῆς Σικελίας πολεμίους εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε καὶ τοσοῦτον κρατήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένους κατὰ κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι, καὶ τοὺς ξυμμάχους σφῶν μετ' αὐτῶν ἀποστάντας. Ὅμως δὲ, ὡς ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύνωνται, ξύλα ξυμπορισαμένους καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι, καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβουλεύσουσι. Πάντα τε πρὸς τὸ παραχρῆμα περιδεὲς, ὅπερ φιλεῖ δῆμος ποιεῖν, ἑτοῖμοι ἦσαν εὐτακτεῖν. Καὶ ὡς ἔδοξεν αὐτοῖς, καὶ ἐποίουν ταῦτα, καὶ τὸ θέρος ἐτελεύτα.

β΄. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος πρὸς τὴν ἐκ τῆς Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν εὐθὺς οἱ Ἕλληνες πάντες ἐπηρμένοι ἦσαν, οἱ μὲν μηδετέρων ὄντες ξύμμαχοι, ὡς, ἤν τις καὶ μὴ παρακαλῇ σφᾶς, οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη, ἀλλ' ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς Ἀθηναίους, νομίσαντες κἂν ἐπὶ σφᾶς ἕκαστοι ἐλθεῖν αὐτοὺς, εἰ τα ἐν τῇ Σικελίᾳ κατώρθωσαν, καὶ ἅμα ἡγούμενοι βρα-

le deuil; de l'autre, comme on ne voyait plus dans les arsenaux ni vaisseaux en suffisance, ni argent au trésor public, ni équipages pour la flotte, tout espoir de salut était pour lors anéanti. Les Athéniens s'imaginaient que de la Sicile bientôt les ennemis viendraient aborder au Pirée, surtout après une victoire si complète, et que ceux qu'ils avaient en Grèce, dont les forces et les ressources étaient doublées, fondraient bientôt de tous leurs efforts sur leur pays par terre et par mer, tandis que les alliés d'Athènes s'en détacheraient pour se joindre à ses ennemis. Cependant les Athéniens, avec ce qui leur restait de moyens, crurent que, loin de céder, on devait préparer une flotte, en se procurant, d'où on le pourrait, des bois de construction et de l'argent, s'assurer de leurs alliés et surtout de l'Eubœe, modérer les dépenses publiques, et élire un conseil de vieillards qui, selon les circonstances, délibérerait sur les affaires avant qu'elles fussent portées devant le peuple; enfin, comme il arrive ordinairement au peuple, la frayeur du moment les avait disposés à tenir en tout une conduite sage. Ce qu'ils résolurent fut exécuté; et alors finit l'été.

2. L'hiver suivant, à la nouvelle du grand désastre des Athéniens en Sicile, tous les Hellènes se sentirent aussitôt surexcités; ceux qui n'étaient alliés d'aucun parti crurent ne plus devoir s'abstenir de prendre part à la guerre, n'y fût-on même pas convoqué, et qu'il fallait de leur chef marcher contre les Athéniens, persuadés généralement que, s'ils avaient réussi en Sicile, ils seraient venus fondre aussi sur eux. On croyait, d'ailleurs, que ce reste de guerre finirait bientôt, et qu'il serait beau d'y participer. De leur côté, les alliés de Lacédémone

χὺν ἔσεσθαι τὸν λοιπὸν πόλεμον, οὗ μετασχεῖν καλὸν εἶναι, οἱ δ' αὖ τῶν Λακεδαιμονίων ξύμμαχοι ξυμπροθυμηθέντες ἐπὶ πλέον ἢ πρὶν ἀπαλλάξεσθαι διὰ τάχους πολλῆς ταλαιπωρίας. Μάλιστα δὲ οἱ τῶν Ἀθηναίων ὑπήκοοι ἑτοῖμοι ἦσαν καὶ παρὰ δύναμιν αὐτῶν ἀφίστασθαι, διὰ τὸ ὀργῶντες κρίνειν τὰ πράγματα, καὶ μηδ' ὑπολείπειν λόγον αὐτοῖς ὡς τό γ' ἐπιὸν θέρος αὐτοὶ οἷοί τ' ἔσονται περιγενέσθαι. Ἡ δὲ τῶν Λακεδαιμονίων πόλις πᾶσί τε τούτοις ἐθάρσει, καὶ μάλιστα ὅτι οἱ ἐκ τῆς Σικελίας αὐτοῖς ξύμμαχοι πολλῇ δυνάμει, κατ' ἀνάγκην ἤδη τοῦ ναυτικοῦ προσγεγενημένου, ἅμα τῷ ἦρι ὡς εἰκὸς παρέσεσθαι ἔμελλον. Πανταχόθεν τε εὐέλπιδες ὄντες ἀπροφασίστως ἅπτεσθαι διενοοῦντο τοῦ πολέμου, λογιζόμενοι, καλῶς τελευτήσαντος αὐτοῦ, κινδύνων τε τοιούτων ἀπηλλάχθαι ἂν τὸ λοιπὸν οἷος καὶ ὁ ἀπὸ τῶν Ἀθηναίων περιέστη ἂν αὐτούς, εἰ τὸ Σικελικὸν προσέλαβον, καὶ καθελόντες ἐκείνους αὐτοὶ τῆς πάσης Ἑλλάδος ἤδη ἀσφαλῶς ἡγήσεσθαι.

γ΄. Εὐθὺς οὖν Ἆγις μὲν ὁ βασιλεὺς αὐτῶν, ἐν τῷ χειμῶνι τούτῳ ὁρμηθεὶς στρατῷ τινι ἐκ Δεκελείας, τά τε τῶν ξυμμάχων ἠργυρολόγησεν ἐς τὸ ναυτικὸν, καὶ τραπόμενος ἐπὶ τοῦ Μηλιέως κόλπου Οἰταίων τε κατὰ τὴν παλαιὰν ἔχθραν τῆς λείας τὴν πολλὴν ἀπολαβὼν χρήματα ἐπράξατο, καὶ Ἀχαιοὺς τοὺς Φθιώτας καὶ τοὺς ἄλλους τοὺς ταύτῃ Θεσσαλῶν ὑπηκόους, μεμφομένων καὶ ἀκόντων τῶν

espéraient que, par un commun accord, un plus grand zèle qu'auparavant, ils se délivreraient bientôt de tant de peines. Mais surtout les sujets d'Athènes, quelque faibles qu'ils fussent, étaient prêts à s'en détacher, parce qu'ils jugeaient les affaires avec un emportement qui les empêchait de concéder aux Athéniens la moindre raison de croire que l'été prochain ils pourraient prendre le dessus. Quant à Lacédémone, son courage s'affermit par toutes ces circonstances, et surtout par l'idée que ses alliés de Sicile, forcés récemment de créer une flotte, se rangeraient sans doute près d'elle dès le printemps avec des forces considérables. Ainsi, de toutes parts, pleins d'espoir, les Lacédémoniens résolurent de faire une guerre à outrance; ils pensaient qu'une fois celle-ci terminée à leur avantage, ils seraient à jamais délivrés de périls tels que ceux dont Athènes les aurait pu menacer, si son empire se fût accru de celui de la Sicile, et qu'en abattant sa puissance, dès lors à l'abri des périls, ils resteraient les chefs de toute la Grèce.

3. Ce fut donc cet hiver même qu'Agis, leur roi, partit immédiatement de Décélie avec une armée, leva de l'argent sur les alliés pour l'entretien de la flotte, et, s'étant dirigé vers le golfe Mélien, après avoir emmené la plus grande partie du bétail des OEtéens leurs anciens ennemis, leur imposa une contribution en argent. Ce fut contre la volonté et malgré les plaintes des Thessaliens qu'il força les Achæens Phthiôtes et les autres habitants de cette contrée, sujets de Thessalie, à lui donner quelques otages et de l'argent. Il déposa les otages à Corinthe, et tâcha d'attirer ces peuples dans

Θεσσαλῶν, ὁμήρους τέ τινας ἠνάγκασε δοῦναι καὶ χρήματα, καὶ κατέθετο τοὺς ὁμήρους ἐς Κόρινθον, ἔς τε τὴν ξυμμαχίαν ἐπειρᾶτο προσάγειν. Λακεδαιμόνιοι δὲ τὴν πρόσταξιν ταῖς πόλεσιν ἑκατὸν νεῶν τῆς ναυπηγίας ἐποιοῦντο, καὶ ἑαυτοῖς μὲν καὶ Βοιωτοῖς πέντε καὶ εἴκοσιν ἑκατέροις ἔταξαν, Φωκεῦσι δὲ καὶ Λοκροῖς πεντεκαίδεκα, καὶ Κορινθίοις πεντεκαίδεκα, Ἀρκάσι δὲ καὶ Πελληνεῦσι καὶ Σικυωνίοις δέκα, Μεγαρεῦσι δὲ καὶ Τροιζηνίοις καὶ Ἐπιδαυρίοις καὶ Ἑρμιονεῦσι δέκα· τά τε ἄλλα παρεσκευάζοντο ὡς εὐθὺς πρὸς τὸ ἔαρ ἑξόμενοι τοῦ πολέμου.

δ΄. Παρεσκευάζοντο δὲ καὶ Ἀθηναῖοι, ὥσπερ διενοήθησαν, ἐν τῷ χειμῶνι τούτῳ τήν τε ναυπηγίαν, ξύλα ξυμπορισάμενοι, καὶ Σούνιον τειχίσαντες, ὅπως αὐτοῖς ἀσφάλεια ταῖς σιταγωγοῖς ναυσὶν εἴη τοῦ περίπλου, καὶ τό τε ἐν τῇ Λακωνικῇ τείχισμα ἐκλιπόντες, ὃ ἐνῳκοδόμησαν παραπλέοντες ἐς Σικελίαν, καὶ τἆλλα, εἴ πού τι ἐδόκει ἀχρεῖον ἀναλίσκεσθαι, ξυστελλόμενοι ἐς εὐτέλειαν, μάλιστα δὲ τὰ τῶν ξυμμάχων διασκοποῦντες, ὅπως μὴ σφῶν ἀποστήσονται.

ε΄. Πρασσόντων δὲ ταῦτα ἀμφοτέρων, καὶ ὄντων οὐδὲν ἄλλο ἢ ὥσπερ ἀρχομένων ἐν κατασκευῇ τοῦ πολέμου, πρῶτοι Εὐβοῆς ὡς Ἆγιν περὶ ἀποστάσεως [τῶν Ἀθηναίων] ἐπρεσβεύσαντο ἐν τῷ χειμῶνι τούτῳ. Ὁ δὲ, προσδεξάμενος τοὺς λόγους αὐτῶν, μεταπέμπεται ἐκ Λακεδαίμονος Ἀλκα-

son alliance. De leur côté, les Lacédémoniens ordonnèrent aux villes de construire cent vaisseaux ; ils taxèrent les Bœôtiens à vingt-cinq, et eux-mêmes à autant ; les Phôcéens et les Locriens, à quinze ; les Corinthiens, au même nombre ; les Arcades, les Pelléniens et les Sicyôniens, à dix ; les Mégaréens, les Trœzéniens, les Épidauriens et les Hermioniens, à pareil nombre. Enfin ils ne négligèrent aucun préparatif pour commencer la guerre au printemps.

4. De leur côté les Athéniens s'occupèrent pendant cet hiver, comme ils l'avaient résolu, à construire des vaisseaux ; ils se procurèrent des bois de construction, et fortifièrent Sounion, afin que leurs bâtiments qui apportaient des vivres pussent naviguer en sûreté autour de ce cap. Ils abandonnèrent le fort qu'ils avaient élevé en Lacônie lors de leur passage en Sicile, et diminuèrent toutes leurs dépenses, dès qu'ils croyaient en voir d'inutiles. Ils surveillaient surtout leurs alliés, pour les empêcher de se révolter.

5. Pendant qu'on se disposait ainsi de part et d'autre, et qu'on s'occupait des apprêts de la guerre, comme si on ne faisait que la commencer, les Eubœens furent les premiers qui députèrent auprès d'Agis cet hiver, pour traiter de leur défection d'Athènes. Agis accepta leurs propositions, et fit venir de Lacédémone Alcaménès, fils de Sthénélaïdas, et Mélanthos, pour aller commander en Eubœe. Ces chefs arrivèrent suivis d'environ trois cents néodamôdes. Agis préparait leur passage dans cette île, lorsque les Lesbiens vinrent aussi dans

μένη τὸν Σθενελαΐδου καὶ Μέλανθον ἄρχοντας ὡς ἐς τὴν Εὔβοιαν· οἱ δ' ἦλθον ἔχοντες τῶν νεοδαμωδῶν ὡς τριακοσίους, καὶ παρεσκεύαζεν αὐτοῖς τὴν διάβασιν. Ἐν τούτῳ δὲ καὶ Λέσβιοι ἦλθον βουλόμενοι καὶ αὐτοὶ ἀποστῆναι· καὶ, ξυμπρασσόντων αὐτοῖς τῶν Βοιωτῶν, ἀναπείθεται Ἄγις ὥστε Εὐβοίας μὲν πέρι ἐπισχεῖν, τοῖς δὲ Λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν, Ἀλκαμένη τε ἁρμοστὴν διδοὺς, ὃς ἐς Εὔβοιαν πλεῖν ἔμελλε, καὶ δέκα μὲν Βοιωτοὶ ναῦς ὑπέσχοντο, δέκα δὲ Ἄγις. Καὶ ταῦτα ἄνευ τῆς Λακεδαιμονίων πόλεως ἐπράσσετο· ὁ γὰρ Ἄγις ὅσον χρόνον ἦν περὶ Δεκέλειαν ἔχων τὴν μεθ' ἑαυτοῦ δύναμιν, κύριος ἦν καὶ ἀποστέλλειν εἴ ποί τινα ἐβούλετο στρατιὰν, καὶ ξυναγείρειν καὶ χρήματα πράσσειν. Καὶ πολὺ μᾶλλον ὡς εἰπεῖν κατὰ τοῦτον τὸν καιρὸν αὐτοῦ οἱ ξύμμαχοι ὑπήκουον ἢ τῶν ἐν τῇ πόλει Λακεδαιμονίων· δύναμιν γὰρ ἔχων εὐθὺς ἑκασταχόσε δεινὸς παρῆν. Καὶ ὁ μὲν τοῖς Λεσβίοις ἔπρασσε·

Χῖοι δὲ καὶ Ἐρυθραῖοι, ἀποστῆναι καὶ αὐτοὶ ἑτοῖμοι ὄντες, πρὸς μὲν Ἄγιν οὐκ ἐτράποντο, ἐς δὲ ντὴ Λακεδαίμονα. Καὶ παρὰ Τισσαφέρνους, ὃς βασιλεῖ Δαρείῳ τῷ Ἀρταξέρξου στρατηγὸς ἦν τῶν κάτω, πρεσβευτὴς ἅμα μετ' αὐτῶν παρῆν· ἐπήγετο γὰρ καὶ ὁ Τισσαφέρνης τοὺς Πελοποννησίους, καὶ ὑπισχνεῖτο τροφὴν παρέξειν. Ὑπὸ βασιλέως γὰρ νεωστὶ ἐτύγχανε πεπραγμένος τοὺς ἐκ τῆς ἑαυτοῦ ἀρχῆς

l'intention de se détacher d'Athènes. Les Bœôtiens ayant fait cause commune avec eux, Agis fut alors d'avis de différer l'affaire de l'Eubœe, et facilita la défection des Lesbiens, en leur donnant pour harmoste Alcaménès, qui devait se rendre par mer en Eubœe; les Bœôtiens leur promirent dix vaisseaux, et Agis autant. Tout cela se faisait à l'insu de Lacédémone; en effet, Agis, tant qu'il occupa Décélie, ayant une armée à sa disposition, était maître d'envoyer des troupes là où il voulait, de faire des levées et d'exiger de l'argent. On peut même dire qu'à cette époque les alliés lui obéissaient bien plus qu'aux Lacédémoniens de Sparte; car, avec les forces qu'il avait à ses ordres, il pouvait aussitôt et partout se montrer formidable. Agis assista ainsi les Lesbiens.

Les peuples de Chios et d'Érythrée, qui se disposaient aussi à se révolter, au lieu de s'adresser à Agis, recoururent à Lacédémone. Avec eux vint aussi un ambassadeur de la part de Tissaphernes, gouverneur des provinces inférieures * pour le roi Darius, fils d'Artaxerxès; car de son côté Tissaphernes voulait amener à son parti les Péloponnésiens, et promettait de leur fournir des subsides. Tout récemment le Roi venait de lui demander les tributs de son gouvernement, dont Tissaphernes restait débiteur, ne pouvant, à cause des Athéniens, se faire payer des villes helléniques. Tissaphernes crut donc qu'en affaiblissant les Athéniens,

* Les provinces maritimes de l'Asie Mineure.

φόρους, οὓς δι' Ἀθηναίους ἀπὸ τῶν Ἑλληνίδων πόλεων οὐ δυνάμενος πράσσεσθαι ἐπωφείλησε· τούς τε οὖν φόρους μᾶλλον ἐνόμιζε κομιεῖσθαι κακώσας τοὺς Ἀθηναίους, καὶ ἅμα βασιλεῖ ξυμμάχους Λακεδαιμονίους ποιήσειν, καὶ Ἀμόργην τὸν Πισσούθνου υἱὸν νόθον, ἀφεστῶτα περὶ Καρίαν, ὥσπερ αὐτῷ προσέταξε βασιλεὺς, ἢ ζῶντα ἄξειν ἢ ἀποκτεῖναι. Οἱ μὲν οὖν Χῖοι καὶ Τισσαφέρνης κοινῇ κατὰ τὸ αὐτὸ ἔπρασσον·

ς΄. Καλλίγειτος δὲ ὁ Λαοφῶντος Μεγαρεὺς καὶ Τιμαγόρας ὁ Ἀθηναγόρου Κυζικηνὸς, φυγάδες τῆς ἑαυτῶν ἀμφότεροι παρὰ Φαρναβάζῳ τῷ Φαρνάκου κατοικοῦντες, ἀφικνοῦνται περὶ τὸν αὐτὸν καιρὸν ἐς τὴν Λακεδαίμονα, πέμψαντος Φαρναβάζου, ὅπως ναῦς κομίσειαν ἐς τὸν Ἑλλήσποντον, καὶ αὐτὸς, εἰ δύναιτο, ἅπερ ὁ Τισσαφέρνης προὐθυμεῖτο, τάς τε ἐν τῇ ἑαυτοῦ ἀρχῇ πόλεις ἀποστήσειε τῶν Ἀθηναίων διὰ τοὺς φόρους, καὶ ἀφ' ἑαυτοῦ βασιλεῖ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων ποιήσειε. Πρασσόντων δὲ ταῦτα χωρὶς ἑκατέρων, τῶν τε ἀπὸ τοῦ Φαρναβάζου καὶ τῶν ἀπὸ τοῦ Τισσαφέρνους, πολλὴ ἅμιλλα ἐγίγνετο τῶν ἐν τῇ Λακεδαίμονι, ὅπως οἱ μὲν ἐς τὴν Ἰωνίαν καὶ Χίον, οἱ δ' ἐς τὸν Ἑλλήσποντον πρότερον ναῦς καὶ στρατιὰν πείσουσι πέμπειν.

Οἱ μέντοι Λακεδαιμόνιοι τὰ τῶν Χίων καὶ Τισσαφέρνους παρὰ πολὺ προσεδέξαντο μᾶλλον· ξυνέπρασσε γὰρ αὐτοῖς καὶ Ἀλκιβιάδης, Ἐνδίῳ ἐφορεύοντι πατρικὸς ἐς τὰ μάλιστα

il pourrait plus aisément retirer ces tributs, et qu'en même temps il ferait entrer les Lacédémoniens dans l'alliance du Roi; enfin que, comme le Roi le lui avait ordonné, il amènerait vivant ou ferait périr Amorgès, bâtard de Pissouthnès, qui s'était révolté dans la Carie. C'est ainsi que les habitants de Chios et Tissaphernes négociaient de concert.

6. Calligeitos, fils de Laophôn de Mégare, et Timagoras, fils d'Athénagoras de Cyzique, tous deux exilés de leur patrie et résidant auprès de Pharnabaze, fils de Pharnaces, arrivèrent sur ces entrefaites à Lacédémone; Pharnabaze les y avait envoyés pour que les Lacédémoniens fissent passer une flotte dans l'Hellespont, tandis que lui-même tâcherait, s'il le pouvait (et c'était aussi le but des efforts de Tissaphernes), de détacher d'Athènes les villes de son gouvernement, pour en retirer les tributs, et d'engager par sa propre entremise les Lacédémoniens à s'allier avec le Roi. Comme les envoyés de Pharnabaze et ceux de Tissaphernes négociaient ces affaires chacun séparément, il y eut entre eux une grande rivalité à Lacédémone, où les uns tâchaient d'obtenir qu'on envoyât d'abord des vaisseaux et des troupes en Iônie et à Chios, les autres, dans l'Hellespont.

Les Lacédémoniens accueillirent d'autant plus favorablement les demandes de Chios et de Tissaphernes, qu'elles étaient soutenues aussi par Alcibiades, que des liens de la plus grande hospitalité unissaient de père en fils à l'éphore Endios; aussi leur maison avait-elle un nom

ξένος ὢν, ὅθεν καὶ τοὔνομα Λακωνικὸν ἡ οἰκία αὐτῶν κατὰ τὴν ξενίαν ἔσχεν· Ἔνδιος γὰρ Ἀλκιβιάδου ἐκαλεῖτο. Ὅμως δὲ οἱ Λακεδαιμόνιοι, πρῶτον κατάσκοπον ἐς τὴν Χίον πέμψαντες Φρῦνιν ἄνδρα περίοικον, εἰ αἵ τε νῆες αὐτοῖς εἰσὶν ὅσασπερ ἔλεγον, καὶ τἄλλα ἡ πόλις ἱκανή ἐστι πρὸς τὴν λεγομένην δόξαν, ἀπαγγείλαντος αὐτοῖς ὡς εἴη ταῦτα ἀληθῆ ἅπερ ἤκουον, τούς τε Χίους καὶ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο, καὶ τεσσαράκοντα ναῦς ἐψηφίσαντο αὐτοῖς πέμπειν, ὡς ἐκεῖ οὐκ ἔλασσον ἢ ἑξήκοντα ἀφ' ὧν οἱ Χῖοι ἔλεγον ὑπαρχουσῶν. Καὶ τὸ μὲν πρῶτον δέκα τούτων αὐτοὶ ἔμελλον πέμψειν, καὶ Μελαγχρίδαν, ὃς αὐτοῖς ναύαρχος ἦν, ἔπειτα, σεισμοῦ γενομένου, ἀντὶ τοῦ Μελαγχρίδου Χαλκιδέα ἔπεμπον, καὶ ἀντὶ τῶν δέκα νεῶν πέντε παρεσκευάζοντο ἐν τῇ Λακωνικῇ. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἑνὸς δέον εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

ζ΄. Ἅμα δὲ τῷ ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς ἐπειγομένων τῶν Χίων ἀποστεῖλαι τὰς ναῦς, καὶ δεδιότων μὴ οἱ Ἀθηναῖοι τὰ πρασσόμενα αἴσθωνται (πάντες γὰρ κρύφα αὐτῶν ἐπρεσβεύοντο), ἀποπέμπουσιν οἱ Λακεδαιμόνιοι ἐς Κόρινθον ἄνδρας Σπαρτιάτας τρεῖς, ὅπως ἀπὸ τῆς ἑτέρας θαλάσσης ὡς τάχιστα ἐπὶ τὴν πρὸς Ἀθήνας ὑπερενεγκόντες τὰς ναῦς τὸν ἰσθμὸν κελεύσωσι πλεῖν ἐς Χίον πάσας, καὶ ἃς ὁ Ἆγις παρεσκεύαζεν ἐς τὴν Λέσβον, καὶ τὰς ἄλλας· ἦσαν δὲ αἱ

lacédémonien, car Endios se nommait fils d'Alcibiades. Toutefois les Lacédémoniens envoyèrent d'abord à Chios un périœce, nommé Phrynis, pour reconnaître s'il y avait autant de vaisseaux que l'annonçaient les députés de cette ville, et si d'ailleurs sa puissance répondait à la renommée. Sur le rapport de l'émissaire, que tout ce qu'on leur avait dit à ce sujet était exact, ils s'allièrent aussitôt avec ceux de Chios et d'Érythrée, et décrétèrent de leur expédier quarante vaisseaux, vu que, d'après le récit des envoyés de Chios, il n'y en avait déjà pas moins de soixante. De ces quarante vaisseaux on allait d'abord leur en envoyer dix avec Mélanchridas pour commandant, lorsque survint un tremblement de terre : Mélanchridas fut remplacé par Chalcideus, et l'on équipa en Lacônie cinq vaisseaux au lieu de dix. L'hiver finit, ainsi que la dix-neuvième année de la guerre dont Thucydides a composé l'histoire.

7. Dès le printemps de l'été suivant, sur les instances de ceux de Chios de hâter l'envoi de la flotte, car ils craignaient que les Athéniens ne fussent informés de ces intrigues (toutes ces députations se faisaient à leur insu), les Lacédémoniens envoyèrent à Corinthe trois Spartiates pour faire transporter à la hâte, par-dessus l'isthme, les vaisseaux de la mer de Corinthe à la mer d'Athènes, et ordonner que tous les vaisseaux, tant ceux qu'Agis avait équipés pour Lesbos que les autres, se rendissent à

Vingtième année
Ol. 91, 4. A. C. 412.

ξύμπασαι τῶν ξυμμαχικῶν νῆες αὐτόθι μιᾶς δέουσαι τεσσαράκοντα.

η'. Ὁ μὲν οὖν Καλλίγειτος καὶ Τιμαγόρας ὑπὲρ τοῦ Φαρναβάζου οὐκ ἐκοινοῦντο τὸν στόλον ἐς τὴν Χίον, οὐδὲ τὰ χρήματα ἐδίδοσαν ἃ ἦλθον ἔχοντες ἐς τὴν ἀποστολὴν πέντε καὶ εἴκοσι τάλαντα, ἀλλ' ὕστερον ἐφ' ἑαυτῶν διενοοῦντο ἄλλῳ στόλῳ πλεῖν.

Ὁ δὲ Ἄγις, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους ἐς τὴν Χίον πρῶτον ὡρμημένους, οὐδ' αὐτὸς ἄλλο τι ἐγίγνωσκεν, ἀλλὰ ξυνελθόντες ἐς Κόρινθον οἱ ξύμμαχοι ἐβουλεύοντο καὶ ἔδοξε πρῶτον ἐς Χίον αὐτοῖς πλεῖν ἄρχοντα ἔχοντας Χαλκιδέα, ὃς ἐν τῇ Λακωνικῇ τὰς πέντε ναῦς παρεσκεύαζεν, ἔπειτα ἐς Λέσβον καὶ Ἀλκαμένην ἄρχοντα, ὅνπερ καὶ Ἄγις διενοεῖτο, τὸ τελευταῖον δὲ ἐς τὸν Ἑλλήσποντον ἀφικέσθαι (προσετέτακτο δὲ ἐς αὐτὸν ἄρχων Κλέαρχος ὁ Ῥαμφίου), διαφέρειν δὲ τὸν Ἰσθμὸν τὰς ἡμισείας τῶν νεῶν πρῶτον, καὶ εὐθὺς ταύτας ἀποπλεῖν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ἀφορμωμένας μᾶλλον τὸν νοῦν ἔχωσιν ἢ τὰς ὕστερον ἐπιδιαφερομένας. Καὶ γὰρ τὸν πλοῦν ταύτῃ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο, καταφρονήσαντες τῶν Ἀθηναίων ἀδυνασίαν, ὅτι ναυτικὸν οὐδὲν αὐτῶν πολύ πω ἐφαίνετο. Ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ διεκόμισαν εὐθὺς μίαν καὶ εἴκοσι ναῦς·

θ'. Οἱ δὲ Κορίνθιοι, ἐπειγομένων αὐτῶν τὸν πλοῦν, οὐ προὐθυμήθησαν ξυμπλεῖν πρὶν τὰ Ἴσθμια, ἃ τότε ἦν,

Chios. Il y avait en tout dans ces parages trente-neuf vaisseaux des villes alliées.

8. Mais Calligeitos et Timagoras, qui traitaient pour Pharnabaze, ne participèrent point à l'expédition de Chios, et ne livrèrent pas l'argent qu'ils avaient apporté pour l'équipement d'une flotte ; la somme était de vingt-cinq talents ; ils avaient l'intention d'agir plus tard avec une autre flotte dans un but personnel.

Agis, voyant les Lacédémoniens disposés à se diriger d'abord vers Chios, fut aussi du même avis ; les alliés, s'étant donc rassemblés à Corinthe, tinrent conseil, et il fut arrêté qu'on ferait voile d'abord pour Chios sous le commandement de Chalcideus, qui équipait les cinq vaisseaux en Lacônie ; ensuite qu'on passerait à Lesbos, en s'adjoignant pour commandant Alcaménès, désigné aussi par Agis ; enfin qu'on se rendrait dans l'Hellespont, où Cléarchos, fils de Rhamphias, avait été envoyé comme commandant. On décida aussi de transporter par l'Isthme, d'abord la moitié de la flotte, et de mettre en mer sans délai, pour que l'attention des Athéniens fût attirée plutôt sur les vaisseaux s'éloignant du rivage, que sur l'autre moitié qu'on transporterait ensuite. L'expédition se fit ouvertement de cet endroit, par mépris pour l'impuissance des Athéniens, dont aucune force navale considérable ne s'était montrée jusqu'alors. Dès que cette résolution fut prise, on transporta sur-le-champ vingt et un vaisseaux.

9. Les Lacédémoniens hâtaient l'expédition, mais les Corinthiens ne s'empressèrent pas d'y participer ; c'était l'époque des jeux Isthmiques, et ils voulaient les cé-

διεορτάσωσιν· Ἄγις δὲ αὐτοῖς ἑτοῖμος ἦν ἐκείνους μὲν μὴ λύειν δὴ τὰς Ἰσθμιάδας σπονδὰς, ἑαυτοῦ δὲ τὸν στόλον ἴδιον ποιήσασθαι. Οὐ ξυγχωρούντων δὲ τῶν Κορινθίων, ἀλλὰ διατριβῆς ἐγγιγνομένης, οἱ Ἀθηναῖοι ᾔσθοντο τὰ τῶν Χίων μᾶλλον, καὶ πέμψαντες ἕνα τῶν στρατηγῶν, Ἀριστοκράτην, ἐπῃτιῶντο αὐτοὺς, καὶ ἀρνουμένων τῶν Χίων, τὸ πιστὸν ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν· οἱ δ' ἔπεμψαν ἑπτά. Αἴτιον δ' ἐγένετο τῆς ἀποστολῆς τῶν νεῶν οἱ μὲν πολλοὶ τῶν Χίων οὐκ εἰδότες τὰ πρασσόμενα, οἱ δὲ ὀλίγοι καὶ ξυνειδότες τό τε πλῆθος οὐ βουλόμενοί πω πολέμιον ἔχειν, πρίν τι καὶ ἰσχυρὸν λάβωσι, καὶ τοὺς Πελοποννησίους οὐκέτι προσδεχόμενοι ἥξειν, ὅτι διέτριβον.

ι΄. Ἐν δὲ τούτῳ τὰ Ἴσθμια ἐγίγνετο, καὶ οἱ Ἀθηναῖοι (ἐπηγγέλθησαν γάρ) ἐθεώρουν ἐς αὐτὰ, καὶ κατάδηλα μᾶλλον αὐτοῖς τὰ τῶν Χίων ἐφάνη. Καὶ ἐπειδὴ ἀνεχώρησαν, παρεσκευάζοντο εὐθὺς ὅπως μὴ λήσουσιν αὐτοὺς αἱ νῆες ἐκ τῶν Κεγχρειῶν ἀφορμηθεῖσαι.

Οἱ δὲ μετὰ τὴν ἑορτὴν ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν Χίον, ἄρχοντα Ἀλκαμένη ἔχοντες. Καὶ αὐτοῖς οἱ Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ προσπλεύσαντες ὑπῆγον ἐς τὸ πέλαγος. Ὡς δ' ἐπὶ πολὺ οὐκ ἐπηκολούθησαν οἱ Πελοποννήσιοι, ἀλλ' ἀπετράποντο, ἐπανεχώρησαν καὶ οἱ Ἀθηναῖοι· τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν τῷ ἀριθμῷ μετὰ σφῶν ἔχον-

lébrer. Agis était disposé à leur permettre de ne pas rompre la trêve Isthmique, et de faire l'expédition en son nom. Comme les Corinthiens n'y consentaient pas, et que l'affaire traînait en longueur, les Athéniens mieux informés des intrigues de Chios, y envoyèrent Aristocratès, l'un de leurs généraux, pour s'en plaindre. Les Athéniens, sur la dénégation des habitants de Chios, leur demandèrent d'envoyer avec eux des vaisseaux aux alliés comme gage de fidélité. Ceux-ci leur en firent passer sept. Cet envoi fut fait dans l'ignorance où était le peuple à Chios de ce qui se tramait, et parce que les oligarques, instruits du complot, ne voulaient pas se rendre le peuple ennemi, avant d'avoir pris quelque garantie; d'ailleurs ils ne s'attendaient plus guère à l'arrivée des Péloponnésiens, qui tardaient à paraître.

10. Cependant on célébra les jeux Isthmiques, qui avaient été proclamés; les Athéniens y envoyèrent des Théories, et là leurs doutes sur les trames de Chios furent mieux éclaircis. A leur retour, ils prirent aussitôt des mesures pour ne pas laisser échapper les vaisseaux qui devaient partir de Cenchréæ.

Les Péloponnésiens, après la fête, s'embarquèrent pour Chios avec vingt et un vaisseaux commandés par Alcaménès. Les Athéniens, avec un pareil nombre de navires, s'avancèrent d'abord vers eux pour les attirer en haute mer : mais comme cette flotte péloponnésienne, sans les suivre plus loin, revint d'où elle était partie, les Athéniens se retirèrent aussi; car ils ne se fiaient pas aux sept vaisseaux de Chios, qu'ils avaient parmi les leurs. Plus tard, ayant renforcé leur flotte de [seize] autres voiles, ils poursuivirent avec ces trente-sept

τες οὐ πιστὰς ἐνόμιζον, ἀλλ' ὕστερον ἄλλας προσπληρώσαντες ἑπτὰ καὶ τριάκοντα, παραπλέοντας αὐτοὺς καταδιώκουσιν ἐς Πειραιὸν τῆς Κορινθίας· ἔστι δὲ λιμὴν ἐρῆμος καὶ ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπιδαυρίας. Καὶ μίαν μὲν ναῦν ἀπολλύασι μετέωρον οἱ Πελοποννήσιοι, τὰς δὲ ἄλλας ξυναγαγόντες ὁρμίζουσι· Καὶ προσβαλόντων τῶν Ἀθηναίων καὶ κατὰ θάλασσαν ταῖς ναυσὶ καὶ ἐς τὴν γῆν ἀποβάντων, θόρυβός τε ἐγένετο πολὺς καὶ ἄτακτος, καὶ τῶν τε νεῶν τὰς πλείους κατατραυματίζουσιν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι, καὶ τὸν ἄρχοντα Ἀλκαμένη ἀποκτείνουσι· καὶ αὐτῶν τινες ἀπέθανον·

ια'. Διακριθέντες δὲ πρὸς μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν ἐφορμεῖν ἱκανάς, ταῖς δὲ λοιπαῖς ἐς τὸ νησίδιον ὁρμίζονται, ἐν ᾧ οὐ πολὺ ἀπέχοντι ἐστρατοπεδεύοντο, καὶ ἐς τὰς Ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον. Παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε Κορίνθιοι βοηθοῦντες ἐπὶ τὰς ναῦς, καὶ οὐ πολλῷ ὕστερον καὶ οἱ ἄλλοι πρόσχωροι. Καὶ ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν ἠπόρουν. Καὶ ἐπενόησαν μὲν κατακαῦσαι τὰς ναῦς, ἔπειτα δὲ ἔδοξεν αὐτοῖς ἀνελκύσαι καὶ τῷ πεζῷ προσκαθημένους φυλακὴν ἔχειν, ἕως ἄν τις παρατύχῃ διαφυγὴ ἐπιτηδεία. Ἔπεμψε δ' αὐτοῖς καὶ Ἆγις, αἰσθόμενος ταῦτα, ἄνδρα Σπαρτιάτην Θέρμωνα. Τοῖς δὲ Λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη ὅτι αἱ νῆες ἀνηγμέναι εἰσὶν ἐκ τοῦ Ἰσθμοῦ (εἴρητο γάρ, ὅταν γένη-

vaisseaux jusqu'à Piræos en Corinthie la flotte péloponnésienne, qui longeait la côte : ce port abandonné est à l'extrémité des confins de l'Épidaurie. Les Péloponnésiens perdirent un vaisseau qui était au large, et rallièrent les autres, qu'ils conduisirent dans le port. Mais les Athéniens vinrent avec leur flotte les y combattre, et firent aussi une descente sur terre, ce qui causa un grand tumulte et du désordre. Les Athéniens fracassèrent la plupart des vaisseaux ennemis sur le rivage, et tuèrent le commandant Alcaménès; mais ils eurent quelques morts.

11. Les Athéniens, en s'éloignant de l'ennemi, avaient un nombre suffisant de vaisseaux pour bloquer sa flotte; avec le reste ils jetèrent l'ancre à l'îlot voisin, où ils campèrent; puis ils envoyèrent à Athènes demander du renfort; car le lendemain les Corinthiens, et peu après les autres peuples voisins vinrent au secours de la flotte péloponnésienne; mais, reconnaissant la difficulté qu'il y avait à la défendre sur une plage déserte, ils étaient fort en peine. Les Péloponnésiens pensèrent d'abord à brûler leurs vaisseaux; puis ils résolurent de les tirer à sec, et de faire camper auprès l'armée de terre pour les garder, jusqu'à ce qu'une occasion se présentât de s'échapper. De son côté, Agis, instruit de cette situation, leur envoya le Spartiate Thermôn. On venait d'être informé à Lacédémone que la flotte Péloponnésienne s'était éloignée de l'isthme; en effet les éphores avaient ordonné à Alcaménès de leur expédier un cavalier dès qu'elle partirait. Ils voulurent aussitôt envoyer les cinq vaisseaux équipés en Lacônie,

ται τοῦτο, Ἀλκαμένει ὑπὸ τῶν ἐφόρων ἱππέα πέμψαι), καὶ εὐθὺς τὰς παρὰ σφῶν πέντε ναῦς καὶ Χαλκιδέα ἄρχοντα καὶ Ἀλκιβιάδην μετ' αὐτοῦ ἐβούλοντο πέμπειν· ἔπειτα, ὡρμημένων αὐτῶν, τὰ περὶ τὴν ἐν τῷ Πειραιῷ τῶν νεῶν καταφυγὴν ἠγγέλθη, καὶ ἀθυμήσαντες, ὅτι πρῶτον ἁπτόμενοι τοῦ Ἰωνικοῦ πολέμου ἔπταισαν, τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι διενοοῦντο πέμπειν, ἀλλά καί τινας προανηγμένας μεταχαλεῖν.

ιβ'. Γνοὺς δὲ ὁ Ἀλκιβιάδης πείθει αὖθις Ἔνδιον καὶ τοὺς ἄλλους ἐφόρους μὴ ἀποκνῆσαι τὸν πλοῦν, λέγων ὅτι φθήσονταί τε πλεύσαντες πρὶν τὴν τῶν νεῶν ξυμφορὰν Χίους αἰσθέσθαι, καὶ αὐτὸς ὅτι, ἣν προσβάλῃ Ἰωνίᾳ, ῥᾳδίως πείσει τὰς πόλεις ἀφίστασθαι, τήν τε τῶν Ἀθηναίων ἀσθένειαν λέγων καὶ τὴν τῶν Λακεδαιμονίων προθυμίαν· πιστότερος γὰρ ἄλλων φανεῖσθαι. Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔλεγε καλὸν εἶναι δι' ἐκείνου ἀποστῆσαί τε Ἰωνίαν καὶ βασιλέα ξύμμαχον ποιῆσαι Λακεδαιμονίοις, καὶ μὴ Ἄγιδος τὸ ἀγώνισμα τοῦτο γενέσθαι· ἐτύγχανε γὰρ τῷ Ἄγιδι αὐτὸς διάφορος ὤν. Καὶ ὁ μὲν, πείσας τούς τε ἄλλους ἐφόρους καὶ Ἔνδιον, ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ Χαλκιδέως τοῦ Λακεδαιμονίου, καὶ διὰ τάχους τὸν πλοῦν ἐποιοῦντο.

ιγ'. Ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρόνον τοῦτον καὶ αἱ ἀπὸ τῆς Σικελίας Πελοποννησίων ἑκκαίδεκα νῆες αἱ μετὰ Γυλίππου ξυνδιαπολεμήσασαι, καὶ περὶ τὴν Λευκαδίαν

ainsi que Chalcideus pour commandant, accompagné d'Alcibiades; mais, à l'instant où ils allaient partir, on annonça que la flotte péloponnésienne s'était réfugiée à Piræos. Découragés par ce premier échec, dès l'ouverture de la guerre Iônique, ce n'était plus l'envoi des vaisseaux équipés chez eux qui les préoccupaient, c'était le rappel de ceux même déjà partis.

12. Instruit de cette résolution, Alcibiades persuada pour la seconde fois Endios et les autres éphores de ne pas différer l'expédition; il leur dit qu'elle arriverait à temps, avant qu'on connût à Chios le désastre de la flotte, et que lui-même, aussitôt abordé en Iônie, il engagerait aisément les villes à se révolter, en leur parlant de la faiblesse des Athéniens et du zèle des Lacédémoniens, et qu'on le croirait bien plus que tout autre. Il disait en particulier à Endios qu'il serait glorieux pour lui de faire révolter l'Iônie par son entremise, de procurer aux Lacédémoniens l'alliance du Roi, et de ne pas laisser Agis remporter un tel avantage. Alcibiades était ennemi d'Agis. Après avoir persuadé Endios et les autres éphores, il partit sur les cinq vaisseaux avec le Lacédémonien Chalcideus, et ils hâtèrent leur navigation.

13. Vers ce même temps revenaient de Sicile les seize vaisseaux péloponnésiens qui y avaient fait la guerre avec Gylippos. Surpris à la hauteur de Leucade et endommagés par les vingt-sept vaisseaux d'Athènes, que

ἀποληφθεῖσαι καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ καὶ εἴκοσι νεῶν, ὧν ἦρχεν Ἱπποκλῆς Μενίππου φυλακὴν ἔχων τῶν ἀπὸ τῆς Σικελίας νεῶν, αἱ λοιπαὶ πλὴν μιᾶς διαφυγοῦσαι τοὺς Ἀθηναίους κατέπλευσαν ἐς τὴν Κόρινθον.

ιδ'. Ὁ δὲ Χαλκιδεὺς καὶ ὁ Ἀλκιβιάδης πλέοντες ὅσοις τε ἐπιτύχοιεν ξυνελάμβανον τοῦ μὴ ἐξάγγελτοι γενέσθαι, καὶ προσβαλόντες πρῶτον Κωρύκῳ τῆς ἠπείρου καὶ ἀφέντες ἐνταῦθα αὐτούς, αὐτοὶ μὲν προξυγγενόμενοι τῶν ξυμπρασσόντων Χίων τισὶ καὶ κελευόντων καταπλεῖν μὴ προειπόντας ἐς τὴν πόλιν, ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις. Καὶ οἱ μὲν πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει· τοῖς δ' ὀλίγοις παρεσκεύαστο ὥστε βουλήν [τε] τυχεῖν ξυλλεγομένην, καί, γενομένων λόγων ἀπό τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου ὡς ἄλλαι [τε] νῆες πολλαὶ προσπλέουσι, καὶ τὰ περὶ τῆς πολιορκίας τῶν ἐν τῷ Πειραιῷ νεῶν οὐ δηλωσάντων, ἀφίστανται Χῖοι καὶ αὖθις Ἐρυθραῖοι Ἀθηναίων· Καὶ μετὰ ταῦτα τρισὶ ναυσὶ πλεύσαντες καὶ Κλαζομενὰς ἀφιστᾶσι. Διαβάντες τε εὐθὺς οἱ Κλαζομένιοι εἰς τὴν ἤπειρον τὴν Πολίχναν ἐτείχιζον, εἴ τι δέοι, σφίσιν αὐτοῖς ἐκ τῆς νησῖδος ἐν ᾗ οἰκοῦσι πρὸς ἀναχώρησιν. Καὶ οἱ μὲν ἀφεστῶτες ἐν τειχισμῷ τε πάντες ἦσαν καὶ παρασκευῇ πολέμου.

ιε'. Ἐς δὲ τὰς Ἀθήνας ταχὺ ἀγγελία τῆς Χίου ἀφικνεῖται· καὶ νομίσαντες μέγαν ἤδη καὶ σαφῆ τὸν κίνδυνον σφᾶς περιεστάναι, καὶ τοὺς λοιποὺς ξυμμάχους οὐκ ἐθελήσειν,

commandait Hippoclès, fils de Ménippos, chargé d'observer les bâtiments qui venaient de Sicile, tous, à l'exception d'un seul, échappèrent à cette croisière des Athéniens, et abordèrent à Corinthe.

14. Chalcideus et Alcibiades, dans leur traversée, interceptaient tous les bâtiments qu'ils rencontraient, de peur qu'on ne fût informé par eux de leur venue. Ils prirent terre d'abord à Côrycos sur le continent, et là ils relâchèrent les bâtiments qu'ils avaient arrêtés. Après une entrevue avec quelques-uns de leurs partisans de Chios, qui leur conseillaient d'aborder à leur ville, ils s'y présentèrent à l'improviste sans s'y faire annoncer. Le peuple fut dans l'étonnement et la consternation; mais les oligarques avaient pris leurs mesures pour que le sénat se tînt assemblé. Chalcideus et Alcibiades, y ayant annoncé qu'une autre flotte nombreuse allait arriver, sans toutefois faire mention des vaisseaux bloqués à Piræos, détachèrent d'Athènes les habitants de Chios et après eux les Érythræens; ensuite, avec trois vaisseaux, ils allèrent insurger aussi Clazoménæ, dont les habitants passèrent aussitôt sur le continent, où ils fortifièrent le faubourg, pour pouvoir, au besoin, s'y réfugier en abandonnant l'îlot qu'ils habitent. Tous ces peuples révoltés s'occupaient à construire des fortifications et se préparaient à la guerre.

15. Bientôt parvinrent à Athènes les nouvelles de Chios. Les Athéniens, se voyant dès lors menacés d'un péril si grand et si manifeste, et pensant que le reste de leurs alliés, après la défection d'une ville aussi considérable, ne voudrait plus rester tranquille, décrétèrent aussitôt, dans la frayeur du moment, d'équiper une

τῆς μεγίστης πόλεως μεθεστηκυίας, ἡσυχάζειν, τά τε χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο μὴ ἅψασθαι, εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι ὑπὸ τῆς παρούσης ἐκπλήξεως, καὶ ἐψηφίσαντο κινεῖν καὶ ναῦς πληροῦν οὐκ ὀλίγας, τῶν τε ἐν τῷ Πειραιῷ ἐφορμουσῶν τὰς μὲν ὀκτὼ ἤδη πέμπειν, αἳ, ἀπολιποῦσαι τὴν φυλακὴν, τὰς μετὰ Χαλκιδέως διώξασαι καὶ οὐ καταλαβοῦσαι, ἀνεκεχωρήκεσαν (ἦρχε δὲ αὐτῶν Στρομβιχίδης Διοτίμου), ἄλλας δὲ οὐ πολὺ ὕστερον βοηθεῖν δώδεκα μετὰ Θρασυκλέους, ἀπολιπούσας καὶ ταύτας τὴν ἐφόρμησιν. Τάς τε τῶν Χίων ἑπτὰ ναῦς, αἳ αὐτοῖς ξυνεπολιόρκουν τὰς ἐν τῷ Πειραιῷ, ἀπαγαγόντες, τοὺς μὲν δούλους ἐξ αὐτῶν ἠλευθέρωσαν, τοὺς δ' ἐλευθέρους κατέδησαν. Ἑτέρας δ' ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν ἐς τὴν ἐφόρμησιν τῶν Πελοποννησίων διὰ τάχους πληρώσαντες ἀντέπεμψαν, καὶ ἄλλας διενοοῦντο τριάκοντα πληροῦν. Καὶ πολλὴ ἦν ἡ προθυμία, καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον.

ις'. Ἐν δὲ τούτῳ Στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν ἀφικνεῖται ἐς Σάμον, καὶ προσλαβὼν Σαμίαν μίαν, ἔπλευσεν ἐς Τέων καὶ ἡσυχάζειν ἠξίου αὐτούς. Ἐκ δὲ τῆς Χίου ἐς τὴν Τέων καὶ ὁ Χαλκιδεὺς μετὰ τριῶν καὶ εἴκοσι νεῶν ἐπέπλει, καὶ ὁ πεζὸς ἅμα ὁ Κλαζομενίων καὶ Ἐρυθραίων παρῄει.

flotte nombreuse, d'employer les mille talents auxquels on s'était abstenu de toucher pendant toute cette guerre, et abrogèrent les peines imposées contre celui qui proposerait ou mettrait aux voix d'en faire usage. Ils décrétèrent aussi l'expédition immédiate de huit vaisseaux de la station devant Piræos, commandés par Strombichidès, fils de Diotimos, et qui après s'être détachés de la croisière pour poursuivre les vaisseaux qui étaient avec Chalcideus, y étaient de retour les ayant en vain cherchés : et peu après de les renforcer par douze autres vaisseaux, commandés par Thrasyclès, qui quitteraient aussi cette même croisière : ils rappelèrent aussi les sept bâtiments de Chios, qui concouraient à ce blocus de Piræos. Les esclaves qui s'y trouvaient furent mis en liberté, et les hommes libres aux fers. Pour remplacer le départ de tous ces bâtiments, d'autres furent équipés et envoyés bloquer les Péloponnésiens ; on songeait même à en équiper encore trente. Le zèle était extrême, et dans tous les préparatifs contre Chios on ne faisait rien que de grand.

16. Cependant Strombichidès, arrivé à Samos avec les huit vaisseaux, s'en adjoignit un de cette île, et partit pour Téôs, dont il invita les habitants à rester tranquilles. De son côté, Chalcideus cingla de Chios contre Téôs avec vingt-trois vaisseaux, tandis que l'armée de terre des Clazoméniens et des Érythræens s'avançait le long des côtes.

Προαισθόμενος δὲ ὁ Στρομβιχίδης ἐξανήγετο, καὶ μετεωρισθεὶς ἐν τῷ πελάγει, ὡς ἑώρα τὰς ναῦς πολλὰς τὰς ἀπὸ τῆς Χίου, φυγὴν ἐποιεῖτο ἐπὶ τῆς Σάμου· αἱ δὲ ἐδίωκον. Τὸν δὲ πεζὸν οἱ Τήϊοι τὸ πρῶτον οὐκ ἐσδεχόμενοι, ὡς ἔφυγον οἱ Ἀθηναῖοι, ἐσηγάγοντο. Καὶ ἐπέσχον μὲν οἱ πεζοὶ, καὶ Χαλκιδέα ἐκ τῆς διώξεως περιμένοντες· ὡς δὲ ἐχρόνιζε, καθήρουν αὐτοί τε τὸ τεῖχος, ὃ ἀνῳκοδόμησαν οἱ Ἀθηναῖοι τῆς Τηΐων πόλεως τὸ πρὸς ἤπειρον, ξυγκαθῄρουν δὲ αὐτοῖς καὶ τῶν βαρβάρων ἐπελθόντες οὐ πολλοὶ, ὧν ἦρχε Στάγης, ὕπαρχος Τισσαφέρνους.

ιζ΄. Χαλκιδεὺς δὲ καὶ Ἀλκιβιάδης, ὡς κατεδίωξαν ἐς Σάμον Στρομβιχίδην, ἐκ μὲν τῶν ἐκ Πελοποννήσου νεῶν τοὺς ναύτας ὁπλίσαντες, ἐν Χίῳ καταλιμπάνουσιν, ἀντιπληρώσαντες δὲ ταύτας τε ἐκ Χίου καὶ ἄλλας εἴκοσιν, ἔπλεον ἐς Μίλητον ὡς ἀποστήσοντες· ἐβούλετο γὰρ ὁ Ἀλκιβιάδης, ὢν ἐπιτήδειος τοῖς προεστῶσι τῶν Μιλησίων, φθάσαι τάς τε ἀπὸ τῆς Πελοποννήσου ναῦς προσαγαγόμενος αὐτοὺς, καὶ τοῖς Χίοις καὶ ἑαυτῷ καὶ Χαλκιδεῖ καὶ τῷ ἀποστείλαντι Ἐνδίῳ, ὥσπερ ὑπέσχετο, τὸ ἀγώνισμα προσθεῖναι, ὅτι πλείστας τῶν πόλεων μετὰ τῆς Χίων δυνάμεως καὶ Χαλκιδέως ἀποστήσας. Λαθόντες οὖν τὸ πλεῖστον τοῦ πλοῦ, καὶ φθάσαντες οὐ πολὺ τόν τε Στρομβιχίδην καὶ τὸν Θρασυκλέα, ὃς ἔτυχεν ἐκ τῶν Ἀθηνῶν δώδεκα ναυσὶν ἄρτι παρὼν καὶ ξυνδιώκων, ἀφιστᾶσι τὴν Μίλητον. Καὶ οἱ Ἀθη-

Prévenu à temps, Strombichidès mit à la voile, et gagna le large; mais, à la vue du nombre des vaisseaux qui venaient de Chios, il se réfugia à Samos. L'ennemi l'y poursuivit. Ceux de Téôs refusèrent d'abord d'accueillir l'armée de terre; mais après la fuite des Athéniens, ils lui permirent d'entrer. L'armée de terre resta dans l'inaction, en attendant le retour de Chalcideus: cependant comme il tardait à paraître, elle se mit à abattre le mur que les Athéniens avaient élevé à Téôs du côté du continent. Un petit nombre de Barbares, qui arrivèrent, commandés par Stages, lieutenant de Tissaphernes, aidèrent les Téiens à démolir la muraille.

17. Chalcideus et Alcibiades, après avoir poursuivi Strombichidès jusqu'à Samos, armèrent les matelots de la flotte du Péloponnèse, les laissèrent à Chios, les remplacèrent par des matelots de cette île, équipèrent encore vingt autres vaisseaux, et se dirigèrent vers Milet pour l'insurger. Alcibiades, par ses liaisons avec les principaux de cette ville, voulait, avant l'arrivée de la flotte du Péloponnèse, l'attirer au parti de Lacédémone, et procurer cet avantage à Chios et à lui-même, ainsi qu'à Chalcideus et à Endios, qui l'avait envoyé sur sa promesse d'insurger le plus de villes possible avec l'aide de Chalcideus et les forces de Chios. Ainsi donc, dérobant leur marche pendant la plus grande partie de la traversée, Chalcideus et Alcibiades devancèrent de peu Strombichidès et Thrasyclès (celui-ci venait d'arriver d'Athènes avec douze vaisseaux et s'était mis avec Strombichidès à leur poursuite), et ils firent révolter Milet. Les Athéniens, qui les suivaient de près avec dix-neuf bâtiments, n'ayant pas été reçus par les Milésiens, sta-

ναῖοι κατὰ πόδας μιᾶς δεούσαις εἴκοσι ναυσὶν ἐπιπλεύσαντες, ὡς αὐτοὺς οὐκ ἐδέχοντο οἱ Μιλήσιοι, ἐν Λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν. Καὶ ἡ πρὸς βασιλέα ξυμμαχία Λακεδαιμονίοις ἡ πρώτη, Μιλησίων εὐθὺς ἀποστάντων, διὰ Τισσαφέρνους καὶ Χαλκιδέως ἐγένετο ἥδε·

ιη'. « Ἐπὶ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ Τισσαφέρνην Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι·

Ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον, βασιλέως ἔστω.

Καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα Ἀθηναίοις ἐφοίτα χρήματα ἢ ἄλλο τι, κωλυόντων κοινῇ βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ὅπως μήτε χρήματα λαμβάνωσιν Ἀθηναῖοι μήτε ἄλλο μηδέν.

Καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ κατάλυσιν τοῦ πολέμου πρὸς Ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι, ἢν μὴ ἀμφοτέροις δοκῇ, βασιλεῖ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις.

Ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως, πολέμιοι ἔστων καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις.

Καὶ ἤν τινες ἀφιστῶνται ἀπὸ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων, πολέμιοι ἔστων βασιλεῖ κατὰ ταὐτά. »

ιθ'. Ἡ μὲν ξυμμαχία αὕτη ἐγένετο· μετὰ δὲ τοῦτο οἱ Χῖοι εὐθὺς, δέκα ἑτέρας πληρώσαντες ναῦς, ἔπλευσαν ἐς

tionnèrent à Ladé, île adjacente. Ce fut aussitôt après la révolte des Milésiens que fut conclue, dans les termes suivants, la première alliance des Lacédémoniens avec le Roi, par l'entremise de Tissaphernes et de Chalcideus :

18. « Les Lacédémoniens et leurs alliés ont conclu une alliance avec le Roi et avec Tissaphernes, aux conditions suivantes :

Tout le pays et les villes que possède le Roi, et que possédaient ses ancêtres, resteront au Roi.

Le Roi, les Lacédémoniens et leurs alliés empêcheront en commun les Athéniens de recevoir désormais rien de ce qui leur revenait de ces villes, soit en argent, soit en toute autre chose.

Le Roi, les Lacédémoniens et leurs alliés feront en commun la guerre aux Athéniens; il ne sera permis ni au Roi, ni aux Lacédémoniens, ni aux alliés, de faire la paix avec les Athéniens sans l'aveu des deux parties contractantes, du Roi d'un côté, et des Lacédémoniens et de leurs alliés de l'autre.

Si des sujets du Roi se révoltent contre lui, ils seront ennemis et des Lacédémoniens et des alliés.

Si des sujets de Lacédémone et de ses alliés se révoltent contre eux, ils seront également ennemis du Roi. »

19. Telles furent les conditions de l'alliance. Aussitôt après, les habitants de Chios équipèrent dix autres bâtiments, et voguèrent vers Anæa pour s'informer des af-

Ἄναια, βουλόμενοι περί τε τῶν ἐν Μιλήτῳ πυθέσθαι καὶ τὰς πόλεις ἅμα ἀφιστάναι. Καὶ ἐλθούσης παρὰ Χαλκιδέως ἀγγελίας αὐτοῖς ἀποπλεῖν πάλιν, καὶ ὅτι Ἀμόργης παρέσται κατὰ γῆν στρατιᾷ, ἔπλευσαν ἐς Διὸς ἱερόν· καὶ καθορῶσιν ἑκκαίδεκα ναῦς, ἃς ὕστερον ἔτι Θρασυκλέους Διομέδων ἔχων ἀπ' Ἀθηνῶν προσέπλει. Καὶ ὡς εἶδον, ἔφευγον μιᾷ μὲν νηὶ ἐς Ἔφεσον, αἱ δὲ λοιπαὶ ἐπὶ τῆς Τέω. Καὶ τέσσαρας μὲν κενὰς οἱ Ἀθηναῖοι λαμβάνουσι, τῶν ἀνδρῶν ἐς τὴν γῆν φθασάντων· αἱ δ' ἄλλαι ἐς τὴν Τηΐων πόλιν καταφεύγουσι. Καὶ οἱ μὲν Ἀθηναῖοι ἐπὶ τῆς Σάμου ἀπέπλευσαν, οἱ δὲ Χῖοι, ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι, καὶ ὁ πεζὸς μετ' αὐτῶν, Λέβεδον ἀπέστησαν καὶ αὖθις Ἐράς. Καὶ μετὰ τοῦτο ἕκαστοι ἐπ' οἴκου ἀπεκομίσθησαν, καὶ ὁ πεζὸς καὶ αἱ νῆες.

κ΄. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους αἱ ἐν τῷ Πειραιῷ εἴκοσι νῆες τῶν Πελοποννησίων, καταδιωχθεῖσαι τότε καὶ ἐφορμούμεναι ἴσῳ ἀριθμῷ ὑπὸ Ἀθηναίων, ἐπέκπλουν ποιησάμεναι αἰφνίδιον, καὶ κρατήσασαι ναυμαχίᾳ, τέσσαράς τε ναῦς λαμβάνουσι τῶν Ἀθηναίων, καὶ ἀποπλεύσασαι ἐς Κεγχρειὰς τὸν ἐς τὴν Χίον καὶ τὴν Ἰωνίαν πλοῦν αὖθις παρεσκευάζοντο. Καὶ ναύαρχος αὐτοῖς ἐκ Λακεδαίμονος Ἀστύοχος ἐπῆλθεν, ᾧπερ ἐγίγνετο ἤδη πᾶσα ἡ ναυαρχία.

Ἀναχωρήσαντος δὲ τοῦ ἐκ τῆς Τέω πεζοῦ, καὶ Τισσαφέρνης αὐτὸς στρατιᾷ παραγενόμενος καὶ ἐπικαθελὼν τὸ ἐν τῇ Τέῳ

faires de Milet, et en même temps pour insurger les villes. Un message de la part de Chalcideus leur ayant mandé de revenir, et qu'Amorgès allait arriver avec son armée, ils cinglèrent vers Dios hiéron (Temple de Jupiter) et aperçurent seize vaisseaux, commandés par Diomédôn, parti d'Athènes après le départ de Thrasyclès. A cette vue, les vaisseaux de Chios s'enfuirent, l'un d'eux à Éphèse, les autres vers Téôs. Les Athéniens en prirent quatre vides, dont les équipages avaient eu le temps de se sauver à terre; le reste des vaisseaux se réfugia dans la ville de Téôs. Les Athéniens firent voile pour Samos : ceux de Chios mirent en mer avec le reste de leurs bâtiments; l'armée les suivit par terre. Ils insurgèrent Lébédos, ensuite Éræ ; cela fait, tous revinrent chez eux, et l'armée de terre et la flotte.

20. Cependant les vingt navires du Péloponnèse, réfugiés précédemment à Piræos, et bloqués par les Athéniens avec un nombre égal de vaisseaux, firent une sortie soudaine, eurent l'avantage dans le combat, prirent quatre vaisseaux des Athéniens, cinglèrent vers Cenchréæ, et préparèrent une seconde expédition pour Chios et pour l'Iônie. Astyochos vint de Lacédémone pour les commander; ce fut à lui qu'appartint alors la suprême autorité sur la flotte.

Après que l'armée de terre eut quitté Téôs, Tissaphernes y vint lui-même avec des troupes, acheva de démolir ce qui restait de la muraille, et s'en retourna.

τεῖχος, εἴ τι ὑπελείφθη, ἀνεχώρησε. Καὶ Διομέδων, ἀπελθόντος αὐτοῦ, οὐ πολὺ ὕστερον δέκα ναυσὶν Ἀθηναίων ἀφικόμενος, ἐσπείσατο Τηΐοις ὥστε δέχεσθαι καὶ σφᾶς. Καὶ παραπλεύσας ἐπὶ Ἐρὰς καὶ προσβαλὼν, ὡς οὐκ ἐλάμβανε τὴν πόλιν, ἀπέπλευσεν.

κα'. Ἐγένετο δὲ κατὰ τὸν χρόνον τοῦτον καὶ ἡ ἐν Σάμῳ ἐπανάστασις τοῦ δήμου τοῖς δυνατοῖς μετὰ Ἀθηναίων, οἳ ἔτυχον ἐν τρισὶ ναυσὶ παρόντες. Καὶ ὁ δῆμος ὁ Σαμίων ἐς διακοσίους μέν τινας τοὺς πάντας τῶν δυνατῶν ἀπέκτεινε, τετρακοσίους δὲ φυγῇ ζημιώσαντες καὶ αὐτοὶ τὴν γῆν αὐτῶν καὶ οἰκίας νειμάμενοι, Ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα ὡς βεβαίοις ἤδη ψηφισαμένων, τὰ λοιπὰ διῴκουν τὴν πόλιν, καὶ τοῖς γεωμόροις μετεδίδοσαν οὔτε ἄλλου οὐδενὸς, οὔτε ἐκδοῦναι οὐδ' ἀγαγέσθαι παρ' ἐκείνων οὐδ' ἐς ἐκείνους οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν.

κβ'. Μετὰ δὲ ταῦτα τοῦ αὐτοῦ θέρους οἱ Χῖοι, ὥσπερ ἤρξαντο, οὐδὲν ἀπολείποντες προθυμίας, ἄνευ τε Πελοποννησίων πλήθει παρόντες ἀποστῆσαι τὰς πόλεις, καὶ βουλόμενοι ἅμα ὡς πλείστους σφίσι ξυγκινδυνεύειν, στρατεύονται αὐτοί τε τρισκαίδεκα ναυσὶν ἐπὶ τὴν Λέσβον, ὥσπερ εἴρητο ὑπὸ τῶν Λακεδαιμονίων δεύτερον ἐπ' αὐτὴν ἰέναι καὶ ἐκεῖθεν ἐπὶ τὸν Ἑλλήσποντον, καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῄει ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης· ἦρχε δ' αὐτοῦ

Peu après son départ, arriva Diomédôn avec dix vaisseaux d'Athènes; il convint avec les Téiens que ses troupes seraient admises chez eux; de là il se rendit en côtoyant à Éræ, l'attaqua, et s'en éloigna sans avoir pu la prendre.

21. Vers le même temps survint à Samos la révolte du peuple contre les puissants; elle fut secondée par des Athéniens qui s'y trouvaient avec trois vaisseaux. Le peuple de Samos égorgea environ deux cents puissants, en exila quatre cents, se partagéa leurs terres et leurs maisons; après quoi les Samiens, à qui l'autonomie avait été accordée par les Athéniens, comme à des hommes qui dès lors leur étaient dévoués, prirent toute l'administration de la ville, et ne firent aucune concession aux géômores *, auxquels il fut interdit de donner leurs enfants en mariage à aucun homme du peuple, ni au peuple de s'allier à eux.

* Grands propriétaires.

22. Après cela, et le même été, ceux de Chios, même sans le secours des Péloponnésiens, et toujours animés de la même ardeur continuèrent à se présenter, en grand nombre, pour soulever les villes, voulant en même temps en engager le plus qu'ils pourraient dans leur propre péril. Ils firent eux-mêmes une expédition contre Lesbos avec treize vaisseaux, d'après la décision prise par les Lacédémoniens de s'y rendre en second lieu, puis de là dans l'Hellespont. En même temps, tout ce qui se trouvait en ces lieux en troupes de terre tant des Péloponnésiens que de leurs alliés s'avançait le long des côtes vers

Εὐάλας Σπαρτιάτης, τῶν δὲ νεῶν Δεινιάδας περίοικος. Καὶ αἱ μὲν νῆες καταπλεύσασαι Μήθυμναν πρῶτον ἀφιστᾶσι, καὶ καταλείπονται τέσσαρες νῆες ἐν αὐτῇ· καὶ αὖθις αἱ λοιπαὶ Μυτιλήνην ἀφιστᾶσιν.

κγ'. Ἀστύοχος δὲ ὁ Λακεδαιμόνιος ναύαρχος τέσσαρσι ναυσὶν, ὥσπερ ὥρμητο, πλέων ἐκ τῶν Κεγχρειῶν ἀφικνεῖται ἐς Χίον. Καὶ τρίτην ἡμέραν αὐτοῦ ἥκοντος, αἱ Ἀττικαὶ νῆες πέντε καὶ εἴκοσιν ἔπλεον ἐς Λέσβον, ὧν ἦρχε Λέων καὶ Διομέδων· Λέων γὰρ ὕστερον δέκα ναυσὶ προσεβοήθησεν ἐκ τῶν Ἀθηνῶν. Ἀναγαγόμενος δὲ καὶ ὁ Ἀστύοχος τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψὲ, καὶ προσλαβὼν Χίαν ναῦν μίαν, ἔπλει ἐς τὴν Λέσβον, ὅπως ὠφελοίη, εἴ τι δύναιτο. Καὶ ἀφικνεῖται ἐς τὴν Πύῤῥαν, ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς Ἔρεσον, ἔνθα πυνθάνεται, ὅτι ἡ Μυτιλήνη ὑπὸ τῶν Ἀθηναίων αὐτοβοεὶ ἑάλωκεν· οἱ γὰρ Ἀθηναῖοι, ὥσπερ ἔπλεον, ἀπροσδόκητοι κατασχόντες ἐς τὸν λιμένα, τῶν τε Χίων νεῶν ἐκράτησαν, καὶ ἀποβάντες, τοὺς ἀντιστάντας μάχῃ νικήσαντες, τὴν πόλιν ἔσχον.

Ἃ πυνθανόμενος ὁ Ἀστύοχος τῶν τε Ἐρεσίων καὶ τῶν ἐκ τῆς Μηθύμνης μετ' Εὐβούλου Χίων νεῶν, αἳ τότε καταλειφθεῖσαι καὶ, ὡς ἡ Μυτιλήνη ἑάλω, φεύγουσαι, περιέτυχον αὐτῷ τρεῖς (μία γὰρ ἑάλω ὑπὸ τῶν Ἀθηναίων), οὐκέτι ἐπὶ τὴν Μυτιλήνην ὥρμησεν, ἀλλὰ, τὴν Ἔρεσον ἀποστήσας καὶ ὁπλίσας, καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν

Clazoménæ et Cume. Le Spartiate Évalas commandait l'armée, et le périœce Deiniadas la flotte (de Chios). Ces vaisseaux abordèrent à Lesbos, insurgèrent d'abord Méthymne, où on laissa quatre vaisseaux; le reste de la flotte fit aussi révolter Mytilène.

23. Astyochos, commandant de la flotte lacédémonienne, partit de Cenchréæ avec quatre vaisseaux, et vint à Chios, selon sa destination. Le surlendemain de son arrivée, abordèrent à Lesbos les vingt-cinq vaisseaux d'Athènes, commandés par Léôn et Diomédôn; Léôn, parti d'Athènes après son collègue, avait amené un renfort de dix bâtiments. De son côté, Astyochos mit en mer le même jour vers le soir, s'adjoignit un vaisseau de Chios, et cingla vers Lesbos pour la secourir de son mieux; puis il se rendit à Pyrrhe, et de là, le lendemain, à Érésos, où il apprit que Mytilène avait été prise d'emblée par les Athéniens qui survenus inopinément entrèrent dans le port de Mytilène, s'emparèrent des vaisseaux de Chios, débarquèrent, défirent dans un combat tous ceux qui leur résistèrent, et se rendirent maîtres de la ville.

Astyochos apprit cette nouvelle par les Érésiens et par les vaisseaux Chiotes arrivés de Méthymne avec Euboulos; de ces vaisseaux, qui avaient été laissés à Méthymne et qui, après la prise de Mytilène, avaient pris la fuite, l'un fut pris par les Athéniens, et les trois autres purent alors rejoindre Astyochos. Il renonça donc à se rendre à Mytilène; mais, ayant insurgé Érésos dont il arma les

ὁπλίτας πεζῇ παραπέμπει ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, ἄρχοντα Ἐτεόνικον προστάξας· καὶ αὐτὸς ταῖς τε μεθ' ἑαυτοῦ ναυσὶ καὶ ταῖς τρισὶ ταῖς Χίαις παρέπλει, ἐλπίζων τοὺς Μηθυμναίους θαρσήσειν τε ἰδόντας σφᾶς καὶ ἐμμενεῖν τῇ ἀποστάσει. Ὡς δὲ αὐτῷ τὰ ἐν τῇ Λέσβῳ πάντα ἠναντιοῦτο, ἀπέπλευσε τὸν ἑαυτοῦ στρατὸν ἀναλαβὼν ἐς τὴν Χίον.

Ἀπεκομίσθη δὲ πάλιν κατὰ πόλεις καὶ ὁ ἀπὸ τῶν νεῶν πεζὸς, ὃς ἐπὶ τὸν Ἑλλήσποντον ἐμέλλησεν ἰέναι.

Καὶ ἀπὸ τῶν ἐν Κεγχρειᾷ ξυμμαχίδων Πελοποννησίων νεῶν ἀφικνοῦνται αὐτοῖς ἓξ μετὰ ταῦτα ἐς τὴν Χίον. Οἱ δὲ Ἀθηναῖοι τά τε ἐν τῇ Λέσβῳ πάλιν κατεστήσαντο, καὶ πλεύσαντες ἐξ αὐτῆς, Κλαζομενίων τὴν ἐν τῇ ἠπείρῳ Πολίχναν τειχιζομένην ἑλόντες, διεκόμισαν πάλιν αὐτοὺς ἐς τὴν ἐν τῇ νήσῳ πόλιν, πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως· οὗτοι δὲ ἐς Δαφνοῦντα ἀπῆλθον. Καὶ αὖθις Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις.

κδ'. Τοῦ δ' αὐτοῦ θέρους οἵ τ' ἐπὶ Μιλήτῳ Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν ἐν τῇ Λάδῃ ἐφορμοῦντες, ἀπόβασιν ποιησάμενοι ἐς Πάνορμον τῆς Μιλησίας, Χαλκιδέα τε τὸν Λακεδαιμόνιον ἄρχοντα, μετ' ὀλίγων παραβοηθήσαντα, ἀποκτείνουσι, καὶ τροπαῖον τρίτῃ ἡμέρᾳ ὕστερον διαπλεύσαντες ἔστησαν, ὃ οἱ Μιλήσιοι, ὡς οὐ μετὰ κράτους τῆς γῆς σταθὲν, ἀνεῖλον.

habitans, envoya par terre à Antisse et à Méthymne les hoplites de sa flotte, avec Étéonicos, qu'il mit à leur tête, et lui-même s'y rendit avec sa flotte et les trois vaisseaux de Chios : il espérait qu'à sa vue les Méthymnæens reprendraient courage, et persisteraient dans la révolte. Mais comme tout lui était contraire à Lesbos, il rembarqua son armée et fit voile pour Chios.

De leur côté, les troupes de terre qui étaient sur la flotte péloponnésienne et qui devaient se rendre à l'Hellespont, s'en retournèrent dans leurs villes.

Ensuite six vaisseaux de la flotte péloponnésienne alliée, qui était à Cenchréæ, allèrent à Chios pour en secourir les habitants. Les Athéniens rétablirent à Lesbos le premier état des choses, quittèrent cette île, s'emparèrent du faubourg que les Clazoméniens fortifiaient sur le continent, et les ramenèrent dans la ville située sur l'île, à l'exception des auteurs de la révolte; ceux-ci se réfugièrent à Daphnous, et derechef Clazoménæ se soumit aux Athéniens.

24. Le même été, les Athéniens qui stationnaient à Ladé avec les vingt vaisseaux pour bloquer Milet, firent une descente à Panormos sur le territoire Milésien, tuèrent Chalcideus, le commandant lacédémonien, qui était survenu au secours avec une petite troupe, et le surlendemain ils revinrent de l'île (Ladé) pour élever un trophée, que les Milésiens renversèrent, pour avoir été érigé sans qu'on se fût rendu maître du pays.

Καὶ Λέων καὶ Διομέδων ἔχοντες τὰς ἐκ Λέσβου Ἀθηναίων ναῦς, ἔκ τε Οἰνουσσῶν τῶν πρὸ Χίου νήσων καὶ ἐκ Σιδούσσης καὶ ἐκ Πτελεοῦ, ἃ ἐν τῇ Ἐρυθραίᾳ· εἶχον τείχη, καὶ ἐκ τῆς Λέσβου ὁρμώμενοι τὸν πρὸς τοὺς Χίους πόλεμον ἀπὸ τῶν νεῶν ἐποιοῦντο· εἶχον δ' ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου ἀναγκαστούς. Καὶ ἔν τε Καρδαμύλῃ ἀποβάντες καὶ ἐν Βολίσκῳ τοὺς προσβοηθήσαντας τῶν Χίων μάχῃ νικήσαντες καὶ πολλοὺς διαφθείραντες, ἀνάστατα ἐποίησαν τὰ ταύτῃ χωρία, καὶ ἐν Φάναις αὖθις ἄλλῃ μάχῃ ἐνίκησαν, καὶ τρίτῃ ἐν Λευκωνίῳ. Καὶ μετὰ τοῦτο οἱ μὲν Χῖοι ἤδη οὐκέτι ἐπεξῆσαν, οἱ δὲ τὴν χώραν καλῶς κατεσκευασμένην καὶ ἀπαθῆ οὖσαν ἀπὸ τῶν Μηδικῶν μέχρι τότε διεπόρθησαν. Χῖοι γὰρ μόνοι μετὰ Λακεδαιμονίους ὧν ἐγὼ ᾐσθόμην ηὐδαιμόνησάν τε ἅμα καὶ ἐσωφρόνησαν, καὶ ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο ἐχυρώτερον. Καὶ οὐδ' αὐτὴν τὴν ἀπόστασιν, εἰ τοῦτο δοκοῦσι παρὰ τὸ ἀσφαλέστερον πρᾶξαι, πρότερον ἐτόλμησαν ποιήσασθαι ἢ μετὰ πολλῶν τε κἀγαθῶν ξυμμάχων ἔμελλον ξυγκινδυνεύσειν, καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ τὴν Σικελικὴν ξυμφορὰν ὡς οὐ πάνυ πονηρὰ σφῶν βεβαίως τὰ πράγματα εἴη· εἰ δέ τι ἐν τοῖς ἀνθρωπείοις τοῦ βίου παραλόγοις ἐσφάλησαν, μετὰ πολλῶν οἷς ταὐτὰ ἔδοξε, τὰ τῶν Ἀθηναίων ταχὺ ξυναναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν.

Léôn et Diomédôn, commandants de la flotte athénienne de Lesbos, se servaient comme d'un point de départ des îles OEnussæ, en face de Chios, ainsi que de Sidousse, de Ptéléon, villes fortifiées sur le territoire Érythræen, et de Lesbos, pour faire à Chios une guerre maritime ; ils avaient comme soldats de marine des hoplites enrôlés, forcés de servir à bord des vaisseaux. Ils descendirent à Cardamyle et à Boliscos, battirent ceux de Chios, qui s'étaient avancés contre eux, en tuèrent un grand nombre, et dévastèrent le pays environnant; ils remportèrent encore une autre victoire à Phanæ, et une troisième à Leucônion. Après ces événements, les troupes de Chios n'osèrent plus sortir contre l'ennemi, et les Athéniens ravagèrent la campagne, qui était florissante et n'avait jamais souffert depuis la guerre Médique. Les habitants de Chios sont en effet, après les Lacédémoniens, le seul peuple que je connaisse, qui ait été heureux et sage en même temps : plus leur ville acquérait d'importance, plus elle s'affermissait par le bon ordre; et cette révolte même (s'ils paraissent en cela avoir agi contre leur sûreté), ils n'osèrent la faire qu'après avoir associé à leurs périls des alliés nombreux et braves, et reconnu que les Athéniens eux-mêmes, depuis leurs revers en Sicile, reconnaissaient que leur situation était des plus déplorable. Si donc, par un de ces mécomptes qui dans la vie sont inhérents à la nature humaine, ils éprouvèrent quelque échec, c'est qu'ils partagèrent avec bien d'autres l'erreur où ils étaient que la puissance d'Athènes allait bientôt s'écrouler.

Εἰργομένοις δ' οὖν αὐτοῖς τῆς θαλάσσης καὶ κατὰ γῆν πορθουμένοις ἐνεχείρησάν τινες πρὸς Ἀθηναίους ἀγαγεῖν τὴν πόλιν· οὓς αἰσθόμενοι οἱ ἄρχοντες αὐτοὶ μὲν ἡσύχασαν, Ἀστύοχον δὲ ἐξ Ἐρυθρῶν τὸν ναύαρχον μετὰ τεσσάρων νεῶν, αἳ παρῆσαν αὐτῷ, κομίσαντες, ἐσκόπουν ὅπως μετριώτατα ἢ ὁμήρων λήψει ἢ ἄλλῳ τῳ τρόπῳ καταπαύσουσι τὴν ἐπιβουλήν. Καὶ οἱ μὲν ταῦτα ἔπρασσον.

κε'. Ἐκ δὲ τῶν Ἀθηνῶν τοῦ αὐτοῦ θέρους τελευτῶντος χίλιοι ὁπλῖται τῶν Ἀθηναίων καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων (τοὺς γὰρ πεντακοσίους τῶν Ἀργείων ψιλοὺς ὄντας ὥπλισαν οἱ Ἀθηναῖοι) καὶ χίλιοι τῶν ξυμμάχων ναυσὶ δυοῖν δεούσαις πεντήκοντα, ὧν ἦσαν καὶ ὁπλιταγωγοί, Φρυνίχου καὶ Ὀνομακλέους καὶ Σκιρωνίδου στρατηγούντων, κατέπλευσαν ἐς Σάμον, καὶ διαβάντες ἐς Μίλητον, ἐστρατοπεδεύσαντο. Μιλήσιοι δὲ ἐξελθόντες αὐτοί τε, ὀκτακόσιοι ὁπλῖται, καὶ οἱ μετὰ Χαλκιδέως ἐλθόντες Πελοποννήσιοι καὶ Τισσαφέρνους τι ξενικὸν ἐπικουρικὸν καὶ αὐτὸς Τισσαφέρνης παρὼν καὶ ἡ ἵππος αὐτοῦ ξυνέβαλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις. Καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρᾳ προεξάξαντες καὶ καταφρονήσαντες, ὡς ἐπὶ Ἴωνάς τε καὶ οὐ δεξομένους ἀτακτότερον χωροῦντες, νικῶνται ὑπὸ τῶν Μιλησίων, καὶ διαφθείρονται αὐτῶν ὀλίγῳ ἐλάσσους τριακοσίων ἀνδρῶν· Ἀθηναῖοι δὲ τούς τε Πελοποννησίους πρώτους νικήσαντες καὶ τοὺς βαρβάρους καὶ

Ils se voyaient donc exclus de la mer, et pillés par terre, quand quelques-uns d'entre eux entreprirent de remettre la ville aux Athéniens. Les magistrats qui s'en aperçurent, ne voulurent pas agir d'eux-mêmes; mais, ayant fait venir d'Érythræ le navarque Astyochos avec quatre vaisseaux qu'il avait avec lui, ils se consultèrent sur les moyens les moins violents de s'opposer à ces manœuvres, soit en prenant des otages, soit autrement. Voilà ce dont on s'occupait à Chios.

25. Vers la fin du même été, mille hoplites d'Athènes, mille cinq cents d'Argos (ces cinq cents Argéens, d'abord troupes légères, avaient été armés en hoplites par les Athéniens), et mille des alliés, partis d'Athènes sur quarante-huit vaisseaux, dont quelques-uns destinés au transport des hoplites, sous le commandement de Phrynichos, d'Onomaclès et de Scirônidès, abordèrent à Samos, et passèrent ensuite à Milet, où ils campèrent. Les Milésiens, étant sortis au nombre de huit cents hoplites, accompagnés des troupes péloponnésiennes venues avec Chalcideus, des étrangers auxiliaires de Tissaphernes, et de lui-même en personne avec sa cavalerie, livrèrent bataille aux Athéniens et à leurs alliés. Les Argéens rompant la ligne lancèrent leur aile fort en avant, et par mépris pour des Iôniens, qu'ils croyaient incapables de soutenir leur choc, s'avancèrent en désordre; mais ils furent vaincus par les Milésiens, et perdirent un peu moins de trois cents hommes, tandis que les Athéniens, vainqueurs d'abord des Péloponnésiens, repoussèrent les Barbares, ainsi que le reste de la foule. Sans attaquer les Milésiens, qui, après la déroute des Argéens, dès qu'ils virent le reste de leur armée vaincu, s'étaient retirés dans leur ville, les Athéniens victorieux allèrent

τὸν ἄλλον ὄχλον ὠσάμενοι, τοῖς Μιλησίοις οὐ ξυμμίξαντες, ἀλλ' ὑποχωρησάντων αὐτῶν ἀπὸ τῆς τῶν Ἀργείων τροπῆς ἐς τὴν πόλιν, ὡς ἑώρων τὸ ἄλλο σφῶν ἡσσώμενον, πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων κρατοῦντες ἤδη τὰ ὅπλα τίθενται. Καὶ ξυνέβη ἐν τῇ μάχῃ ταύτῃ τοὺς Ἴωνας ἀμφοτέρωθεν τῶν Δωριῶν κρατῆσαι· τούς τε γὰρ κατὰ σφᾶς Πελοποννησίους οἱ Ἀθηναῖοι ἐνίκων καὶ τοὺς Ἀργείους οἱ Μιλήσιοι. Στήσαντες δὲ τροπαῖον, τὸν περιτειχισμὸν, ἰσθμώδους ὄντος τοῦ χωρίου, οἱ Ἀθηναῖοι παρεσκευάζοντο, νομίζοντες, εἰ προσαγάγοιντο Μίλητον, ῥᾳδίως ἂν σφίσι καὶ τἆλλα προσχωρῆσαι.

κϛ'. Ἐν τούτῳ δὲ περὶ δείλην ἤδη ὀψίαν ἀγγέλλεται αὐτοῖς τὰς ἀπὸ Σικελίας καὶ Πελοποννήσου πέντε καὶ πεντήκοντα ναῦς ὅσον οὐ παρεῖναι. Τῶν τε γὰρ Σικελιωτῶν, Ἑρμοκράτους τοῦ Συρακουσίου μάλιστα ἐνάγοντος ξυνεπιλαβέσθαι καὶ τῆς ὑπολοίπου Ἀθηναίων καταλύσεως, εἴκοσι νῆες Συρακουσίων ἦλθον καὶ Σελινούντιαι δύο, αἵ τε ἐκ Πελοποννήσου, ἃς παρεσκευάζοντο, ἑτοῖμαι ἤδη οὖσαι, καὶ Θηραμένει τῷ Λακεδαιμονίῳ ξυναμφότεραι ὡς Ἀστύοχον τὸν ναύαρχον προσταχθεῖσαι κομίσαι, κατέπλευσαν ἐς Λέρον πρῶτον τὴν πρὸ Μιλήτου νῆσον· ἔπειτα ἐκεῖθεν, αἰσθόμενοι ἐπὶ Μιλήτῳ ὄντας Ἀθηναίους, ἐς τὸν Ἰασικὸν κόλπον πρότερον πλεύσαντες, ἐβούλοντο εἰδέναι τὰ περὶ τῆς Μιλήτου. Ἐλθόντος δὲ Ἀλκιβιάδου ἵππῳ ἐς Τειχιοῦσσαν τῆς

établir leur camp auprès de Milet même. Ainsi, dans ce combat, des deux côtés les Iôniens vainquirent les Dôriens; puisque les Athéniens l'emportèrent sur les Péloponnésiens, qui leur étaient opposés, et les Milésiens sur les Argéens. Les Athéniens, ayant érigé un trophée, se préparèrent à enceindre d'une muraille la ville de Milet, dont le territoire formait un isthme; ils croyaient que, s'ils s'emparaient de cette place, les autres villes se rendraient à eux sans difficulté.

26. Cependant, vers le soir, on vint leur annoncer que les vaisseaux du Péloponnèse et de Sicile, au nombre de cinquante-cinq, allaient bientôt paraître; en effet, les Sicéliôtes en avaient envoyé vingt de Syracuse et deux de Sélinonte sur les instances du Syracusain Hermocrates, pour concourir à la destruction définitive des Athéniens. Dès que les vaisseaux que l'on armait dans le Péloponnèse furent prêts, ces deux flottes confiées au Lacédémonien Théramènes, pour les conduire au navarque Astyochos, relâchèrent d'abord à Léros, île en avant de Milet; puis, ayant appris que les Athéniens étaient devant cette place, elles se dirigèrent d'abord vers le golfe Iasique, pour s'informer de l'état de Milet. Ce fut à Teichiousse, sur le territoire milésien, où les vaisseaux, à leur arrivée dans le golfe, stationnèrent, qu'on fut informé du résultat de la bataille par Alcibiades, qui vint à cheval en cet endroit. Alcibiades, en effet, assistait à cette bataille, et avait

Μιλησίας, οἵπερ τοῦ κόλπου πλεύσαντες ηὐλίσαντο, πυνθάνονται τὰ περὶ τῆς μάχης· παρῆν γὰρ ὁ Ἀλκιβιάδης καὶ ξυνεμάχετο τοῖς Μιλησίοις καὶ Τισσαφέρνει, καὶ αὐτοῖς παρῄνει, εἰ μὴ βούλονται τά τε ἐν Ἰωνίᾳ καὶ τὰ ξύμπαντα πράγματα διολέσαι, ὡς τάχιστα βοηθεῖν Μιλήτῳ καὶ μὴ περιιδεῖν ἀποτειχισθεῖσαν.

κζ′. Καὶ οἱ μὲν ἅμα τῇ ἕῳ ἔμελλον βοηθήσειν· Φρύνιχος δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς, ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο τὰ τῶν νεῶν σαφῶς, βουλομένων τῶν ξυναρχόντων ὑπομείναντας διαναυμαχεῖν, οὐκ ἔφη οὔτ᾽ αὐτὸς ποιήσειν τοῦτο οὔτ᾽ ἐκείνοις οὐδ᾽ ἄλλῳ οὐδενὶ ἐς δύναμιν ἐπιτρέψειν. Ὅπου γὰρ [ἔξεστιν] ἐν ὑστέρῳ, σαφῶς εἰδότας πρὸς ὁπόσας τε ναῦς πολεμίας καὶ ὅσαις πρὸς αὐτὰς ταῖς σφετέραις, ἱκανῶς καὶ καθ᾽ ἡσυχίαν παρασκευασαμένοις ἔσται ἀγωνίσασθαι, οὐδέποτε τῷ αἰσχρῷ ὀνείδει εἴξας ἀλόγως διακινδυνεύσειν. Οὐ γὰρ αἰσχρὸν εἶναι Ἀθηναίους ναυτικῷ μετὰ καιροῦ ὑποχωρῆσαι, ἀλλὰ καὶ μετὰ ὁτουοῦν τρόπου αἴσχιον ξυμβήσεσθαι ἢν ἡσσηθῶσι· καὶ τὴν πόλιν οὐ μόνον τῷ αἰσχρῷ ἀλλὰ καὶ τῷ μεγίστῳ κινδύνῳ περιπίπτειν· ᾗ μόλις ἐπὶ ταῖς γεγενημέναις ξυμφοραῖς ἐνδέχεσθαι μετὰ βεβαίου παρασκευῆς καθ᾽ ἑκουσίαν, ἢ πάνυ γε ἀνάγκῃ, προτέρᾳ ποι ἐπιχειρεῖν, ποῦ δὴ μὴ βιαζομένῃ γε πρὸς αὐθαιρέτους κινδύνους ἰέναι; Ὡς τάχιστα δὲ ἐκέλευε τούς τε τραυματίας ἀναλαβόντας καὶ τὸν πεζὸν καὶ τῶν σκευῶν

combattu du côté des Milésiens et de Tissaphernes. Il conseilla aux Péloponnésiens, s'ils ne voulaient pas ruiner leur affaires en Iônie et faire tout perdre, de secourir Milet au plus vite, et s'opposer à son investissement.

27. Les Péloponnésiens devaient aller au secours de Milet dès qu'il ferait jour; mais le général athénien, Phrynichos, qui avait reçu de Léros des nouvelles certaines sur la flotte ennemie, et qui voyait que ses collègues voulaient l'attendre pour la combattre sur mer, déclara qu'il n'en ferait rien, et qu'il emploierait tout son pouvoir pour en empêcher ses collègues et tout autre commandant; que, puisqu'on pouvait plus tard être exactement informé du nombre des vaisseaux ennemis, et de celui que, après s'être bien préparés et à loisir, on devrait leur opposer quand on voudrait, jamais, par crainte d'un blâme honteux, il ne s'exposerait inconsidérément à un tel péril; qu'il n'y avait rien d'humiliant pour les Athéniens de céder à propos sur mer, mais qu'en tout cas, il le serait bien plus d'être vaincus; qu'Athènes alors se trouverait autrement humiliée et de plus dans le plus grand des périls; qu'après les malheurs survenus, à peine pouvait-elle avec des moyens garants du succès, et quand elle le jugerait à propos, ou sans cela tout au plus quand elle y serait forcée, attaquer la première, à plus forte raison n'irait-elle pas sans nécessité se jeter dans des périls volontaires. Il conseilla donc d'embarquer au plus vite les blessés, les troupes de terre et le matériel qu'on avait apporté, d'abandonner tout le butin fait sur le territoire ennemi, afin d'alléger les

ὅσα ἦλθον ἔχοντες, ἃ δ' ἐκ τῆς πολεμίας εἰλήφασι καταλιπόντας, ὅπως κοῦφαι ὦσιν αἱ νῆες, ἀποπλεῖν ἐς Σάμον, κἀκεῖθεν ἤδη, ξυναγαγόντας πάσας τὰς ναῦς, τοὺς ἐπίπλους, ἤν που καιρὸς ᾖ, ποιεῖσθαι.

Ὡς δὲ ἔπεισε, καὶ ἔδρασε ταῦτα· καὶ ἔδοξεν οὐκ ἐν τῷ αὐτίκα μᾶλλον ἢ ὕστερον, οὐκ ἐς τοῦτο μόνον, ἀλλὰ καὶ ἐς ὅσα ἄλλα Φρύνιχος κατέστη, οὐκ ἀξύνετος εἶναι. Καὶ οἱ μὲν Ἀθηναῖοι ἀφ' ἑσπέρας εὐθὺς τούτῳ τῷ τρόπῳ ἀτελεῖ τῇ νίκῃ ἀπὸ τῆς Μιλήτου ἀνέστησαν, καὶ οἱ Ἀργεῖοι κατὰ τάχος καὶ πρὸς ὀργὴν τῆς ξυμφορᾶς ἀπέπλευσαν ἐκ τῆς Σάμου ἐπ' οἴκου.

κη'. Οἱ δὲ Πελοποννήσιοι, ἅμα τῇ ἕῳ ἐκ τῆς Τειχιούσσης ἄραντες, ἐπικατάγονται, καὶ μείναντες ἡμέραν μίαν, τῇ ὑστεραίᾳ καὶ τὰς Χίας ναῦς προσλαβόντες τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας, ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη ἃ ἐξείλοντο ἐς Τειχιοῦσσαν πάλιν. Καὶ ὡς ἦλθον, Τισσαφέρνης τῷ πεζῷ παρελθὼν πείθει αὐτοὺς ἐπὶ Ἴασον, ἐν ᾗ Ἀμόργης πολέμιος ὢν κατεῖχε, πλεῦσαι. Καὶ προσβαλόντες τῇ Ἰάσῳ αἰφνίδιοι, καὶ οὐ προσδεχομένων ἀλλ' ἢ Ἀττικὰς τὰς ναῦς εἶναι, αἱροῦσι, καὶ μάλιστα ἐν τῷ ἔργῳ οἱ Συρακούσιοι ἐπῃνέθησαν. Καὶ τόν τε Ἀμόργην ζῶντα λαβόντες, [Πισσούθνου νόθον υἱὸν, ἀφεστῶτα δὲ βασιλέως,] παραδιδόασιν οἱ Πελοποννήσιοι Τισσαφέρνει ἀπαγαγεῖν, εἰ βούλεται, βασιλεῖ, ὥσπερ αὐτῷ προσέταξε, καὶ

vaisseaux, de cingler vers Samos, et de là, rassemblant toute la flotte, faire des excursions en temps opportun.

Aussitôt que Phrynichos eut fait adopter ces mesures, il les mit à exécution; et il fit preuve de sagesse aussi bien dans cette circonstance que dans toutes celles où il se trouva. Ce fut ainsi que, dès le soir, les Athéniens, sans achever leur victoire, levèrent leur camp de Milet, et tout aussitôt les Argéens, irrités de leur revers, quittèrent Samos pour retourner chez eux.

28. Les Péloponnésiens, dès l'aurore, s'embarquèrent à Teichiousse, et abordèrent à Milet après le départ des Athéniens; ils y restèrent un jour, et le lendemain, renforcés des vaisseaux de Chios, qui avec Chalcideus avaient été poursuivis précédemment, ils voulurent retourner à Teichiousse pour prendre les bagages qu'ils y avaient déposés. A leur arrivée, Tissaphernes, qui s'y était rendu avec son armée de terre, les engagea à faire une descente à Iasos, occupée par son ennemi Amorgès. Ils attaquèrent cette place à l'improviste où l'on s'attendait à ne voir arriver d'autres vaisseaux que ceux d'Athènes, et ils l'enlevèrent. Dans ce fait d'armes les Syracusains méritèrent les plus grands éloges. Les Péloponnésiens prirent vivant Amorgès, bâtard de Pissouthnès, révolté contre le Roi, et le livrèrent à Tissaphernes, pour le conduire, s'il le voulait, au Roi, d'après l'ordre qu'il en avait reçu. Ils pillèrent Iasos, et le soldat y fit un immense butin; car l'opulence de cette ville datait de loin. Ils s'adjoignirent les auxiliaires d'Amorgès, et les reçu-

τὴν Ἴασον διεπόρθησαν, καὶ χρήματα πάνυ πολλὰ ἡ στρατιὰ ἔλαβε· παλαιόπλουτον γὰρ ἦν τὸ χωρίον. Τούς τ' ἐπικούρους τοὺς περὶ τὸν Ἀμόργην παρὰ σφᾶς αὐτοὺς κομίσαντες καὶ οὐκ ἀδικήσαντες ξυνέταξαν, ὅτι ἦσαν οἱ πλεῖστοι ἐκ Πελοποννήσου, τό τε πόλισμα Τισσαφέρνει παραδόντες καὶ τὰ ἀνδράποδα πάντα, καὶ δοῦλα καὶ ἐλεύθερα, ὧν καθ' ἕκαστον στατῆρα Δαρεικὸν παρ' αὐτοῦ ξυνέβησαν λαβεῖν, ἔπειτα ἀνεχώρησαν ἐς τὴν Μίλητον. Καὶ Πεδάριτόν τε τὸν Λέοντος ἐς τὴν Χίον ἄρχοντα Λακεδαιμονίων πεμψάντων ἀποστέλλουσι πεζῇ μέχρι Ἐρυθρῶν, ἔχοντα τὸ παρὰ Ἀμόργου ἐπικουρικὸν, καὶ ἐς τὴν Μίλητον αὐτοὶ Φίλιππον καθιστᾶσι. Καὶ τὸ θέρος ἐτελεύτα.

κθ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἐπειδὴ τὴν Ἴασον κατεστήσατο ὁ Τισσαφέρνης ἐς φυλακὴν, παρῆλθεν ἐς τὴν Μίλητον, καὶ μηνὸς μὲν τροφὴν, ὥσπερ ὑπέστη ἐν τῇ Λακεδαίμονι, ἐς δραχμὴν Ἀττικὴν ἑκάστῳ πάσαις ταῖς ναυσὶ διέδωκε, τοῦ δὲ λοιποῦ χρόνου ἐβούλετο τριώβολον διδόναι, ἕως ἂν βασιλέα ἐπέρηται· ἢν δὲ κελεύῃ, ἔφη δώσειν ἐντελῆ τὴν δραχμήν. Ἑρμοκράτους δὲ ἀντειπόντος τοῦ Συρακουσίου στρατηγοῦ (ὁ γὰρ Θηραμένης οὐ ναύαρχος ὢν, ἀλλ' Ἀστυόχῳ παραδοῦναι τὰς ναῦς ξυμπλέων, μαλακὸς ἦν περὶ τοῦ μισθοῦ), ὅμως δὲ παρὰ πέντε ναῦς πλέον ἀνδρὶ ἑκάστῳ ἢ τρεῖς ὀβολοὶ ὡμολογήθησαν· ἐς γὰρ πέντε ναῦς καὶ πεντήκοντα τριάκοντα τάλαντα ἐδίδου τοῦ μηνός· καὶ

rent dans leurs rangs sans leur faire du mal, la plupart étant du Péloponnèse. Ils livrèrent à Tissaphernes la place et les prisonniers, tant libres qu'esclaves, et convinrent avec lui qu'il les leur payerait à raison d'une darique par homme. Puis ils revinrent à Milet. Ils expédièrent par terre jusqu'à Érythræ, avec les auxiliaires d'Amorgès, Pédaritos, fils de Léôn, envoyé par les Lacédémoniens à Chios pour en prendre le commandement, et installèrent Philippos dans celui de Milet. L'été finit.

29. L'hiver suivant, Tissaphernes, après avoir mis Iasos en état de défense, se rendit à Milet; et, selon la promesse qu'il avait faite à Lacédémone, il distribua par tête sur tous les vaisseaux une drachme attique, par mois de subside. Quant au reste du temps, il ne voulut donner que trois oboles, jusqu'à ce qu'il en eût référé au Roi; sur son ordre, disait-il, il donnerait la drachme entière. Toutefois, comme Hermocrates, le général syracusain, refusa cet arrangement (pour Théramènes, comme il n'était pas navarque, mais qu'il accompagnait la flotte seulement pour la remettre à Astyochos, il n'insistait pas trop sur l'affaire de la solde), on convint d'un peu plus de trois oboles par tête, en accordant en sus la solde de cinq vaisseaux; car sur cinquante-cinq vaisseaux (au lieu de sur soixante) Tissaphernes donnait trois talents par mois; quant aux autres qui

τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο.

λ'. Τοῦ δ' αὐτοῦ χειμῶνος τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις προσαφιγμέναι γὰρ ἦσαν καὶ οἴκοθεν ἄλλαι νῆες πέντε καὶ τριάκοντα καὶ στρατηγοὶ Χαρμῖνος καὶ Στρομβιχίδης καὶ Εὐκτήμων, καὶ τὰς ἀπὸ Χίου καὶ τὰς ἄλλας πάσας ξυναγαγόντες, ἐβούλοντο διακληρωσάμενοι ἐπὶ μὲν τῇ Μιλήτῳ τῷ ναυτικῷ ἐφορμεῖν, πρὸς δὲ τὴν Χίον καὶ ναυτικὸν καὶ πεζὸν πέμψαι. Καὶ ἐποίησαν οὕτως. Στρομβιχίδης μὲν γὰρ καὶ Ὀνομακλῆς καὶ Εὐκτήμων τριάκοντα ναῦς ἔχοντες, καὶ τῶν ἐς Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἄγοντες ἐν ναυσὶν ὁπλιταγωγοῖς, ἐπὶ Χίον λαχόντες ἔπλεον, οἱ δ' ἄλλοι ἐν Σάμῳ μένοντες τέσσαρσι καὶ ἑβδομήκοντα ναυσὶν ἐθαλασσοκράτουν καὶ ἐπίπλους τῇ Μιλήτῳ ἐποιοῦντο.

λα'. Ὁ δ' Ἀστύοχος, ὡς τότε ἐν τῇ Χίῳ ἔτυχε διὰ τὴν προδοσίαν τοὺς ὁμήρους καταλεγόμενος, τούτου μὲν ἐπέσχεν, ἐπειδὴ ᾔσθετο τάς τε μετὰ Θηραμένους ναῦς ἡκούσας, καὶ τὰ περὶ τὴν ξυμμαχίαν βελτίω ὄντα, λαβὼν δὲ ναῦς τάς τε Πελοποννησίων δέκα καὶ Χίας δέκα ἀνάγεται, καὶ προσβαλὼν Πτελεῷ, καὶ οὐχ ἑλὼν, παρέπλευσεν ἐπὶ Κλαζομενὰς, καὶ ἐκέλευεν αὐτῶν τοὺς τὰ Ἀθηναίων φρονοῦντας ἀνοικίζεσθαι ἐς τὸν Δαφνοῦντα καὶ προσχωρεῖν σφίσι· ξυνεκέλευε δὲ καὶ Ταμὼς Ἰωνίας ὕπαρχος ὤν. Ὡς

excédaient ce nombre, on payait en proportion, d'après ce même tarif.

30. Le même hiver, les Athéniens qui étaient à Samos, ayant reçu d'Athènes un autre renfort de trente-cinq vaisseaux, commandés par Charminos, Strombichidès et Euctémôn, et ayant réuni tous les autres navires qu'ils avaient à Chios et ailleurs, tirèrent au sort pour savoir qui devrait faire le blocus de Milet avec la flotte et qui irait attaquer Chios par mer et par terre; ce qui fut mis à exécution. Par décision du sort, Strombichidès, Onomaclès et Euctémôn, avec trente vaisseaux, cinglèrent vers Chios; ils y amenèrent aussi, sur des bâtiments de charge, une partie des mille hoplites de l'expédition de Milet. Le reste des Athéniens resta à Samos; maîtres de la mer avec soixante-quatorze vaisseaux, ils faisaient des courses contre Milet.

31. Astyochos, qui se trouvait alors à Chios, où, par crainte de trahison, il choisissait des otages, s'en abstint dès qu'il apprit l'arrivée prochaine de la flotte aux ordres de Théramènes, et l'état plus satisfaisant des affaires des alliés; il prit dix vaisseaux du Péloponnèse, et autant de Chios, avec lesquels il partit, et attaqua Ptéléon; mais, n'ayant pu s'en emparer, il suivit la côte jusqu'à Clazoménæ, ordonna aux partisans d'Athènes de se retirer à l'intérieur des terres vers Daphnous, et à la ville de Clazoménæ d'embrasser son parti, ordre que leur intima aussi Tamôs, sous-gouverneur d'Iônie. Mais, comme ils n'obéissaient pas, Astyochos attaqua leur

δ' οὐκ ἐσήκουον, προσβολὴν ποιησάμενος τῇ πόλει οὔσῃ ἀτειχίστῳ, καὶ οὐ δυνάμενος ἑλεῖν, ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ, αὐτὸς μὲν ἐς Φώκαιαν καὶ Κύμην, αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλαζομεναῖς νήσους, Μαραθοῦσσαν καὶ Πήλην καὶ Δρυμοῦσσαν. Καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζομενίων, ἡμέρας ἐμμείναντες διὰ τοὺς ἀνέμους ὀκτὼ, τὰ μὲν διήρπασαν καὶ ἀνήλωσαν, τὰ δὲ ἐσβαλόμενοι, ἀπέπλευσαν ἐς Φώκαιαν καὶ Κύμην ὡς Ἀστύοχον.

λβ'. Ὄντος δ' αὐτοῦ ἐνταῦθα Λεσβίων ἀφικνοῦνται πρέσβεις βουλόμενοι αὖθις ἀποστῆναι· καὶ αὐτὸν μὲν πείθουσιν, ὡς δ' οἵ τε Κορίνθιοι καὶ οἱ ἄλλοι ξύμμαχοι ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα, ἄρας ἔπλει ἐπὶ τῆς Χίου. Καὶ χειμασθεισῶν καὶ πλανηθεισῶν τῶν νεῶν, ὕστερον ἀφικνοῦνται ἄλλαι ἄλλοθεν ἐς τὴν Χίον.

Καὶ μετὰ τοῦτο Πεδάριτος, τότε παριὼν πεζῇ ἐκ τῆς Μιλήτου, γενόμενος ἐν Ἐρυθραῖς, διαπεραιοῦται αὐτός τε καὶ ἡ στρατιὰ ἐς Χίον· ὑπῆρχον δ' αὐτῷ καὶ ἐκ τῶν πέντε νεῶν στρατιῶται ὑπὸ Χαλκιδέως ἐς πενταχοσίους ξὺν ὅπλοις καταλειφθέντες. Ἐπαγγελλομένων δέ τινων Λεσβίων τὴν ἀπόστασιν, προσφέρει τῷ τε Πεδαρίτῳ καὶ τοῖς Χίοις ὁ Ἀστύοχος τὸν λόγον ὡς χρὴ παραγενομένους ταῖς ναυσὶν ἀποστῆσαι τὴν Λέσβον· ἢ γὰρ ξυμμάχους πλείους σφᾶς ἕξειν, ἢ τοὺς Ἀθηναίους, ἤν τι σφάλλωνται, κακώσειν. Οἱ δ' οὐκ

ville, qui n'avait pas de murailles. N'ayant pu s'en rendre maître, il partit par un vent violent, et aborda à Phôcæe et à Cume, tandis que les autres vaisseaux mouillèrent à Marathousse, Pélé et Drymousse, îles voisines de Clazoménæ. Retenus dans ces îles par les vents contraires pendant huit jours, ils pillèrent et consommèrent en partie tout ce que les Clazoméniens y avaient déposé, embarquèrent le reste, et allèrent rejoindre Astyochos à Phôcæe et à Cume.

32. Astyochos se trouvait dans ces villes, lorsque des députés de Lesbos y arrivèrent, dans l'intention de se soulever contre Athènes une seconde fois. Ces députés firent goûter leur projet à Astyochos; mais, comme les Corinthiens et les autres alliés n'étaient pas dans les mêmes dispositions, à cause du précédent échec, Astyochos mit en mer et se dirigea vers Chios. Ses vaisseaux, dispersés par une tempête, parvinrent enfin à Chios de divers points.

Après cela, Pédaritos, qui, de Milet, en suivant le rivage, s'était rendu par terre à Érythræ, passa avec son armée à Chios. Il avait aussi avec lui environ cinq cents soldats armés provenant des cinq vaisseaux laissés par Chalcideus. Astyochos, sur la promesse que lui avaient faite quelques habitants de Lesbos de révolter cette île, représenta à Pédaritos et aux habitants de Chios qu'il allait se rendre à Lesbos avec la flotte pour aider à ce soulèvement; que par là on accroîtrait le nombre de ses alliés, ou, si l'on échouait, on nuirait aux Athéniens,

ὑπήκουον, οὐδὲ τὰς ναῦς ὁ Πεδάριτος ἔφη τῶν Χίων αὐτῷ προήσειν.

λγ'. Κἀκεῖνος, λαβὼν τάς τε τῶν Κορινθίων πέντε, καὶ ἕκτην Μεγαρίδα, καὶ μίαν Ἑρμιονίδα, καὶ ἃς αὐτὸς Λακωνικὰς ἔχων ἦλθεν, ἔπλει ἐπὶ τῆς Μιλήτου πρὸς τὴν ναυαρχίαν, πολλὰ ἀπειλήσας τοῖς Χίοις ἦ μὴν μὴ ἐπιβοηθήσειν, ἤν τι δέωνται. Καὶ προσβαλὼν Κωρύκῳ τῆς Ἐρυθραίας, ἐνηυλίσατο. Οἱ δ' ἀπὸ τῆς Σάμου Ἀθηναῖοι ἐπὶ τὴν Χίον πλέοντες τῇ στρατιᾷ καὶ αὐτοὶ ἐκ τοῦ ἐπὶ θάτερα λόφου διείργοντος καθωρμίσαντο, καὶ ἐλελήθεσαν ἀλλήλους. Ἐλθούσης δὲ παρὰ Πεδαρίτου ὑπὸ νύκτα ἐπιστολῆς ὡς Ἐρυθραίων ἄνδρες αἰχμάλωτοι ἐκ Σάμου ἐπὶ προδοσίᾳ ἐς Ἐρυθρὰς ἥκουσιν ἀφειμένοι, ἀνάγεται ὁ Ἀστύοχος εὐθὺς ἐς τὰς Ἐρυθρὰς πάλιν, καὶ παρὰ τοσοῦτον ἐγένετο αὐτῷ μὴ περιπεσεῖν τοῖς Ἀθηναίοις. Διαπλεύσας δὲ καὶ ὁ Πεδάριτος πρὸς αὐτὸν, καὶ ἀναζητήσαντες τὰ περὶ τῶν δοκούντων προδιδόναι, ὡς ηὗρον ἅπαν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐκ τῆς Σάμου προφασισθὲν, ἀπολύσαντες τῆς αἰτίας, ἀπέπλευσαν ὁ μὲν ἐς τὴν Χίον, ὁ δὲ ἐς τὴν Μίλητον ἐκομίσθη, ὥσπερ διενοεῖτο.

λδ'. Ἐν τούτῳ δὲ καὶ ἡ τῶν Ἀθηναίων στρατιὰ ταῖς ναυσὶν ἐκ τοῦ Κωρύκου περιπλέουσα κατ' Ἀργῖνον ἐπιτυγχάνει τρισὶ ναυσὶ τῶν Χίων μακραῖς, καὶ ὡς εἶδον, ἐδίωκον· καὶ χειμών τε μέγας ἐπιγίγνεται, καὶ αἱ μὲν τῶν

Mais il ne fut pas écouté; Pédaritos déclara même qu'il ne lui concéderait pas la flotte de Chios.

33. Astyochos prit les cinq vaisseaux de Corinthe, un de Mégare, un d'Hermione, et ceux de la Lacônie qu'il avait amenés, et vogua vers Milet, pour prendre le commandement de la flotte, faisant aux habitants de Chios de fortes menaces de ne plus les secourir, s'ils avaient jamais besoin de son aide. Il relâcha à Côrycôs en Érythrée, pour y passer la nuit. Cependant les Athéniens, qui de Samos naviguaient contre Chios avec leurs troupes, n'étaient séparés de l'ennemi que par la colline derrière laquelle ils avaient mouillé; mais de part ni d'autre on ne s'aperçut pas. Pendant la nuit, sur une lettre envoyée par Pédaritos, annonçant que des prisonniers Érythræens avaient été relâchés de Samos, dans le but de faire soulever Érythræ où ils étaient parvenus, Astyochos mit aussitôt en mer pour revenir à Érythræ, et peu s'en fallut qu'il ne tombât entre les mains des Athéniens. Pédaritos aussi vint l'y rejoindre; ils firent des recherches sur les prétendus conspirateurs, et, comme ils trouvèrent que ce n'était qu'une invention de ces prisonniers pour pouvoir s'évader de Samos, ils les déchargèrent de l'accusation, et remirent en mer, l'un pour se rendre à Chios, et l'autre à Milet, selon leur destination.

34. Cependant l'armée des Athéniens, embarquée à Côrycos, longeait la côte, lorsqu'elle rencontra près d'Arginon trois vaisseaux longs de Chios; aussitôt qu'elle les aperçut, elle se mit à leur poursuite. Une grande tempête survint, et les vaisseaux de Chios se réfugièrent avec peine dans leur port. Quant à ceux des

Χίων μόλις καταφεύγουσιν ἐς τὸν λιμένα, αἱ δὲ τῶν Ἀθηναίων αἱ μὲν μάλιστα ὁρμήσασαι τρεῖς διαφθείρονται, καὶ ἐκπίπτουσι πρὸς τὴν πόλιν τῶν Χίων, καὶ ἄνδρες οἱ μὲν ἁλίσκονται οἱ δ' ἀποθνήσκουσιν, αἱ δ' ἄλλαι καταφεύγουσιν ἐς τὸν ὑπὸ τῷ Μίμαντι λιμένα Φοινικοῦντα καλούμενον. Ἐντεῦθεν δ' ὕστερον ἐς τὴν Λέσβον καθορμισάμενοι, παρεσκευάζοντο ἐς τὸν τειχισμόν.

λε'. Ἐκ δὲ τῆς Πελοποννήσου τοῦ αὐτοῦ χειμῶνος Ἱπποκράτης ὁ Λακεδαιμόνιος ἐκπλεύσας δέκα μὲν Θουρίαις ναυσὶν, ὧν ἦρχε Δωριεὺς ὁ Διαγόρου τρίτος αὐτὸς, μιᾷ δὲ Λακωνικῇ, μιᾷ δὲ Συρακουσίᾳ, καταπλεῖ ἐς Κνίδον· ἡ δ' ἀφειστήκει ἤδη ὑπὸ Τισσαφέρνους. Καὶ αὐτοὺς οἱ ἐν τῇ Μιλήτῳ, ὡς ᾔσθοντο, ἐκέλευον ταῖς μὲν ἡμισείαις τῶν νεῶν Κνίδον φυλάσσειν, ταῖς δὲ περὶ Τριόπιον οὔσαις τὰς ἀπ' Αἰγύπτου ὁλκάδας προσβαλλούσας ξυλλαμβάνειν· ἔστι δὲ τὸ Τριόπιον ἄκρα τῆς Κνιδίας προύχουσα, Ἀπόλλωνος ἱερόν. Πυθόμενοι δὲ οἱ Ἀθηναῖοι καὶ πλεύσαντες ἐκ τῆς Σάμου, λαμβάνουσι τὰς ἐπὶ Τριοπίῳ φρουρούσας ἓξ ναῦς· οἱ δ' ἄνδρες ἀποφεύγουσιν ἐξ αὐτῶν. Καὶ μετὰ τοῦτο ἐς τὴν Κνίδον καταπλεύσαντες, καὶ προσβαλόντες τῇ πόλει ἀτειχίστῳ οὔσῃ, ὀλίγου εἷλον. Τῇ δ' ὑστεραίᾳ αὖθις προσέβαλλον, καὶ, ὡς ἄμεινον φραξαμένων αὐτῶν ὑπὸ νύκτα, καὶ ἐπεισελθόντων αὐτοῖς τῶν ἀπὸ τοῦ Τριοπίου ἐκ τῶν νεῶν διαφυγόντων, οὐκέθ' ὁμοίως ἔβλαπτον, ἀπελθόντες καὶ

Athéniens, trois d'entre eux, qui s'étaient avancés le plus loin à leur poursuite, périrent : ils échouèrent près de la ville de Chios; une partie de l'équipage fut prise, le reste fut égorgé. Les autres se réfugièrent au-dessous de Mimas, dans le port nommé Phœnicous; de là ils allèrent ensuite mouiller à Lesbos, et faisaient leurs préparatifs pour élever des murailles.

35. Le même hiver, le Lacédémonien Hippocratès partit du Péloponnèse avec dix vaisseaux de Thuria, commandés par Dôrieus, fils de Diagoras, accompagné de deux autres généraux; un bâtiment de la Lacônie et un de Syracuse étaient avec cette flotte. Hippocratès vint aborder à Cnide, que Tissaphernes avait déjà fait révolter contre Athènes. Les Péloponnésiens, qui étaient à Milet, ayant appris leur arrivée, donnèrent l'ordre de garder Cnide avec la moitié des vaisseaux, et de capturer avec ceux qui croisaient devant Triopion les bâtiments de charge venant d'Égypte; Triopion est un promontoire consacré à Apollon, sur le territoire cnidien. A cette nouvelle, les Athéniens partirent de Samos, et s'emparèrent des six vaisseaux de garde à Triopion; mais leurs équipages s'échappèrent. Les Athéniens abordèrent ensuite à Cnide, attaquèrent la ville, qui était sans murailles, et peu s'en fallut qu'ils ne la prissent. Le lendemain, ils recommencèrent leur attaque; mais, comme les habitants s'étaient mieux barricadés pendant la nuit, et que les hommes échappés des vaisseaux à Triopion s'étaient introduits dans la place, les Athéniens ne purent lui faire autant de mal que d'abord. Ils

δῃώσαντες τὴν τῶν Κνιδίων γῆν, ἐς τὴν Σάμον ἀπέπλευσαν.

λϛ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον, Ἀστυόχου ἥκοντος ἐς τὴν Μίλητον ἐπὶ τὸ ναυτικὸν, οἱ Πελοποννήσιοι εὐπόρως ἔτι εἶχον ἅπαντα τὰ κατὰ τὸ στρατόπεδον· καὶ γὰρ μισθὸς ἐδίδοτο ἀρκούντως, καὶ τὰ ἐκ τῆς Ἰάσου μεγάλα χρήματα διαρπασθέντα ὑπῆν τοῖς στρατιώταις, οἵ τε Μιλήσιοι προθύμως τὰ τοῦ πολέμου ἔφερον. Πρὸς δὲ τὸν Τισσαφέρνην ἐδόκουν ὅμως τοῖς Πελοποννησίοις αἱ πρῶται ξυνθῆκαι αἱ πρὸς Χαλκιδέα γενόμεναι ἐνδεεῖς εἶναι καὶ οὐ πρὸς σφῶν μᾶλλον, καὶ ἄλλας ἔτι Θηριμένους παρόντος ἐποίουν· καὶ εἰσὶν αἵδε·

λζ'. « ΞΥΝΘΗΚΑΙ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς βασιλέα Δαρεῖον καὶ τοὺς παῖδας τοὺς βασιλέως καὶ Τισσαφέρνην, σπονδὰς εἶναι καὶ φιλίαν κατὰ τάδε·

Ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Δαρείου ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακεδαιμονίων.

Μηδὲ φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων.

Μηδὲ Δαρεῖον βασιλέα μηδὲ ὧν βασιλεὺς ἄρχει ἐπὶ Λακεδαιμονίους μηδὲ τοὺς ξυμμάχους ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενί.

se retirèrent, et, après avoir ravagé la campagne de Cnide, ils revinrent à Samos.

36. A la même époque, quand Astyochos vint à Milet commander la flotte, les Péloponnésiens avaient encore tout en abondance dans leur camp. En effet, ils recevaient une solde suffisante, les soldats tenaient en réserve les trésors enlevés d'Iasos, et les Milésiens supportaient volontiers les charges de la guerre. Cependant le premier traité, conclu entre Tissaphernes et Chalcideus, paraissait insuffisant aux Péloponnésiens, et moins à leur avantage. Ils en firent un autre pendant que Thérimènes était encore à Milet; en voici la teneur :

37. « Traité des Lacédémoniens et de leurs alliés avec le roi Darius, les enfants du Roi et Tissaphernes, pour qu'il y ait paix et amitié aux conditions suivantes :

Ni les Lacédémoniens ni leurs alliés n'iront faire la guerre, et ne causeront de dommage à aucune des contrées et villes qui appartiennent au roi Darius, ou qui ont appartenu à son père ou à ses ancêtres.

Les Lacédémoniens ni les alliés des Lacédémoniens ne lèveront sur ces villes aucun tribut.

Le roi Darius ni ceux à qui ce Roi commande n'iront faire la guerre soit contre les Lacédémoniens, soit contre les alliés des Lacédémoniens, et ne leur causeront aucun dommage.

Ἢν δέ τι δέωνται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι βασιλέως ἢ βασιλεὺς Λακεδαιμονίων ἢ τῶν ξυμμάχων, ὅ τι ἂν πείθωσιν ἀλλήλους, τοῦτο ποιοῦσι καλῶς ἔχειν.

Τὸν δὲ πόλεμον τὸν πρὸς Ἀθηναίους καὶ τοὺς ξυμμάχους κοινῇ ἀμφοτέρους πολεμεῖν· ἢν δὲ κατάλυσιν ποιῶνται, κοινῇ ἀμφοτέρους ποιεῖσθαι.

Ὁπόση δ' ἂν στρατιὰ ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ, μεταπεμψαμένου βασιλέως, τὴν δαπάνην βασιλέα παρέχειν.

Ἢν δέ τις τῶν πόλεων ὁπόσαι ξυνέθεντο βασιλεῖ ἐπὶ τὴν βασιλέως ἴῃ χώραν, τοὺς ἄλλους κωλύειν καὶ ἀμύνειν βασιλεῖ κατὰ τὸ δυνατόν.

Καὶ ἤν τις τῶν ἐν τῇ βασιλέως χώρᾳ, ἢ ὅσης βασιλεὺς ἄρχει, ἐπὶ τὴν Λακεδαιμονίων ἴῃ ἢ τῶν ξυμμάχων, βασιλεὺς κωλυέτω καὶ ἀμυνέτω κατὰ τὸ δυνατόν. »

λη'. Μετὰ δὲ ταύτας τὰς ξυνθήκας, Θηριμένης μὲν, παραδοὺς Ἀστυόχῳ τὰς ναῦς ἀποπλέων ἐν κέλητι ἀφανίζεται, οἱ δ' ἐκ τῆς Λέσβου Ἀθηναῖοι ἤδη διαβεβηκότες ἐς τὴν Χίον τῇ στρατιᾷ καὶ κρατοῦντες καὶ γῆς καὶ θαλάσσης, Δελφίνιον ἐτείχιζον, χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν καὶ λιμένας ἔχον καὶ τῆς τῶν Χίων πόλεως οὐ πολὺ ἀπέχον. Οἱ δὲ Χῖοι, ἐν πολλαῖς ταῖς πρὶν μάχαις πεπληγμένοι, καὶ ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ τῶν μετὰ Τυδέως τοῦ Ἴωνος ἤδη ὑπὸ Πεδαρίτου ἐπ' ἀττικισμῷ τεθνεώτων καὶ τῆς ἄλλης πόλεως

Si les Lacédémoniens ou leurs alliés ont besoin du secours du Roi, ou si le Roi a besoin de celui des Lacédémoniens et de leurs alliés, tout ce qu'ils feront d'après un consentement réciproque sera valable.

Les deux parties contractantes feront ensemble la guerre contre les Athéniens et leurs alliés; et si les deux parties y mettent fin, la paix ne se fera qu'ensemble.

Le Roi fournira la dépense pour le nombre de troupes qui, à sa demande, seront sur son territoire.

Si quelqu'une des villes contractantes avec le Roi marchait contre le pays du Roi, les autres s'y opposeront et défendront le Roi de toutes leurs forces.

Si quelqu'un du territoire royal, ou du pays soumis au Roi, marche contre le pays des Lacédémoniens ou de leurs alliés, le Roi s'y opposera, et les défendra de toutes ses forces. »

38. Après ce traité Thérimènes remit la flotte à Astyochos, et, voguant sur un bâtiment léger, disparut. Les Athéniens qui étaient à Lesbos avaient déjà passé à Chios avec leur armée, et, maîtres sur terre et sur mer, fortifiaient Delphinion, position forte du côté de la terre, munie de ports, et peu éloignée de la ville de Chios. Ses habitants, battus dans plusieurs combats antérieurs, étaient désunis, surtout depuis que Pédaritos avait fait périr les compagnons de Tydeus, fils d'Iôn, comme partisans d'Athènes, et comprimer par l'oligarchie le reste des citoyens livrés à leurs soupçons réciproques; ils se tenaient en repos ne croyant pouvoir en cet

κατ' ἀνάγκην ἐς ὀλίγους κατεχομένης ὑπόπτως διακείμενοι ἀλλήλοις ἡσύχαζον, καὶ οὔτ' αὐτοὶ διὰ ταῦτα οὔτε οἱ μετὰ Πεδαρίτου ἐπίκουροι ἀξιόμαχοι αὐτοῖς ἐφαίνοντο.

Ἐς μέντοι τὴν Μίλητον ἔπεμπον κελεύοντες σφίσι τὸν Ἀστύοχον βοηθεῖν· ὡς δ' οὐκ ἐσήκουεν, ἐπιστέλλει περὶ αὐτοῦ ἐς τὴν Λακεδαίμονα Πεδάριτος ὡς ἀδικοῦντος. Καὶ τὰ μὲν ἐν τῇ Χίῳ ἐς τοῦτο καθειστήκει τοῖς Ἀθηναίοις· αἱ δ' ἐκ τῆς Σάμου νῆες αὐτοῖς ἐπίπλους μὲν ἐποιοῦντο ταῖς ἐν τῇ Μιλήτῳ, ἐπεὶ δὲ μὴ ἀντανάγοιεν, ἀναχωροῦντες πάλιν ἐς τὴν Σάμον ἡσύχαζον.

λθ΄. Ἐκ δὲ τῆς Πελοποννήσου ἐν τῷ αὐτῷ χειμῶνι αἱ τῷ Φαρναβάζῳ [ὑπὸ] Καλλιγείτου τοῦ Μεγαρέως καὶ Τιμαγόρου τοῦ Κυζικηνοῦ πρασσόντων παρασκευασθεῖσαι ὑπὸ Λακεδαιμονίων ἑπτὰ καὶ εἴκοσι νῆες ἄρασαι ἔπλεον ἐπὶ Ἰωνίας περὶ ἡλίου τροπὰς, καὶ ἄρχων ἐπέπλει αὐτῶν Ἀντισθένης Σπαρτιάτης. Ξυνέπεμψαν δὲ οἱ Λακεδαιμόνιοι καὶ ἕνδεκα ἄνδρας Σπαρτιατῶν ξυμβούλους Ἀστυόχῳ, ὧν εἷς ἦν Λίχας ὁ Ἀρκεσιλάου· Καὶ εἴρητο αὐτοῖς, ἐς Μίλητον ἀφικομένους τῶν τε ἄλλων ξυνεπιμελεῖσθαι ᾗ μέλλει ἄριστα ἕξειν, καὶ τὰς ναῦς ταύτας ἢ αὐτὰς ἢ πλείους ἢ καὶ ἐλάσσους ἐς τὸν Ἑλλήσποντον ὡς Φαρνάβαζον, ἢν δοκῇ, ἀποπέμπειν, Κλέαρχον τὸν Ῥαμφίου, ὃς ξυνέπλει, ἄρχοντα προστάξαντας, καὶ Ἀστύοχον, ἢν δοκῇ τοῖς ἕνδεκα ἀνδράσι, παύειν τῆς ναυαρχίας, Ἀντισθένην δὲ καθιστάναι·

état, même avec les auxiliaires de Pédaritos, se mesurer avec les Athéniens.

Ils envoyèrent donc à Milet demander du secours à Astyochos; sur son refus, Pédaritos écrivit à Lacédémone contre lui, comme prévaricateur. Telle était la position des Athéniens à Chios. Leur flotte, à Samos, faisait des excursions contre les vaisseaux stationnés à Milet; mais comme ceux-ci ne sortaient pas à sa rencontre, elle rentra à Samos, et y resta tranquille.

39. Ce même hiver, les vingt-sept vaisseaux que les Lacédémoniens avaient équipés pour Pharnabaze, à la sollicitation de Calligeitos de Mégare et de Timagoras de Cyzique, partirent du Péloponnèse vers le solstice, pour se rendre en Iônie : Antisthènes de Sparte était à bord comme commandant. Les Lacédémoniens envoyèrent sur la même flotte onze Spartiates, pour servir de conseil à Astyochos; l'un d'eux était Lichas, fils d'Arcésilaos. Ils avaient ordre de s'occuper en commun, dès leur arrivée à Milet, de tout mettre dans le meilleur état, d'envoyer dans l'Hellespont à Pharnabaze, s'ils le jugeaient convenable, ces mêmes vaisseaux, soit en totalité, soit plus ou moins; de désigner pour commandant Cléarchos, fils de Rhamphias, qui se trouvait à bord de la flotte; et, si les onze Spartiates le jugeaient à propos, d'ôter à Astyochos le commandement de la flotte pour le donner à Antisthènes; car, d'après les lettres de Pédaritos, les Lacédémoniens avaient conçu des soupçons contre Astyochos.

πρὸς γὰρ τὰς τοῦ Πεδαρίτου ἐπιστολὰς ὑπώπτευον αὐτόν.

Πλέουσαι οὖν αἱ νῆες ἀπὸ Μαλέας πελάγιαι Μήλῳ προσέβαλον, καὶ περιτυχόντες ναυσὶ δέκα Ἀθηναίων τὰς τρεῖς λαμβάνουσι κενὰς καὶ κατακαίουσι. Μετὰ δὲ τοῦτο δεδιότες μὴ αἱ διαφυγοῦσαι τῶν Ἀθηναίων ἐκ τῆς Μήλου νῆες, ὅπερ ἐγένετο, μηνύσωσι τοῖς ἐν τῇ Σάμῳ τὸν ἐπίπλουν αὐτῶν, πρὸς τὴν Κρήτην πλεύσαντες καὶ πλείω τὸν πλοῦν διὰ φυλακῆς ποιησάμενοι, ἐς τὴν Καῦνον τῆς Ἀσίας κατῆραν. Ἐντεῦθεν δὴ, ὡς ἐν ἀσφαλεῖ ὄντες, ἀγγελίαν ἔπεμπον ἐπὶ τὰς ἐν τῇ Μιλήτῳ ναῦς τοῦ ξυμπαρακομισθῆναι.

μ΄. Οἱ δὲ Χῖοι καὶ Πεδάριτος κατὰ τὸν αὐτὸν χρόνον οὐδὲν ἧσσον, καίπερ διαμέλλοντα, τὸν Ἀστύοχον πέμποντες ἀγγέλους ἠξίουν σφίσι πολιορκουμένοις βοηθῆσαι ἁπάσαις ταῖς ναυσὶ, καὶ μὴ περιιδεῖν τὴν μεγίστην τῶν ἐν Ἰωνίᾳ ξυμμαχίδων πόλεων ἔκ τε θαλάσσης εἰργομένην καὶ κατὰ γῆν λῃστείαις πορθουμένην. Οἱ γὰρ οἰκέται τοῖς Χίοις πολλοὶ ὄντες καὶ μιᾷ γε πόλει πλὴν Λακεδαιμονίων πλεῖστοι γενόμενοι, καὶ ἅμα διὰ τὸ πλῆθος χαλεπωτέρως ἐν ταῖς ἀδικίαις κολαζόμενοι, ὡς ἡ στρατιὰ τῶν Ἀθηναίων βεβαίως ἔδοξε μετὰ τείχους ἱδρῦσθαι, εὐθὺς αὐτομολίᾳ τε ἐχώρησαν οἱ πολλοὶ πρὸς αὐτοὺς, καὶ τὰ πλεῖστα κακὰ ἐπιστάμενοι τὴν χώραν οὗτοι ἔδρασαν. Ἔφασαν οὖν χρῆναι οἱ Χῖοι, ἕως ἔτι ἐλπὶς καὶ δυνατὸν κωλῦσαι, τειχιζομένου τοῦ Δελφινίου

Partie de Malée, cette flotte, naviguant en pleine mer, vint toucher à Mélos, où elle rencontra dix vaisseaux d'Athènes, en prit trois vides et les brûla ; mais ensuite, craignant que ces vaisseaux qui venaient de s'échapper de Mélos, n'avertissent de son approche les Athéniens qui étaient à Samos (ce qui eut lieu), elle navigua vers la Crète, et, allongeant sa route pour plus de sûreté, entra dans le port de Caunos en Asie. De là, se croyant hors de danger, elle envoya un message à la flotte de Milet pour se rendre près d'elle et lui servir d'escorte.

40. Cependant les Chiotes et Pédaritos, malgré les retardements d'Astyochos, ne cessaient d'envoyer des messagers, pour le prier de venir au secours de la ville assiégée avec toute la flotte, et de ne pas souffrir que la plus grande des villes alliées en Iônie fût exclue de la mer, et ravagée sur terre par le brigandage. Les habitants de Chios avaient une foule d'esclaves ; c'était, avec Lacédémone, la seule ville qui en eût autant; et, comme, en raison de leur nombre, on les punissait avec d'autant plus de dureté pour leurs crimes, dès que l'armée des Athéniens parut solidement établie et retranchée, ils désertèrent aussitôt en grand nombre pour se rendre près d'elle ; et par la connaissance des localités, ils causèrent les plus grands maux. Les habitants de Chios déclarèrent donc à Astyochos qu'il était urgent de leur venir en aide, pendant qu'on avait encore l'espoir et le moyen d'arrêter l'ennemi, qui élevait les fortifications encore inachevées de Delphinion, et entourait de retranchements plus considérables son camp et sa flotte.

καὶ ἀτελοῦς ὄντος, καὶ στρατοπέδῳ καὶ ναυσὶν ἐρύματος μείζονος προσπεριβαλλομένου, βοηθῆσαι σφίσιν. Ὁ δὲ Ἀστύοχος καίπερ οὐ διανοούμενος διὰ τὴν τότε ἀπειλὴν, ὡς ἑώρα καὶ τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ βοηθεῖν.

μα'. Ἐν τούτῳ δὲ ἐκ τῆς Καύνου παραγίγνεται ἀγγελία ὅτι αἱ ἑπτὰ καὶ εἴκοσι νῆες καὶ οἱ τῶν Λακεδαιμονίων ξύμβουλοι πάρεισι· καὶ νομίσας πάντα ὕστερα εἶναι τἆλλα πρὸς τὸ ναῦς τε, ὅπως θαλασσοκρατοῖεν μᾶλλον, τοσαύτας ξυμπαρακομίσαι, καὶ τοὺς Λακεδαιμονίους, οἳ ἧκον κατάσκοποι αὐτοῦ, ἀσφαλῶς περαιωθῆναι, εὐθὺς, ἀφεὶς τὸ ἐς τὴν Χίον, ἔπλει ἐς τὴν Καῦνον. Καὶ ἐς Κῶν τὴν Μεροπίδα ἐν τῷ παράπλῳ ἀποβὰς, τήν τε πόλιν ἀτείχιστον οὖσαν καὶ ὑπὸ σεισμοῦ, ὃς αὐτοῖς ἔτυχε μέγιστός γε δὴ ὧν μεμνήμεθα γενόμενος, ξυμπεπτωκυῖαν ἐκπορθεῖ, τῶν ἀνθρώπων ἐς τὰ ὄρη πεφευγότων, καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐποιεῖτο, πλὴν τῶν ἐλευθέρων· τούτους δὲ ἠφίει. Ἐκ δὲ τῆς Κῶ ἀφικόμενος ἐς τὴν Κνίδον νυκτὸς, ἀναγκάζεται ὑπὸ τῶν Κνιδίων παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας, ἀλλ' ὥσπερ εἶχε πλεῖν εὐθὺς ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς εἴκοσιν, ἃς ἔχων Χαρμῖνος, εἷς τῶν ἐκ Σάμου στρατηγῶν, ἐφύλασσε ταύτας τὰς ἑπτὰ καὶ εἴκοσι ναῦς ἐκ τῆς Πελοποννήσου προσπλεούσας, ἐφ' ἅσπερ καὶ ὁ Ἀστύοχος παρέπλει. Ἐπύθοντο δὲ οἱ ἐν τῇ Σάμῳ ἐκ τῆς

Astyochos, bien que, d'après sa première menace, il n'eût pas l'intention de les secourir, fut porté à le faire dès qu'il vit les alliés y être également disposés.

41. Cependant on reçut de Caunos la nouvelle de l'arrivée des vingt-sept vaisseaux et des conseillers Lacédémoniens. Astyochos, jugeant toute autre affaire moins importante que celle d'escorter un si grand nombre de vaisseaux pour être mieux maître de la mer, et assurer la traversée aux Lacédémoniens qui venaient le surveiller, renonça aussitôt à son voyage à Chios, et fit voile pour Caunos. Sur son passage, il descendit à Côs-Méropis, qui était sans murailles et bouleversée par un tremblement de terre, de tous le plus grand que nous nous rappelons y être survenus; Astyochos la ravagea; les habitants s'étaient sauvés sur les montagnes. Il parcourut le pays et le pilla, mais épargna les hommes libres, qu'il renvoya. De Côs il descendit à Cnide pendant la nuit; et, sur l'avis que lui donnèrent les Cnidiens, il se vit forcé de ne pas débarquer les équipages, mais, sans désemparer, de voguer en toute hâte à la rencontre des vingt vaisseaux d'Athènes, avec lesquels Charminos, l'un des généraux de l'armée qui était à Samos, épiait les vingt-sept bâtiments partis du Péloponnèse, et qu'Astyochos lui-même allait escorter. Un avis venu de Mélos prévenait les Athéniens qui étaient à Samos de l'approche des Péloponnésiens; on chargea donc Charminos de croiser aux envi-

Μήλου τὸν ἐπίπλουν αὐτῶν, καὶ ἡ φυλακὴ τῷ Χαρμίνῳ περὶ τὴν Σύμην καὶ Χάλκην καὶ Ῥόδον καὶ περὶ τὴν Λυκίαν ἦν· ἤδη γὰρ ᾐσθάνετο καὶ ἐν τῇ Καύνῳ οὔσας αὐτάς.

μϐ'. Ἐπέπλει οὖν ὥσπερ εἶχε πρὸς τὴν Σύμην ὁ Ἀστύοχος, πρὶν ἔκπυστος γενέσθαι, εἴ πως περιλάβοι που μετεώρους τὰς ναῦς. Καὶ αὐτῷ ὑετός τε καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ξυννέφελα ὄντα πλάνησιν τῶν νεῶν ἐν τῷ σκότει καὶ ταραχὴν παρέσχεν. Καὶ ἅμα τῇ ἕῳ, διεσπασμένου τοῦ ναυτικοῦ, καὶ τοῦ μὲν φανεροῦ ἤδη ὄντος τοῖς Ἀθηναίοις τοῦ εὐωνύμου κέρως, τοῦ δὲ ἄλλου περὶ τὴν νῆσον ἔτι πλανωμένου, ἐπανάγονται κατὰ τάχος ὁ Χαρμῖνος καὶ οἱ Ἀθηναῖοι ἐλάσσοσιν ἢ ταῖς εἴκοσι ναυσὶ, νομίσαντες, ἅσπερ ἐφύλασσον ναῦς τὰς ἀπὸ τῆς Καύνου, ταύτας εἶναι. Καὶ προσπεσόντες εὐθὺς κατέδυσάν τε τρεῖς καὶ κατετραυμάτισαν ἄλλας, καὶ ἐν τῷ ἔργῳ ἐπεκράτουν, μέχρι οὗ ἐπεφάνησαν αὐτοῖς παρὰ δόξαν αἱ πλείους τῶν νεῶν, καὶ πανταχόθεν ἀπεκλῄοντο. Ἔπειτα δὲ, ἐς φυγὴν καταστάντες, ἓξ μὲν ναῦς ἀπολλύασι, ταῖς δὲ λοιπαῖς καταφεύγουσιν ἐς τὴν Τευτλοῦσσαν νῆσον, ἐντεῦθεν δὲ ἐς Ἁλικαρνασσόν. Μετὰ δὲ τοῦτο οἱ μὲν Πελοποννήσιοι, ἐς Κνίδον κατάραντες καὶ, ξυμμιγεισῶν τῶν ἐκ τῆς Καύνου ἑπτὰ καὶ εἴκοσι νεῶν αὐτοῖς, ξυμπάσαις πλεύσαντες καὶ τροπαῖον ἐν τῇ Σύμῃ στήσαντες, πάλιν ἐς τὴν Κνίδον καθωρμίσαντο.

μγ'. Οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ τῆς Σάμου ναυσὶ πάσαις,

rons de Symé, de Chalcé, de Rhodes et de la Lycie; déjà même il avait appris que les vaisseaux ennemis étaient à Caunos.

42. Astyochos navigua donc, tout aussitôt, vers Symé, avant que son arrivée fût connue, espérant rencontrer quelque part la flotte ennemie en pleine mer. Mais la pluie et un temps nébuleux mirent la sienne en désordre et la firent errer dans l'obscurité. Dès le matin, pendant que la flotte d'Astyochos voguait dispersée, que l'aile gauche était déjà en vue des Athéniens, et que l'autre errait encore autour de l'île de Symé, Charminos et les Athéniens s'avancèrent en toute hâte contre l'ennemi avec moins de vingt vaisseaux, croyant que cette flotte était celle de Caunos, qu'ils guettaient; ils fondirent aussitôt sur elle, submergèrent trois navires et en endommagèrent d'autres. Pendant l'action ils avaient eu le dessus; mais devant eux apparut inopinément la plus grande partie de la flotte Péloponnésienne, et de toutes parts ils se virent cernés; ayant alors pris la fuite, ils perdirent six bâtiments, et se réfugièrent avec le reste à l'île de Teutlousse, d'où ils gagnèrent Halicarnasse. Les Péloponnésiens jetèrent l'ancre ensuite dans le port de Cnide, où ils furent rejoints par les vingt-sept bâtiments qui venaient de Caunos; et tous ensemble ils voguèrent pour élever un trophée à Symé, d'où ils revinrent au port de Cnide.

43. Les Athéniens, à la nouvelle de ce combat naval, partirent de Samos pour Symé avec toute leur flotte;

ὡς ᾔσθοντο τὰ τῆς ναυμαχίας, πλεύσαντες ἐς τὴν Σύμην, καὶ ἐπὶ μὲν τὸ ἐν τῇ Κνίδῳ ναυτικὸν οὐχ ὁρμήσαντες, οὐδ' ἐκεῖνοι ἐπ' ἐκείνους, λαβόντες δὲ τὰ ἐν τῇ Σύμῃ σκεύη τῶν νεῶν καὶ Λωρύμοις τοῖς ἐν τῇ ἠπείρῳ προσβαλόντες, ἀπέπλευσαν ἐς τὴν Σάμον.

Ἅπασαι δ' ἤδη οὖσαι ἅμα ἐν τῇ Κνίδῳ αἱ τῶν Πελοποννησίων νῆες ἐπεσκευάζοντό τε, εἴ τι ἔδει, καὶ πρὸς τὸν Τισσαφέρνην (παρεγένετο γὰρ) λόγους ἐποιοῦντο οἱ ἕνδεκα ἄνδρες τῶν Λακεδαιμονίων περί τε τῶν ἤδη πεπραγμένων, εἴ τι μὴ ἤρεσκεν αὐτοῖς, καὶ περὶ τοῦ μέλλοντος πολέμου, ὅτῳ τρόπῳ ἄριστα καὶ ξυμφορώτατα ἀμφοτέροις πολεμήσεται. Μάλιστα δὲ ὁ Λίχας ἐσκόπει τὰ ποιούμενα, καὶ τὰς σπονδὰς οὐδετέρας, οὔτε τὰς Χαλκιδέως οὔτε τὰς Θηριμένους, ἔφη καλῶς ξυγκεῖσθαι, ἀλλὰ δεινὸν εἶναι, εἰ χώρας ὅσης βασιλεὺς καὶ οἱ πρόγονοι ἦρξαν πρότερον, ταύτης καὶ νῦν ἀξιώσει κρατεῖν· ἐνῆν γὰρ καὶ νήσους ἁπάσας πάλιν δουλεύειν καὶ Θεσσαλίαν καὶ Λοκροὺς καὶ τὰ μέχρι Βοιωτῶν, καὶ ἀντ' ἐλευθερίας ἂν Μηδικὴν ἀρχὴν τοῖς Ἕλλησι τοὺς Λακεδαιμονίους περιθεῖναι. Ἑτέρας οὖν ἐκέλευε βελτίους σπένδεσθαι, ἢ ταύταις γε οὐ χρήσεσθαι, οὐδὲ τῆς τροφῆς ἐπὶ τούτοις δεῖσθαι οὐδέν. Ἀγανακτῶν δὲ ὁ μὲν Τισσαφέρνης ἀπεχώρησεν ἀπ' αὐτῶν δι' ὀργῆς καὶ ἄπρακτος.

μδ'. Οἱ δ' ἐς τὴν Ῥόδον, ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν, τὴν γνώμην εἶχον πλεῖν, ἐλπίζοντες

ils ne fondirent pas sur celle qui était à Cnide, ni elle sur eux, mais ils prirent les agrès qui étaient à Symé, attaquèrent Loryma sur le continent, et revinrent à Samos.

Toute la flotte réunie alors à Cnide, où se trouvait aussi Tissaphernes, recevait les réparations nécessaires; les onze Lacédémoniens conférèrent avec lui sur tout ce qui s'était passé, et qui avait pu leur déplaire, et sur les moyens de faire désormais la guerre le mieux et le plus avantageusement possible pour les deux partis. Lichas surtout examinait attentivement les affaires : il disait qu'aucun des deux traités, ni celui de Chalcideus, ni celui de Thérimènes, n'était bien rédigé; qu'il serait odieux que le Roi prétendît posséder encore à présent les mêmes pays autrefois soumis à sa puissance et à celle de ses ancêtres (dans ces traités, en effet, toutes les îles, la Thessalie, les Locriens et les contrées jusqu'en Bœôtie devaient redevenir sujettes du Roi) et qu'au lieu de la liberté, les Lacédémoniens imposassent aux Hellènes le joug Médique. Il demanda donc que l'on rédigeât un meilleur traité, déclarant que celui qui existait ne serait pas suivi, et qu'à de telles conditions on ne voulait plus d'aucun subside. Tissaphernes, indigné, quitta plein de colère les Lacédémoniens et ne termina rien.

44. Les Lacédémoniens projetaient de se rendre à Rhodes, dont les principaux habitants leur avaient en-

νῆσόν τε οὐκ ἀδύνατον καὶ ναυβατῶν πλήθει καὶ πεζῷ προσάξεσθαι, καὶ ἅμα ἡγούμενοι αὐτοὶ ἀπὸ τῆς ὑπαρχούσης ξυμμαχίας δυνατοὶ ἔσεσθαι, Τισσαφέρνην μὴ αἰτοῦντες χρήματα, τρέφειν τὰς ναῦς. Πλεύσαντες οὖν εὐθὺς ἐν τῷ αὐτῷ χειμῶνι ἐκ τῆς Κνίδου, καὶ προσβαλόντες Καμείρῳ τῆς Ῥοδίας πρῶτον ναυσὶ τέσσαρσι καὶ ἐνενήκοντα, ἐξεφόβησαν μὲν τοὺς πολλοὺς οὐκ εἰδότας τὰ πρασσόμενα, καὶ ἔφευγον, ἄλλως τε καὶ ἀτειχίστου οὔσης τῆς πόλεως· εἶτα, ξυγκαλέσαντες οἱ Λακεδαιμόνιοι τούτους τε καὶ τοὺς ἐκ τοῖν δυοῖν πολέοιν, Λίνδου καὶ Ἰηλυσοῦ, Ῥοδίους ἔπεισαν ἀποστῆναι Ἀθηναίων. Καὶ προσεχώρησε Ῥόδος Πελοποννησίοις.

Οἱ δὲ Ἀθηναῖοι κατὰ τὸν καιρὸν τοῦτον ταῖς ἐκ τῆς Σάμου ναυσὶν αἰσθόμενοι ἔπλευσαν μὲν βουλόμενοι φθάσαι, καὶ ἐφάνησαν πελάγιοι· ὑστερήσαντες δὲ οὐ πολλῷ τὸ μὲν παραχρῆμα ἀπέπλευσαν ἐς Χάλκην, ἐντεῦθεν δ' ἐς Σάμον, ὕστερον δὲ ἐκ τῆς Χάλκης καὶ ἐκ τῆς Κῶ καὶ ἐκ τῆς Σάμου τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν Ῥόδον ἐπολέμουν. Οἱ δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριάκοντα τάλαντα οἱ Πελοποννήσιοι παρὰ τῶν Ῥοδίων, τὰ δ' ἄλλα ἡσύχαζον ἡμέρας ὀγδοήκοντα, ἀνελκύσαντες τὰς ναῦς.

με'. Ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὐτοὺς ἀναστῆναι, τάδε ἐπράσσετο. Ἀλκιβιάδης, μετὰ τὸν Χαλκιδέως θάνατον καὶ τὴν ἐν Μιλήτῳ μάχην τοῖς Πελοπον-

voyé des messages ; ils espéraient ranger dans leur parti cette île, que le grand nombre de ses marins et son armée de terre rendaient importante. Ils espéraient d'ailleurs, avec les alliés qu'ils avaient alors, pouvoir à eux seuls entretenir la flotte, sans demander de l'argent à Tissaphernes. Ils s'embarquèrent donc aussitôt de Cnide cet hiver même, et relâchèrent d'abord à Camiros sur le territoire Rhodien avec quatre-vingt-quatorze vaisseaux ; ils en épouvantèrent le peuple, qui, ignorant les négociations entamées, prit la fuite, car la ville était sans murailles. Ensuite les Lacédémoniens en convoquèrent les habitants, ainsi que ceux des deux autres villes Rhodiennes, Lindos et Iélysos, et les engagèrent à se révolter contre Athènes : c'est ainsi que Rhodes se rangea du parti des Péloponnésiens.

Pendant ce temps les Athéniens, informés de ce projet, afin d'en prévenir l'exécution, étaient partis avec la flotte qui était à Samos, et parurent à la hauteur de Rhodes ; mais, s'étant un peu trop attardés, ils se retirèrent pour le moment à Chalcé, de là revinrent à Samos, et plus tard de Chalcé, de Côs et de Samos, réitérant leurs excursions contre Rhodes, ils lui faisaient la guerre. Les Péloponnésiens levèrent sur les Rhodiens une contribution de trente-deux talents ; puis après avoir tiré leurs vaisseaux à sec, ils se tinrent quatre-vingts jours en repos.

45. Mais pendant ce temps, et même avant qu'ils eussent entrepris l'expédition de Rhodes, voici ce qui s'était passé. Après la mort de Chalcidéus et la bataille de

νησίοις ὕποπτος ὤν, καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς πρὸς Ἀστύοχον ἐκ Λακεδαίμονος ὥστ' ἀποκτεῖναι (ἦν γὰρ καὶ τῷ Ἄγιδι ἐχθρὸς καὶ ἄλλως ἄπιστος ἐφαίνετο), πρῶτον μὲν ὑποχωρεῖ δείσας παρὰ Τισσαφέρνην, ἔπειτα ἐκάκου πρὸς αὐτὸν ὅσον ἐδύνατο μάλιστα τῶν Πελοποννησίων τὰ πράγματα, καὶ διδάσκαλος πάντων γιγνόμενος τήν τε μισθοφορὰν ξυνέτεμεν, ἀντὶ δραχμῆς Ἀττικῆς ὥστε τριώβολον, καὶ τοῦτο μὴ ξυνεχῶς, δίδοσθαι, λέγειν κελεύων τὸν Τισσαφέρνην πρὸς αὐτοὺς ὡς Ἀθηναῖοι ἐκ πλείονος χρόνου ἐπιστήμονες ὄντες τοῦ ναυτικοῦ τριώβολον ** τοῖς ἑαυτῶν διδόασιν, οὐ τοσοῦτον πενίᾳ ὅσον ἵνα αὐτῶν μὴ οἱ ναῦται ἐκ περιουσίας ὑβρίζοντες, οἱ μὲν τὰ σώματα χείρω ἔχωσι, δαπανῶντες ἐς τοιαῦτα ἀφ' ὧν ἡ ἀσθένεια ξυμβαίνει, οἱ δὲ τὰς ναῦς ἀπολείπωσιν οὐχ ὑπολιπόντες ἐς ὁμηρείαν τὸν προσοφειλόμενον μισθόν· καὶ τοὺς τριηράρχους καὶ τοὺς στρατηγοὺς τῶν πόλεων ἐδίδασκεν ὥστε δόντα χρήματα αὐτὸν πεῖσαι, ὥστε ξυγχωρῆσαι ταῦτα ἑαυτῷ, * πλὴν τῶν Συρακουσίων· τούτων δὲ Ἑρμοκράτης στρατηγὸς ὢν ἠναντιοῦτο μόνος ὑπὲρ τοῦ παντὸς ξυμμαχικοῦ.

Τάς τε πόλεις δεομένας χρημάτων ἀπήλασεν αὐτὸς ἀντιλέγων ὑπὲρ τοῦ Τισσαφέρνους ὡς οἱ μὲν Χῖοι ἀναίσχυντοι εἶεν πλουσιώτατοι ὄντες τῶν Ἑλλήνων, ἐπικουρίᾳ δὲ ὅμως σωζόμενοι ἀξιοῦσι καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασιν ἄλλους ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας κινδυνεύειν· τὰς δ' ἄλλας πόλεις ἔφη ἀδικεῖν, αἳ ἐς Ἀθηναίους πρότερον ἢ ἀποστῆναι

Milet, Alcibiades, qui était suspect aux Péloponnésiens, eut peur d'une lettre de leur part, arrivée de Lacédémone à Astyochos, portant l'ordre de le tuer; car il était ennemi d'Agis, et d'ailleurs regardé comme un traître. D'abord il se retira chez Tissaphernes, auprès de qui il nuisit le plus qu'il put aux Péloponnésiens, et, lui dévoilant tout, il fit réduire leur solde, de sorte qu'au lieu d'une drachme Attique, on ne leur donnait que trois oboles, et même pas toujours. Il engagea Tissaphernes à leur dire que les Athéniens, dès longtemps avant eux si expérimentés dans la marine, ne donnaient à leurs équipages que trois oboles et même pas régulièrement, moins par pauvreté que pour empêcher leurs matelots, devenus insolents par le superflu, les uns d'énerver leurs corps, en dépensant pour des plaisirs qui détruisent la santé, les autres de quitter leurs vaisseaux, attendu que les arrérages de solde, qu'ils n'abandonnent guère, sont un gage de leur fidélité. Il lui apprit aussi à donner de l'argent aux triérarques et aux généraux des villes alliées, pour les engager à accéder à ses demandes, principalement ceux des Syracusains; mais Hermocrates, le général de ceux-ci, résista seul au nom de tous les alliés.

Alcibiades repoussa aussi les villes qui demandaient de l'argent, et s'y opposa en personne dans l'intérêt de Tissaphernes, en disant que les habitants de Chios seraient des impudents, si eux, les plus riches des Hellènes, et cependant ne devant leur conservation qu'à des troupes étrangères, prétendaient que, pour leur liberté, d'autres exposassent et leurs corps et leurs biens. Quant aux autres villes, il dit qu'elles seraient coupables, elles qui, avant de se détacher d'Athènes, avaient tant dé-

ἀνῆλουν, εἰ μὴ καὶ νῦν καὶ τοσαῦτα καὶ ἔτι πλείω ὑπὲρ σφῶν αὐτῶν ἐθελήσουσιν ἐσφέρειν. Τόν τε Τισσαφέρνην ἀπέφαινε νῦν μὲν, τοῖς ἰδίοις χρήμασι πολεμοῦντα, εἰκότως φειδόμενον, ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασιλέως, ἐντελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθὸν καὶ τὰς πόλεις τὰ εἰκότα ὠφελήσειν.

μς'. Παρῄνει δὲ καὶ τῷ Τισσαφέρνει μὴ ἄγαν ἐπείγεσθαι διαλῦσαι τὸν πόλεμον, μηδὲ βουληθῆναι κομίσαντα ἢ ναῦς Φοινίσσας ἅσπερ παρεσκευάζετο ἢ Ἕλλησι πλείοσι μισθὸν πορίζοντα, τοῖς αὐτοῖς τῆς τε γῆς καὶ τῆς θαλάσσης τὸ κράτος δοῦναι, ἔχειν δ' ἀμφοτέρους ἐᾷν δίχα τὴν ἀρχὴν, καὶ βασιλεῖ ἐξεῖναι ἀεὶ ἐπὶ τοὺς αὐτῷ λυπηροὺς τοὺς ἑτέρους ἐπάγειν. Γενομένης δ' ἂν καθ' ἓν τῆς ἐς γῆν καὶ θάλασσαν ἀρχῆς, ἀπορεῖν ἂν αὐτὸν οἷς τοὺς κρατοῦντας ξυγκαθαιρήσει, ἢν μὴ αὐτὸς βούληται μεγάλῃ δαπάνῃ καὶ κινδύνῳ ἀναστάς ποτε διαγωνίσασθαι. Εὐτελέστερα δὲ τάδ' εἶναι, βραχεῖ μορίῳ τῆς δαπάνης καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας αὐτοὺς περὶ ἑαυτοὺς τοὺς Ἕλληνας κατατρῖψαι. Ἐπιτηδειοτέρους τε ἔφη τοὺς Ἀθηναίους εἶναι κοινωνοὺς αὐτῷ τῆς ἀρχῆς· ἧσσον γὰρ τῶν κατὰ γῆν ἐφίεσθαι, τὸν λόγον τε ξυμφορώτατον καὶ τὸ ἔργον ἔχοντας πολεμεῖν· τοὺς μὲν γὰρ ξυγκαταδουλοῦν ἂν σφίσι τε αὐτοῖς τὸ τῆς θαλάσσης μέρος καὶ ἐκείνῳ ὅσοι ἐν τῇ βασιλέως Ἕλληνες οἰκοῦσι, τοὺς δὲ τοὐναντίον ἐλευθερώσοντας ἥκειν· καὶ οὐκ εἰκὸς εἶναι Λακεδαιμονίους ἀπὸ μὲν σφῶν

pensé pour cette ville, de se refuser maintenant à contribuer autant et même plus pour leur propre salut : il représenta enfin que, pour l'instant, Tissaphernes, faisant la guerre à ses frais, avait raison d'épargner l'argent; mais que, si un jour des subsides étaient envoyés par le Roi, Tissaphernes leur rendrait la solde en entier, et accorderait aux villes tout ce qui serait convenable.

46. Il conseillait aussi à Tissaphernes de ne pas se trop hâter de terminer la guerre, et de ne point consentir, soit en faisant venir une flotte Phénicienne, comme il s'y préparait, soit en fournissant la solde à un plus grand nombre d'Hellènes, à donner par là l'empire de la mer et de la terre au même peuple; mais de laisser la puissance partagée entre les deux rivaux; ce qui permettrait toujours au Roi de les mettre chez eux aux prises l'un contre l'autre; tandis que, si l'empire de terre et de mer se concentrait en un seul, le Roi dépourvu d'alliés ne pourrait plus abattre le peuple prépondérant, à moins qu'un jour il ne voulût aller vider lui-même la querelle à grands frais et non pas sans péril. Il y avait donc bien moins de risques, tout en réduisant beaucoup la dépense et en assurant sa tranquillité, à laisser les Hellènes s'user entre eux. Il dit de plus qu'il serait préférable pour le Roi de partager l'autorité avec les Athéniens, attendu qu'ils n'aspiraient pas, comme les Lacédémoniens, à l'empire continental, et qu'ils feraient la guerre, par le fait et par leurs vues, de la manière la plus profitable aux intérêts du Roi, puisqu'ils soumettraient à eux-mêmes la partie respective de la mer, et au Roi les populations Grecques établies dans son royaume, tandis qu'au contraire les Lacédémoniens

[τῶν Ἑλλήνων] ἐλευθεροῦν νῦν τοὺς Ἕλληνας, ἀπὸ δ' ἐκείνων [τῶν βαρβάρων], ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι, μὴ ἐλευθερῶσαι. Τρίβειν οὖν ἐκέλευε πρῶτον ἀμφοτέρους, καὶ ἀποτεμόμενον ὡς μέγιστα ἀπὸ τῶν Ἀθηναίων, ἔπειτ' ἤδη τοὺς Πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας.

Καὶ διενοεῖτο τὸ πλέον οὕτως ὁ Τισσαφέρνης, ὅσα γε ἀπὸ τῶν ποιουμένων ἦν εἰκάσαι. Τῷ γὰρ Ἀλκιβιάδῃ διὰ ταῦτα, ὡς εὖ περὶ τούτων παραινοῦντι, προσθεὶς ἑαυτὸν ἐς πίστιν τήν τε τροφὴν κακῶς ἐπόριζε τοῖς Πελοποννησίοις καὶ ναυμαχεῖν οὐκ εἴα, ἀλλὰ καὶ τὰς Φοινίσσας φάσκων ναῦς ἥξειν καὶ ἐκ περιόντος ἀγωνιεῖσθαι ἔφθειρε τὰ πράγματα, καὶ τὴν ἀκμὴν τοῦ ναυτικοῦ αὐτῶν ἀφείλετο γενομένην καὶ πάνυ ἰσχυράν, τά τε ἄλλα καταφανέστερον ἢ ὥστε λανθάνειν οὐ προθύμως ξυνεπολέμει.

μζ΄. Ὁ δὲ Ἀλκιβιάδης ταῦτα ἅμα μὲν τῷ Τισσαφέρνει καὶ [τῷ] βασιλεῖ, ὢν παρ' ἐκείνοις, ἄριστα εἶναι νομίζων παρῄνει, ἅμα δὲ τὴν ἑαυτοῦ κάθοδον ἐς τὴν πατρίδα ἐπιθεραπεύων, εἰδώς, εἰ μὴ διαφθερεῖ αὐτήν, ὅτι ἔσται ποτὲ αὐτῷ πείσαντι κατελθεῖν· πεῖσαι δ' ἂν ἐνόμιζε μάλιστα ἐκ τοῦ τοιούτου, εἰ Τισσαφέρνης φαίνοιτο αὐτῷ ἐπιτήδειος ὤν· ὅπερ καὶ ἐγένετο. Ἐπειδὴ γὰρ ᾔσθοντο αὐτὸν ἰσχύοντα παρ' αὐτῷ οἱ ἐν τῇ Σάμῳ Ἀθηναίων στρατιῶται, τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους ἐς τοὺς δυνατωτάτους αὐτῶν ἄνδρας ὥστε μνησθῆναι περὶ αὐτοῦ ἐς τοὺς βελ-

venaient pour rendre la liberté aux peuples ; qu'il n'était pas présumable que les Lacédémoniens délivrassent maintenant les Hellènes du joug des Hellènes, pour ne pas les délivrer de celui des Barbares, si jamais ils parvenaient à se défaire des Athéniens. Il lui conseilla donc d'affaiblir d'abord les deux peuples; et, après avoir fortement entamé la puissance Athénienne, d'expulser dès lors les Péloponnésiens du territoire royal.

Tissaphernes abondait aussi dans ce sens, autant du moins qu'on en pouvait conjecturer par ses actes ; aussi se livra-t-il avec confiance à Alcibiades, parce qu'il lui donnait de bons conseils en tout cela ; il fournit mal la solde aux Péloponnésiens, ne leur laissa pas livrer un combat naval ; mais, en affirmant que la flotte Phénicienne allait bientôt arriver, et qu'alors on combattrait avec des forces plus que suffisantes, il ruina leurs affaires, leur fit perdre la fleur de leur marine, devenue toute puissante, et, généralement, il participa à la guerre avec une froideur trop manifeste pour qu'on ne pût s'en apercevoir.

47. Alcibiades donnait ces conseils à Tissaphernes et au Roi, d'un côté parce que refugié près d'eux, il croyait leur devoir d'utiles avis, et de l'autre, parce qu'il ménageait aussi son retour dans sa patrie, sachant que, s'il la préservait de la ruine, il pourrait un jour, par la persuasion, obtenir son rappel ; il croyait donc que le meilleur moyen d'y engager les Athéniens, c'était de passer pour l'ami intime de Tissaphernes. C'est ce qui arriva ; dès que l'armée Athénienne à Samos fut persuadée de sa faveur auprès de Tissaphernes, et qu'il avait adressé des propositions aux hommes les plus influents pour remémorer aux honnêtes gens son intention, en rentrant

τίστους τῶν ἀνθρώπων ὅτι ἐπ' ὀλιγαρχίᾳ βούλεται καὶ οὐ πονηρίᾳ οὐδὲ δημοκρατίᾳ τῇ ἑαυτὸν ἐκβαλούσῃ κατελθὼν καὶ παρασχὼν Τισσαφέρνην φίλον αὐτοῖς ξυμπολιτεύειν, τὸ δὲ πλέον καὶ ἀπὸ σφῶν αὐτῶν οἱ ἐν τῇ Σάμῳ τριήραρχοί τε τῶν Ἀθηναίων καὶ δυνατώτατοι ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν δημοκρατίαν.

μη'. Καὶ ἐκινήθη πρότερον ἐν τῷ στρατοπέδῳ τοῦτο, καὶ ἐς τὴν πόλιν ἐντεῦθεν ὕστερον ἦλθε. Τῷ τε Ἀλκιβιάδῃ διαβάντες τινὲς ἐκ τῆς Σάμου ἐς λόγους ἦλθον, καὶ ὑποτείνοντος αὐτοῦ Τισσαφέρνην μὲν πρῶτον, ἔπειτα δὲ καὶ βασιλέα φίλον ποιήσειν, εἰ μὴ δημοκρατοῖντο (οὕτω γὰρ ἂν πιστεῦσαι μᾶλλον βασιλέα), πολλὰς ἐλπίδας εἶχον αὐτοί θ' ἑαυτοῖς οἱ δυνατοὶ τῶν πολιτῶν τὰ πράγματα, οἵπερ καὶ ταλαιπωροῦνται μάλιστα, ἐς ἑαυτοὺς περιποιήσειν καὶ τῶν πολεμίων ἐπικρατήσειν. Ἔς τε τὴν Σάμον ἐλθόντες, ξυνίστασάν τε τῶν ἀνθρώπων τοὺς ἐπιτηδείους ἐς ξυνωμοσίαν, καὶ ἐς τοὺς πολλοὺς φανερῶς ἔλεγον ὅτι βασιλεὺς σφίσι φίλος ἔσοιτο καὶ χρήματα παρέξοι, Ἀλκιβιάδου τε κατελθόντος καὶ μὴ δημοκρατουμένων.

Καὶ ὁ μὲν ὄχλος, εἰ καί τι παραυτίκα ἤχθετο τοῖς πρασσομένοις, διὰ τὸ εὔπορον τῆς ἐλπίδος τοῦ παρὰ βασιλέως μισθοῦ ἡσύχαζεν· οἱ δὲ ξυνιστάντες τὴν ὀλιγαρχίαν, ἐπειδὴ τῷ πλήθει ἐκοίνωσαν, αὖθις κἀν σφίσιν αὐτοῖς καὶ τοῦ ἑταιρικοῦ τῷ πλέονι τὸ ἀπὸ τοῦ Ἀλκιβιάδου ἐσκόπουν. Καὶ τοῖς

dans sa patrie, d'administrer avec eux les affaires, appuyé sur le parti de l'aristocratie, et non sur celui de la perversité ou du peuple qui l'avait exilé, et leur procurant l'amitié de Tissaphernes, elle s'empressa d'abolir la démocratie, s'y décidant surtout parce que les triérarques et les plus puissants des Athéniens à Samos aspiraient eux-mêmes à ce changement.

48. Cette affaire fut agitée d'abord dans l'armée, et ensuite dans la ville; quelques personnes vinrent aussi de Samos pour conférer avec Alcibiades : il leur promit l'amitié de Tissaphernes d'abord, et ensuite celle du Roi, s'ils ne voulaient plus de démocratie, car dès-lors le Roi prendrait plus de confiance. Les principaux citoyens d'Athènes, qui ordinairement ont aussi le plus à souffrir, conçurent un grand espoir d'être chez eux à la tête des affaires, et de vaincre les ennemis. Arrivés à Samos, ils rassemblèrent ceux qui étaient favorables à la conjuration, et déclarèrent ouvertement au peuple que le Roi deviendrait ami, et fournirait de l'argent, du moment où Alcibiades rentrerait dans sa patrie et qu'on aurait aboli la démocratie.

Quoique la multitude fût pour l'instant mécontente de ces menées, cependant, par l'espoir d'obtenir plus aisément une solde du Roi, elle se tint tranquille; tandis que ceux qui préparaient l'établissement de l'oligarchie, dès qu'ils eurent communiqué leur plan au peuple, examinèrent derechef entre eux et la plupart de leurs affidés les propositions d'Alcibiades : elles pa-

μὲν ἄλλοις ἐφαίνετο εὔπορα καὶ πιστὰ, Φρυνίχῳ δὲ στρατηγῷ ἔτι ὄντι οὐδὲν ἤρεσκεν, ἀλλ' ὅ τε Ἀλκιβιάδης, ὅπερ καὶ ἦν, οὐδὲν μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεῖσθαι ἐδόκει αὐτῷ, οὐδ' ἄλλο τι σκοπεῖσθαι ἢ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας, ὑπὸ τῶν ἑταίρων παρακληθεὶς, κάτεισι, σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα ὅπως μὴ στασιάσωσι· βασιλεῖ τε οὐκ εὔπορον εἶναι, καὶ Πελοποννησίων ἤδη ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων, καὶ πόλεις ἐχόντων ἐν τῇ αὐτοῦ ἀρχῇ οὐ τὰς ἐλαχίστας, Ἀθηναίοις προσθέμενον, οἷς οὐ πιστεύει, πράγματα ἔχειν, ἐξὸν Πελοποννησίους, ὑφ' ὧν κακὸν οὐδέν πω πέπονθε, φίλους ποιήσασθαι. Τάς τε ξυμμαχίδας πόλεις, αἷς ὑποσχήσεσθαι δὴ σφᾶς ὀλιγαρχίαν, ὅτι δὴ καὶ αὐτοὶ οὐ δημοκρατήσονται, εὖ εἰδέναι ἔφη ὅτι οὐδὲν μᾶλλον σφίσιν οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσονται οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται· οὐ γὰρ βουλήσεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν μᾶλλον ἢ μεθ' ὁποτέρου ἂν τύχωσι τούτων ἐλευθέρους εἶναι· τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους οὐκ ἐλάσσω αὐτοὺς νομίζειν σφίσι πράγματα παρέξειν τοῦ δήμου, ποριστὰς ὄντας καὶ ἐσηγητὰς τῶν κακῶν τῷ δήμῳ, ἐξ ὧν τὰ πλείω αὐτοὺς ὠφελεῖσθαι· καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, καὶ ἄκριτοι ἂν καὶ βιαιότερον ἀποθνήσκειν, τὸν δὲ δῆμον σφῶν τε καταφυγὴν εἶναι καὶ ἐκείνων σωφρονιστήν. Καὶ ταῦτα παρ' αὐτῶν τῶν ἔργων ἐπισταμένας τὰς πόλεις σαφῶς αὐτὸς εἰδέναι ὅτι οὕτω

raissaient à tous d'une exécution facile, et dignes de confiance, mais déplaisaient fort à Phrynichos, qui était encore général : il croyait, et c'était aussi la vérité, qu'Alcibiades ne voulait pas plus de l'oligarchie que de la démocratie ; qu'il ne songeait qu'aux moyens de changer dans la ville l'ordre existant, pour y rentrer rappelé par ses amis ; que l'on devait surtout veiller à éviter toute dissension ; que, comme les Péloponnésiens étaient déjà aussi puissants sur mer que les Athéniens, et possédaient sur le territoire du Roi des villes considérables, le Roi ne croyait pas avantageux de se créer des embarras en s'unissant aux Athéniens, dont il se défiait, tandis qu'il pouvait se concilier l'amitié des Péloponnésiens, dont il n'avait jamais eu à se plaindre. Quant aux villes alliés, auxquelles les Athéniens promettraient sans doute l'oligarchie, parce qu'eux-mêmes n'auraient plus de gouvernement démocratique, il disait être sûr que ni celles qui s'étaient révoltées ne se rapprocheraient d'eux, ni celles qui restaient encore fidèles ne le seraient davantage ; car elles ne préféreraient pas l'esclavage, sous l'oligarchie ou la démocratie, à leur liberté sous l'une ou l'autre de ces formes de gouvernement. Quant à ceux qu'on nommait honnêtes gens, il croyait qu'on ne serait pas moins embarrassé par eux que par le peuple, dont ils sont les fauteurs et les instigateurs au mal pour s'en attribuer le profit ; que, si cela dépendait d'eux, on serait condamné à une mort violente et sans forme de procès, tandis que dans le peuple on aurait un refuge pour soi-même et un modérateur contre eux. Il était convaincu que les villes, instruites par les faits eux-mêmes, avaient la même opinion à ce sujet ; enfin quant à lui, il désapprouvait

νομίζουσιν. Οὔκουν ἑαυτῷ γε τῶν ἀπὸ Ἀλκιβιάδου καὶ ἐν τῷ παρόντι πρασσομένων ἀρέσκειν οὐδέν.

μθ'. Οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυνωμοσίᾳ, ὥσπερ καὶ τὸ πρῶτον αὐτοῖς ἐδόκει, τά τε παρόντα ἐδέχοντο καὶ ἐς τὰς Ἀθήνας πρέσβεις Πείσανδρον καὶ ἄλλους παρεσκευάζοντο πέμπειν, ὅπως περί τε τῆς τοῦ Ἀλκιβιάδου καθόδου πράσσοιεν καὶ τῆς τοῦ ἐκεῖ δήμου καταλύσεως, καὶ τὸν Τισσαφέρνην φίλον τοῖς Ἀθηναίοις ποιήσειαν.

ν'. Γνοὺς δὲ ὁ Φρύνιχος ὅτι ἔσοιτο περὶ τῆς τοῦ Ἀλκιβιάδου καθόδου λόγος καὶ ὅτι Ἀθηναῖοι ἐνδέξονται αὐτὴν, δείσας πρὸς τὴν ἐναντίωσιν τῶν ὑφ' αὐτοῦ λεχθέντων μὴ, ἢν κατέλθῃ, ὡς κωλυτὴν ὄντα κακῶς δρᾷ, τρέπεται ἐπὶ τοιόνδε τι. Πέμπει ὡς τὸν Ἀστύοχον, τὸν Λακεδαιμονίων ναύαρχον, ἔτι ὄντα τότε περὶ τὴν Μίλητον, κρύφα ἐπιστείλας ὅτι Ἀλκιβιάδης αὐτῶν τὰ πράγματα φθείρει Τισσαφέρνην Ἀθηναίοις φίλον ποιῶν, καὶ τἄλλα πάντα σαφῶς ἐγγράψας· ξυγγνώμην δὲ εἶναι ἑαυτῷ περὶ ἀνδρὸς πολεμίου καὶ μετὰ τοῦ τῆς πόλεως ἀξυμφόρου κακόν τι βουλεύειν. Ὁ δὲ Ἀστύοχος τὸν μὲν Ἀλκιβιάδην, ἄλλως τε καὶ οὐκέτι ὁμοίως ἐς χεῖρας ἰόντα, οὐδὲ διενοεῖτο τιμωρεῖσθαι, ἀνελθὼν δὲ παρ' αὐτὸν ἐς Μαγνησίαν καὶ παρὰ Τισσαφέρνην ἅμα λέγει τε αὐτοῖς τὰ ἐπισταλέντα ἐκ τῆς Σάμου καὶ γίγνεται αὐτὸς μηνυτὴς, προσέθηκέ τε, ὡς ἐλέγετο, ἐπὶ ἰδίοις κέρδεσι Τισσαφέρνει ἑαυτὸν, καὶ περὶ τούτων καὶ περὶ

tout ce que proposait Alcibiades et toutes ces intrigues.

49. Mais l'assemblée des conjurés, conformément à sa première résolution, accueillit les propositions qui lui étaient faites, et se disposa à envoyer Pisandros et d'autres députés à Athènes pour y ménager le retour d'Alcibiades, y abolir la démocratie, et rendre Tissaphernes l'ami des Athéniens.

50. Phrynichos, se doutant qu'on allait proposer le retour d'Alcibiades, et que les Athéniens l'approuveraient, craignait, après tout ce qu'il avait dit contre Alcibiades, que, s'il revenait, il ne lui fît un mauvais parti à cause de son opposition; il recourut à l'expédient que voici : il envoya un message à Astyochos, navarque des Lacédémoniens, qui stationnait encore à cette époque autour de Milet, et lui écrivit secrètement qu'Alcibiades ruinait les affaires de Lacédémone en rendant Tissaphernes ami des Athéniens; il lui donna dans ses lettres des détails exacts sur tout et s'excusa du mal qu'il voulait faire à un ennemi personnel, même au détriment de sa patrie. Astyochos ne songea nullement à punir Alcibiades que d'ailleurs on ne pouvait atteindre comme auparavant; mais il se rendit auprès de lui en Magnésie, ainsi qu'auprès de Tissaphernes, et leur communiqua tout ce qu'on lui avait écrit de Samos, prenant ainsi le rôle de délateur. Dans cette affaire comme pour les autres, il s'attacha, dit-on, dans des vues intéressées

τῶν ἄλλων κοινοῦσθαι· διόπερ καὶ τῆς μισθοφορᾶς οὐκ ἐντελοῦς οὔσης μαλακωτέρως ἀνθήπτετο.

Ὁ δὲ Ἀλκιβιάδης εὐθὺς πέμπει κατὰ Φρυνίχου γράμματα ἐς τὴν Σάμον πρὸς τοὺς ἐν τέλει ὄντας οἷα δέδρακε, καὶ ἀξιῶν αὐτὸν ἀποθνήσκειν. Θορυβούμενος δὲ ὁ Φρύνιχος, καὶ πάνυ ἐν τῷ μεγίστῳ κινδύνῳ ὢν διὰ τὸ μήνυμα, ἀποστέλλει αὖθις πρὸς τὸν Ἀστύοχον, τά τε πρότερα μεμφόμενος ὅτι οὐ καλῶς ἐκρύφθη, καὶ νῦν ὅτι ὅλον τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἑτοῖμος εἴη τὸ ἐν τῇ Σάμῳ παρασχεῖν αὐτοῖς διαφθεῖραι, γράψας καθ' ἕκαστα, ἀτειχίστου οὔσης Σάμου, ᾧ ἂν τρόπῳ αὐτὰ πράξειε, καὶ ὅτι ἀνεπίφθονόν οἱ ἤδη εἴη περὶ τῆς ψυχῆς δι' ἐκείνους κινδυνεύοντι καὶ τοῦτο καὶ ἄλλο πᾶν δρᾶσαι μᾶλλον ἢ ὑπὸ τῶν ἐχθίστων αὐτὸν διαφθαρῆναι. Ὁ δὲ Ἀστύοχος μηνύει καὶ ταῦτα τῷ Ἀλκιβιάδῃ.

να'. Καὶ ὡς προῄσθετο αὐτὸν ὁ Φρύνιχος ἀδικοῦντα καὶ ὅσον οὐ παροῦσαν ἀπὸ τοῦ Ἀλκιβιάδου περὶ τούτων ἐπιστολὴν, αὐτὸς προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται ὡς οἱ πολέμιοι μέλλουσιν, ἀτειχίστου οὔσης τῆς Σάμου καὶ ἅμα τῶν νεῶν οὐ πασῶν ἔνδον ὁρμουσῶν, ἐπιθήσεσθαι τῷ στρατοπέδῳ, καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη, καὶ χρῆναι τειχίζειν τε Σάμον ὡς τάχιστα, καὶ τἆλλα ἐν φυλακῇ ἔχειν. Ἐστρατήγει δὲ καὶ κύριος ἦν αὐτὸς πράσσων ταῦτα. Καὶ οἱ μὲν τὸν τειχισμόν τε παρεσκευάζοντο, καὶ ἐκ τοῦ τοιούτου, καὶ ὣς μέλλουσα, Σάμος θᾶσσον ἐτειχίσθη· αἱ

et pour amour du gain à Tissaphernes ; aussi insistait-il mollement sur la solde qu'on ne payait pas en entier.

Aussitôt Alcibiades envoya à Samos des lettres contre Phrynichos, où il dévoilait aux autorités l'énormité de son crime, et demandait sa mort. Phrynichos, déconcerté, et se trouvant dans le plus grand péril par cette dénonciation, envoya derechef auprès d'Astyochos pour lui reprocher de n'avoir pas tenu secret le passé, et lui déclarer que maintenant il était prêt à livrer aux Lacédémoniens, pour la détruire, toute l'armée Athénienne qui était à Samos ; il détailla les divers moyens par lesquels il en viendrait à bout, Samos étant sans murailles ; enfin il dit qu'en exposant sa vie pour leurs intérêts, il ne devait encourir aucun blâme de s'être porté à cette extrémité, et même à toute autre, plutôt que de périr victime de ses plus cruels ennemis. Astyochos communiqua aussi ces nouvelles à Alcibiades.

51. Mais Phrynichos, qui avait prévu sa perfidie, et se doutait qu'une dépêche de la part d'Alcibiades arriverait bientôt, annonça lui-même à l'armée, pour prévenir le coup, que, la ville de Samos étant sans remparts, et la flotte ne mouillant pas tout entière dans son port, les ennemis devaient venir attaquer le camp; qu'il en était bien instruit; qu'il fallait donc fortifier Samos le plus tôt possible, et bien se tenir sur ses gardes. Comme il commandait alors, il était maître aussi d'exécuter lui-même ces mesures. On se mit à élever des murs ; et, de cette manière, Samos, qui d'ailleurs devait être fortifiée, le fut avec plus de célérité. Peu après arrivèrent les lettres de la part d'Alcibiades, annonçant que l'armée était trahie par Phrynichos, et que l'ennemi allait bientôt commencer l'attaque. Mais on crut qu'Alcibiades ne

δὲ παρὰ τοῦ Ἀλκιβιάδου ἐπιστολαὶ οὐ πολὺ ὕστερον ἧκον ὅτι προδίδοταί τε τὸ στράτευμα ὑπὸ Φρυνίχου καὶ οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι. Δόξας δὲ ὁ Ἀλκιβιάδης οὐ πιστὸς εἶναι, ἀλλὰ τὰ ἀπὸ τῶν πολεμίων προειδὼς τῷ Φρυνίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλαψεν αὐτὸν, ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον, ταὐτὰ ἐσαγγείλας.

νβ'. Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης μὲν Τισσαφέρνην παρεσκεύαζε καὶ ἀνέπειθεν ὅπως φίλος ἔσται τοῖς Ἀθηναίοις, δεδιότα μὲν τοὺς Πελοποννησίους, ὅτι πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν, βουλόμενον δὲ ὅμως, εἰ δύναιτό πως, πεισθῆναι, ἄλλως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ Κνίδῳ διαφορὰν περὶ τῶν Θηριμένους σπονδῶν ᾔσθετο τῶν Πελοποννησίων (ἤδη γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ Ῥόδῳ ὄντων αὐτῶν ἐγεγένητο), ἐν ᾗ τὸν τοῦ Ἀλκιβιάδου λόγον πρότερον εἰρημένον περὶ τοῦ ἐλευθεροῦν τοὺς Λακεδαιμονίους ἁπάσας τὰς πόλεις, ἐπηλήθευσεν ὁ Λίχας, οὐ φάσκων ἀνεκτὸν εἶναι ξυγκεῖσθαι κρατεῖν βασιλέα τῶν πόλεων, ὧν ποτε καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πατέρες ἦρχον. Καὶ ὁ μὲν Ἀλκιβιάδης, ἅτε περὶ μεγάλων ἀγωνιζόμενος, προθύμως τὸν Τισσαφέρνην θεραπεύων προσέκειτο·

νγ'. Οἱ δὲ μετὰ τοῦ Πεισάνδρου πρέσβεις τῶν Ἀθηναίων ἀποσταλέντες ἐκ τῆς Σάμου, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, λόγους ἐποιοῦντο ἐν τῷ δήμῳ κεφαλαιοῦντες ἐκ πολλῶν, μάλιστα δὲ ὡς ἐξείη αὐτοῖς Ἀλκιβιάδην καταγαγοῦσι καὶ

méritait aucune confiance, et qu'instruit d'avance des projets de l'ennemi, il en avait rejeté la complicité sur Phrynichos, qu'il haïssait : par cet avertissement concordant avec celui de Phrynichos, loin de lui nuire, il déposa plutôt en sa faveur.

52. Cela fait Alcibiades employa tous les moyens pour persuader Tissaphernes de se faire l'ami des Athéniens : Tissaphernes craignait les Péloponnésiens, dont il voyait la flotte devenue plus nombreuse que celle des Athéniens ; il aurait donc voulu, s'il était possible, se laisser convaincre par Alcibiades, surtout après la connaissance qu'il avait eu du différend soulevé à Cnide par les Péloponnésiens au sujet du traité conclu par Thérimenes ; c'est, en effet, à l'époque où tous deux se trouvaient à Rhodes qu'eut lieu cette contestation, dans laquelle ce qu'autrefois Alcibiades avait avancé relativement aux projets des Lacédémoniens de rendre libres toutes les villes Helléniques, se trouva confirmé par Lichas, lorsqu'il dit hautement qu'on ne saurait admettre une clause d'après laquelle le Roi garderait les villes possédés jadis par lui ou ses ancêtres. Alcibiades, qui se consumait en efforts pour ces importantes affaires, était assidu auprès de Tissaphernes et lui témoignait un zèle empressé.

53. Les députés Athéniens, envoyés de Samos avec Pisandros, dès leur arrivée à Athènes, parlèrent dans l'assemblée du peuple : ils ne traitèrent plusieurs affaires qu'en substance, mais ils appuyèrent sur ce qu'il dépendait des Athéniens, en rappelant Alcibiades, et en mo-

μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν καὶ Πελοποννησίων περιγενέσθαι. Ἀντιλεγόντων δὲ πολλῶν καὶ ἄλλων περὶ τῆς δημοκρατίας, καὶ τῶν Ἀλκιβιάδου ἅμα ἐχθρῶν διαβοώντων ὡς δεινὸν εἴη εἰ τοὺς νόμους βιασάμενος κάτεισι, καὶ Εὐμολπιδῶν καὶ Κηρύκων περὶ τῶν μυστικῶν, δι' ἅπερ ἔφυγε, μαρτυρομένων καὶ ἐπιθειαζόντων μὴ κατάγειν, ὁ Πείσανδρος, παρελθὼν πρὸς πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν, ἠρώτα ἕνα ἕκαστον παράγων τῶν ἀντιλεγόντων, εἴ τινα ἐλπίδα ἔχει σωτηρίας τῇ πόλει, Πελοποννησίων ναῦς τε οὐκ ἐλάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρῴρους ἐχόντων καὶ πόλεις ξυμμαχίδας πλείους, βασιλέως τε αὐτοῖς καὶ Τισσαφέρνους χρήματα παρεχόντων, σφίσι τε οὐκέτι ὄντων, εἰ μή τις πείσει βασιλέα μεταστῆναι παρὰ σφᾶς. Ὁπότε δὲ μὴ φαίησαν ἐρωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἔλεγεν αὐτοῖς ὅτι « τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι, εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον καὶ ἐς ὀλίγους μᾶλλον τὰς ἀρχὰς ποιήσομεν, ἵνα πιστεύῃ ἡμῖν βασιλεὺς, καὶ μὴ περὶ πολιτείας τὸ πλεῖον βουλεύσομεν ἐν τῷ παρόντι ἢ περὶ σωτηρίας (ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι, ἤν μή τι ἀρέσκῃ), Ἀλκιβιάδην τε κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός τε τοῦτο κατεργάσασθαι. »

νδ'. Ὁ δὲ δῆμος τὸ μὲν πρῶτον ἀκούων χαλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας· σαφῶς δὲ διδασκόμενος ὑπὸ τοῦ Πεισάνδρου μὴ εἶναι ἄλλην σωτηρίαν, δείσας καὶ ἅμα

difiant la démocratie, d'avoir le Roi pour allié, et de l'emporter sur les Péloponnésiens. Plusieurs s'opposèrent à ce qui concernait la démocratie; et de leur côté les ennemis d'Alcibiades s'écriaient qu'on commettrait un attentat, en lui permettant de rentrer dans une patrie dont il avait violé les lois. Les Eumolpides et les Cérycès protestaient aussi contre son rappel, en alléguant les mystères, cause de son exil, et en faisant des imprécations. Pisandros intervint dans ces querelles et ces malédictions; et, prenant à part chacun des contradicteurs, il lui demandait s'il avait quelque espoir de salut pour la république, quand sur mer les Péloponnésiens ne possédaient pas moins qu'eux de vaisseaux prêts au combat, quand ils avaient dans leur alliance des villes plus nombreuses, quand le Roi et Tissaphernes leur fournissaient de l'argent, tandis qu'eux-mêmes en étaient dépourvus, à moins d'engager le Roi à passer de leur côté. Lorsqu'à cette demande on répondait négativement, alors Pisandros leur disait sans détour : Ainsi donc nous ne pourrons parvenir à nos fins, qu'en nous gouvernant avec plus de modération, en confiant le pouvoir à un moindre nombre de citoyens pour que le Roi puisse se fier à nous; en ce moment ce n'est pas sur la constitution mais sur notre salut qu'il faut aviser, attendu que plus tard nous pourrons la changer, si quelque chose déplaît; rappelons donc Alcibiades qui, seul aujourd'hui, peut nous concilier l'amitié du Roi.

54. Le peuple, en l'entendant parler, s'indigna d'abord quant à l'oligarchie; mais, lorsque Pisandros lui eut démontré clairement qu'il n'y avait pas d'autre

ἐπελπίζων ὡς καὶ μεταβαλεῖται, ἐνέδωκε. Καὶ ἐψηφίσαντο πλεύσαντα τὸν Πείσανδρον καὶ δέκα ἄνδρας μετ' αὐτοῦ πράσσειν ὅπῃ ἂν αὐτοῖς δοκοίη ἄριστα ἕξειν τά τε πρὸς τὸν Τισσαφέρνην καὶ τὸν Ἀλκιβιάδην. Ἅμα τε διαβαλόντος καὶ Φρύνιχον τοῦ Πεισάνδρου, παρέλυσεν ὁ δῆμος τῆς ἀρχῆς καὶ τὸν ξυνάρχοντα Σκιρωνίδην, ἀντέπεμψαν δὲ στρατηγοὺς ἐπὶ τὰς ναῦς Διομέδοντα καὶ Λέοντα. Τὸν δὲ Φρύνιχον ὁ Πείσανδρος φάσκων Ἴασον προδοῦναι καὶ Ἀμόργην διέβαλεν, οὐ νομίζων ἐπιτήδειον εἶναι τοῖς πρὸς τὸν Ἀλκιβιάδην πρασσομένοις.

Καὶ ὁ μὲν Πείσανδρος τάς τε ξυνωμοσίας, αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι ἐπὶ δίκαις καὶ ἀρχαῖς, ἁπάσας ἐπελθὼν, καὶ παρακελευσάμενος ὅπως ξυστραφέντες καὶ κοινῇ βουλευσάμενοι καταλύσουσι τὸν δῆμον, καὶ τἄλλα παρασκευάσας ἐπὶ τοῖς παροῦσιν ὥστε μηκέτι διαμέλλεσθαι, αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν πλοῦν ὡς τὸν Τισσαφέρνην ποιεῖται.

νε'. Ὁ δὲ Λέων καὶ Διομέδων ἐν τῷ αὐτῷ χειμῶνι, ἀφιγμένοι ἤδη ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς, ἐπίπλουν τῇ Ῥόδῳ ἐποιήσαντο. Καὶ τὰς μὲν ναῦς καταλαμβάνουσιν ἀνειλκυσμένας τῶν Πελοποννησίων, ἐς δὲ τὴν γῆν ἀπόβασίν τινα ποιησάμενοι καὶ τοὺς προσβοηθήσαντας Ῥοδίων νικήσαντες μάχῃ, ἀπεχώρησαν ἐς τὴν Χάλκην καὶ τὸν πόλεμον ἐντεῦθεν μᾶλλον ἢ ἐκ τῆς Κῶ ἐποιοῦντο· εὐφυλακτότερα γὰρ

moyen de salut, il céda autant par crainte que par l'espoir d'un changement futur. On décréta que Pisandros, avec dix citoyens, partirait pour conclure, de la manière qui leur paraîtrait la plus avantageuse, la négociation avec Tissaphernes et Alcibiades. En même temps, comme Pisandros avait accusé Phrynichos, on destitua celui-ci du commandement, ainsi que son collègue Scirônidès, et à leur place on envoya pour commandants de la flotte Diomédôn et Léôn. Pisandros, jugeant que Phrynichos ne serait pas favorable à ce qu'on allait traiter avec Alcibiades, l'avait calomnié, l'accusant hautement d'avoir livré Iasos et Amorgès.

Pisandros, ayant visité toutes les sociétés politiques établies précédemment à Athènes, pour s'occuper des procès et de l'élection aux dignités, leur recommanda de s'unir et de se concerter pour l'abolition de la démocratie; puis après avoir tout disposé pour n'éprouver aucun retard, il s'embarqua avec les dix citoyens, afin de se rendre auprès de Tissaphernes.

55. Lorsque Léôn et Diomédôn, pendant le même hiver, eurent rejoint la flotte Athénienne, ils se portèrent contre Rhodes, y trouvèrent les vaisseaux du Péloponnèse tirés à sec, et, après avoir mis pied à terre et vaincu dans un combat les Rhodiens accourus au secours, s'en retournèrent à Chalcé : ce fut même de cette île plutôt que de celle de Côs qu'ils firent la guerre; car

αὐτοῖς ἐγίγνετο, εἴ ποι ἀπαίροι τὸ τῶν Πελοποννησίων ναυτικόν.

Ἦλθε δ' ἐς τὴν Ῥόδον καὶ Ξενοφαντίδας Λάκων παρὰ Πεδαρίτου ἐκ Χίου, λέγων ὅτι τὸ τεῖχος τῶν Ἀθηναίων ἤδη ἐπιτετέλεσται, καὶ, εἰ μὴ βοηθήσουσι πάσαις ταῖς ναυσὶν, ἀπολεῖται τὰ ἐν Χίῳ πράγματα. Οἱ δὲ διενοοῦντο βοηθήσειν. Ἐν τούτῳ δὲ ὁ Πεδάριτος αὐτός τε καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων καὶ τοὺς Χίους πανστρατιᾷ προσβαλὼν τῶν Ἀθηναίων τῷ περὶ τὰς ναῦς ἐρύματι αἱρεῖ τέ τι αὐτοῦ καὶ νεῶν τινων ἀνειλκυσμένων ἐκράτησεν· ἐπεκβοηθησάντων δὲ τῶν Ἀθηναίων καὶ τρεψαμένων τοὺς Χίους πρώτους, νικᾶται καὶ τὸ ἄλλο τὸ περὶ τὸν Πεδάριτον, καὶ αὐτὸς ἀποθνήσκει καὶ τῶν Χίων πολλοί; καὶ ὅπλα ἐλήφθη πολλά.

νς'. Μετὰ δὲ ταῦτα οἱ μὲν Χῖοι ἔκ τε γῆς καὶ θαλάσσης ἔτι μᾶλλον ἢ πρότερον ἐπολιορκοῦντο, καὶ ὁ λιμὸς αὐτόθι ἦν μέγας.

Οἱ δὲ περὶ τὸν Πείσανδρον Ἀθηναίων πρέσβεις, ἀφικόμενοι ὡς τὸν Τισσαφέρνην, λόγους ποιοῦνται περὶ τῆς ὁμολογίας. Ἀλκιβιάδης δὲ (οὐ γὰρ αὐτῷ πάνυ τὰ ἀπὸ Τισσαφέρνους βέβαια ἦν, φοβουμένου τοὺς Πελοποννησίους μᾶλλον, καὶ ἔτι βουλομένου, καθάπερ καὶ ὑπ' ἐκείνου ἐδιδάσκετο, τρίβειν ἀμφοτέρους) τρέπεται ἐπὶ τοιόνδε εἶδος ὥστε τὸν Τισσαφέρνην ὡς μέγιστα αἰτοῦντα παρὰ τῶν Ἀθηναίων μὴ ξυμβῆναι. Δοκεῖ δέ μοι καὶ ὁ Τισσαφέρνης τὸ αὐτὸ βου-

de là ils pouvaient mieux observer les mouvements de la flotte Péloponnésienne.

Il vint aussi à Rhodes un Lacônien Xénophantidas, envoyé de Chios par Pédaritos; il annonça que les fortifications élevées par les Athéniens étaient déjà terminées, et que les affaires des Péloponnésiens à Chios seraient ruinées, s'ils ne venaient pas au secours avec toute la flotte. Les Péloponnésiens étaient dans cette intention, lorsque Pédaritos en personne, avec ce qu'il avait avec lui de troupes auxiliaires et secondé des habitants de Chios, attaqua avec toutes ses forces les retranchements élevés par les Athéniens autour de leur flotte, en enleva une partie, et se rendit maître de quelques vaisseaux mis à sec; mais, les Athéniens étant accourus au secours, les habitants de Chios furent mis en déroute les premiers, le reste des troupes de Pédaritos le fut à son tour; lui-même périt, ainsi qu'un grand nombre de ceux de Chios, et beaucoup d'armes furent prises.

56. Après cet événement, les habitants de Chios furent plus étroitement cernés par mer et par terre, et dans la ville il y eut une grande famine.

Les députés Athéniens qui accompagnaient Pisandros, étant arrivés auprès de Tissaphernes, proposèrent un accommodement. Mais Alcibiades, ne se fiant pas trop en Tissaphernes, qui redoutait davantage les Péloponnésiens et voulait, conformément aux avis d'Alcibiades, miner les deux partis, recourut à l'expédient suivant, afin que Tissaphernes, par les demandes excessives qu'il ferait aux Athéniens, ne pût s'accorder avec eux. Telle était aussi, je crois, l'intention de Tissaphernes; seulement il y avait crainte de sa part, tandis qu'Alcibiades, ne voyant chez Tissaphernes aucune envie de s'accom-

λησθῆναι, αὐτὸς μὲν διὰ τὸ δέος, ὁ δὲ Ἀλκιβιάδης, ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὣς οὐ ξυμβησείοντα, δοκεῖν τοῖς Ἀθηναίοις ἐβούλετο μὴ ἀδύνατος εἶναι πεῖσαι, ἀλλ' ὡς πεπεισμένῳ Τισσαφέρνει καὶ βουλομένῳ προσχωρῆσαι τοὺς Ἀθηναίους μὴ ἱκανὰ διδόναι.

Ἤτει γὰρ τοσαῦτα ὑπερβάλλων ὁ Ἀλκιβιάδης, λέγων αὐτὸς ὑπὲρ παρόντος Τισσαφέρνους, ὥστε τὸ τῶν Ἀθηναίων, καίπερ ἐπὶ πολὺ ὅ τι αἰτοίη ξυγχωρούντων, ὅμως αἴτιον γενέσθαι· Ἰωνίαν τε γὰρ πᾶσαν ἠξίου δίδοσθαι καὶ αὖθις νήσους τε τὰς ἐπικειμένας καὶ ἄλλα, οἷς οὐκ ἐναντιουμένων τῶν Ἀθηναίων, τέλος ἐν τῇ τρίτῃ ἤδη ξυνόδῳ, δείσας μὴ πάνυ φωραθῇ ἀδύνατος ὤν, ναῦς ἠξίου ἐᾷν βασιλέα ποιεῖσθαι καὶ παραπλεῖν τὴν ἑαυτοῦ γῆν ὅπῃ ἂν καὶ ὅσαις ἂν βούληται. Ἐνταῦθα δὴ οὐκέτι τι, ἀλλ' ἄπορα νομίσαντες οἱ Ἀθηναῖοι καὶ ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξηπατῆσθαι, δι' ὀργῆς ἀπελθόντες κομίζονται ἐς τὴν Σάμον.

νζ'. Τισσαφέρνης δὲ εὐθὺς μετὰ ταῦτα καὶ ἐν τῷ αὐτῷ χειμῶνι παρέρχεται ἐς τὴν Καῦνον, βουλόμενος τοὺς Πελοποννησίους πάλιν τε κομίσαι ἐς τὴν Μίλητον, καὶ ξυνθήκας ἔτι ἄλλας ποιησάμενος, ἃς ἂν δύνηται, τροφήν τε παρέχειν, καὶ μὴ παντάπασιν ἐκπεπολεμῶσθαι, δεδιὼς μὴ, ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς, ἢ, τοῖς Ἀθηναίοις ἀναγκασθέντες ναυμαχεῖν, ἡσσηθῶσιν, ἢ, κενωθεισῶν τῶν νεῶν, ἄνευ ἑαυτοῦ γένηται τοῖς Ἀθηναίοις ἃ βού-

moder, voulait faire croire du moins aux Athéniens qu'il ne lui était pas impossible de l'amener à un arrangement, mais que les Athéniens n'accordaient pas assez à Tissaphernes, bien qu'il fût décidé et prêt à se ranger de leur côté.

Alcibiades qui parlait au nom de Tissaphernes en sa présence, fit de si exorbitantes demandes, que les Athéniens, bien qu'ils eussent adhéré à beaucoup de ce qu'il exigeait, firent échouer les négociations. D'abord Alcibiades prétendait qu'on livrât toute l'Iônie et, de plus, les îles adjacentes et encore d'autres choses que les Athéniens ne refusèrent pas; enfin à la troisième conférence, craignant qu'on ne découvrît qu'il ne pouvait rien, il demanda que les Athéniens permissent au Roi de construire une flotte, et de naviguer le long de tout le littoral de son empire avec autant de vaisseaux qu'il voudrait. Alors les Athéniens ne purent se contenir; convaincus qu'il n'y avait pas moyen de s'accommoder, et qu'Alcibiades les avait joués, ils s'éloignèrent irrités, et revinrent à Samos.

57. Aussitôt après, et dans le même hiver, Tissaphernes se rendit à Caunos, afin de ramener les Péloponnésiens à Milet, de conclure un nouveau traité, tel quel, de leur fournir un subside, et ne pas rompre tout à fait avec eux, dans la crainte que, faute de moyens d'entretenir une flotte nombreuse, les Péloponnésiens, forcés de livrer un combat naval aux Athéniens, ne succombassent, ou que, privés de ses subsides, leurs vaisseaux ne fussent abandonnés, et qu'alors les Athéniens ne parvinssent à leurs fins, sans sa participation.

λονται. Ἔτι δὲ ἐφοβεῖτο μάλιστα μὴ τῆς τροφῆς ζητήσει πορθήσωσι τὴν ἤπειρον. Πάντων οὖν τούτων λογισμῷ καὶ προνοίᾳ, ὥσπερ ἐβούλετο ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους, μεταπεμψάμενος οὖν τοὺς Πελοποννησίους, τροφήν τε αὐτοῖς δίδωσι, καὶ σπονδὰς τρίτας τάσδε σπένδεται.

νη'. « ΤΡΙΤΩ καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνθῆκαι ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς Τισσαφέρνην καὶ Ἱεραμένην καὶ τοὺς Φαρνάκου παῖδας περὶ τῶν βασιλέως πραγμάτων καὶ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων.

Χώραν τὴν βασιλέως, ὅση τῆς Ἀσίας ἐστὶ, βασιλέως εἶναι· καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς ὅπως βούλεται.

Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ ἰέναι ἐπὶ χώραν τὴν βασιλέως ἐπὶ κακῷ μηδενὶ, μηδὲ βασιλέα ἐπὶ τὴν Λακεδαιμονίων χώραν μηδὲ τῶν ξυμμάχων ἐπὶ κακῷ μηδενί.

Ἢν δέ τις Λακεδαιμονίων ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κωλύειν· καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ Λακεδαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω.

Τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνην

Mais il craignait surtout que, pour se procurer des vivres, les Péloponnésiens ne ravageassent le continent. Après avoir calculé toutes ces chances, et pris ses mesures d'avance, d'après son plan de contre-balancer les forces réciproques des Hellènes, il fit venir les Péloponnésiens, leur donna des subsides, et conclut avec eux pour la troisième fois le traité suivant.

58. « La treizième année du règne de Darius, Alexippidas étant éphore à Lacédémone, ce traité a été fait dans la plaine du Mæandros entre les Lacédémoniens et leurs alliés d'une part, et, de l'autre, Tissaphernes, Hiéraménès et les enfants de Pharnaces, concernant les affaires du Roi, des Lacédémoniens et de leurs alliés.

Tout le pays du Roi qui fait partie de l'Asie, restera sous sa domination; relativement à ce pays, le Roi avisera comme il le jugera bon.

Les Lacédémoniens et leurs alliés n'entreront avec aucune mauvaise intention dans le pays du Roi, ni le Roi dans le pays des Lacédémoniens et de leurs alliés.

Si quelqu'un des Lacédémoniens et de leurs alliés va sur le pays du Roi à mauvaise intention, les Lacédémoniens et leurs alliés y mettront obstacle; et si quelqu'un de la domination du Roi va sur le pays des Lacédémoniens et de leurs alliés à mauvaise intention, le Roi s'y opposera.

Tissaphernes fournira les subsides convenus à la flotte

παρέχειν κατὰ τὰ ξυγκείμενα μέχρι ἂν αἱ νῆες αἱ βασιλέως ἔλθωσι.

Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους, ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς ἢν βούλωνται τρέφειν, ἐφ' ἑαυτοῖς εἶναι· ἢν δὲ παρὰ Τισσαφέρνους λαμβάνειν ἐθέλωσι τὴν τροφὴν, Τισσαφέρνην παρέχειν, Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους τελευτῶντος τοῦ πολέμου τὰ χρήματα Τισσαφέρνει ἀποδοῦναι, ὁπόσα ἂν λάβωσιν.

Ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν πόλεμον πολεμούντων, καθ' ὅ τι ἂν Τισσαφέρνει δοκῇ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις.

Ἢν δὲ καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι. »

νθ'. Αἱ μὲν σπονδαὶ αὗται ἐγένοντο, καὶ μετὰ ταῦτα παρεσκευάζετο Τισσαφέρνης τάς τε Φοινίσσας ναῦς ἄξων, ὥσπερ εἴρητο, καὶ τἆλλα ὅσαπερ ὑπέσχετο, καὶ ἐβούλετο παρασκευαζόμενος γοῦν δῆλος εἶναι·

ξ'. Βοιωτοὶ δὲ τελευτῶντος ἤδη τοῦ χειμῶνος Ὠρωπὸν εἷλον προδοσίᾳ, Ἀθηναίων ἐμφρουρούντων. Ξυνέπραξαν δὲ Ἐρετριέων τε ἄνδρες καὶ αὐτῶν Ὠρωπίων, ἐπιβουλεύοντες ἀπόστασιν τῆς Εὐβοίας· ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον ὂν ἀδύνατα ἦν, Ἀθηναίων ἐχόντων, μὴ οὐ μεγάλα βλάπτειν καὶ Ἐρέτριαν καὶ τὴν ἄλλην Εὔβοιαν.

actuelle, jusqu'à l'arrivée de la flotte du Roi.

Après l'arrivée de la flotte du Roi, si les Lacédémoniens et leurs alliés veulent soudoyer leur flotte, ils en seront les maîtres. S'ils veulent recevoir le subside de Tissaphernes, il le leur fournira; mais, la guerre terminée, les Lacédémoniens et leurs alliés rembourseront à Tissaphernes tout l'argent qu'ils en auront reçu.

Quand les vaisseaux du Roi seront arrivés, la flotte des Lacédémoniens, celle de leurs alliés et celle du Roi feront la guerre en commun, suivant que le jugeront à propos Tissaphernes, les Lacédémoniens et leurs alliés.

S'ils veulent se réconcilier avec les Athéniens, ils le feront d'un commun accord. »

59. Telles furent les clauses du traité. Tissaphernes se disposa ensuite à faire venir, comme il en était convenu, la flotte Phénicienne, et à remplir toutes ses promesses; du moins il voulut faire voir qu'il s'en occupait.

60. Vers la fin de l'hiver, les Bœôtiens prirent par trahison Orôpos, où il y avait une garnison Athénienne. Ils furent secondés par quelques Érétriens et même par des Orôpiens qui tramaient le soulèvement de l'Eubœe; tant que les Athéniens occupaient cette place, qui domine Érétrie, elle ne pouvait qu'être très-préjudiciable à cette ville, ainsi qu'au reste de l'Eubœe.

Ἔχοντες οὖν ἤδη τὸν Ὠρωπὸν ἀφικνοῦνται ἐς Ῥόδον οἱ Ἐρετριῆς, ἐπικαλούμενοι ἐς τὴν Εὔβοιαν τοὺς Πελοποννησίους. Οἱ δὲ πρὸς τὴν τῆς Χίου κακουμένης βοήθειαν μᾶλλον ὥρμηντο, καὶ ἄραντες πάσαις ταῖς ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον. Καὶ γενόμενοι περὶ τὸ Τριόπιον, καθορῶσι τὰς τῶν Ἀθηναίων ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ, ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς τὴν Σάμον, οἱ δὲ ἐς τὴν Μίλητον, καὶ ἑώρων οὐκέτι ἄνευ ναυμαχίας οἷόν τε εἶναι ἐς τὴν Χίον βοηθῆσαι. Καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

ξα΄. Τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ Δερκυλίδας τε, ἀνὴρ Σπαρτιάτης, στρατιὰν ἔχων οὐ πολλὴν παρεπέμφθη πεζῇ ἐφ' Ἑλλησπόντου Ἄβυδον ἀποστήσων (εἰσὶ δὲ Μιλησίων ἄποικοι), καὶ οἱ Χῖοι, ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι, ναυμαχῆσαι πιεζόμενοι τῇ πολιορκίᾳ ἠναγκάσθησαν. Ἔτυχον δὲ, ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου, ἐκ τῆς Μιλήτου Λέοντά τε, ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης ξυνεξῆλθε, τοῦτον κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον ἄρχοντα, καὶ ναῦς δώδεκα, αἳ ἔτυχον φύλακες Μιλήτου οὖσαι, ὧν ἦσαν Θούριαι πέντε καὶ Συρακόσιαι τέσσαρες καὶ μία Ἀναιῖτις καὶ μία Μιλησία καὶ Λέοντος μία. Ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ, καὶ καταλαβόντων τι ἐρυμνὸν χωρίον, καὶ τῶν νεῶν αὐτοῖς ἅμα

Maîtres alors d'Orôpos, les Érétriens passèrent à Rhodes pour appeler les Péloponnésiens dans l'Eubœe. Mais ceux-ci étaient plus disposés à secourir Chios, alors dans la détresse. Partis de Rhodes, les Péloponnésiens voguaient avec toute la flotte, lorsque arrivés près de Triopion, ils découvrirent en haute mer les vaisseaux Athéniens qui venaient de Chalcé; comme de part et d'autre on ne voulut point engager le combat, les Athéniens allèrent à Samos et les Péloponnésiens à Milet; ils avaient reconnu l'impossibilité, sans livrer un combat naval, de secourir Chios. Cet hiver finit, ainsi que la vingtième année de la présente guerre dont Thucydides a composé l'histoire.

61. L'été suivant, dès l'arrivée du printemps, Dercylidas de Sparte fut envoyé par terre avec une armée peu nombreuse, en longeant les côtes jusqu'à l'Hellespont, pour faire révolter Abydos, colonie des Milésiens. Les habitants de Chios, pendant qu'Astyochos ne savait comment les secourir, pressés par le siége, furent obligés de livrer un combat naval. Lorsqu'Astyochos se trouvait encore à Rhodes, ils reçurent pour commandant après la mort de Pédaritos le Spartiate Léôn, venant de Milet où il s'était rendu sur le vaisseau d'Antisthènes comme simple passager. Il leur vint aussi douze vaisseaux, qui étaient en station à Milet, parmi lesquels il y en avait cinq de Thurii, quatre de Syracuse, un d'Anæe, un de Milet, et celui de Léôn. Les habitants de Chios firent une sortie en masse et occupèrent une forte position; en même temps leurs vaisseaux, au nombre de

21e année
Ol. 92, 1.
Av. J.-C. 411.

ἓξ καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα ἀναγαγομένων, ἐναυμάχησαν· καὶ καρτερᾶς γενομένης ναυμαχίας, οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ ξύμμαχοι (ἤδη γὰρ καὶ ὀψὲ ἦν) ἀνεχώρησαν ἐς τὴν πόλιν.

ξϐ'. Μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Δερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου παρεξελθόντος, Ἄϐυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται πρὸς Δερκυλίδαν καὶ Φαρνάϐαζον, καὶ Λάμψακος δυοῖν ἡμέραιν ὕστερον. Στρομϐιχίδης δ' ἐκ τῆς Χίου, πυθόμενος, κατὰ τάχος βοηθήσας ναυσὶν Ἀθηναίων τέσσαρσι καὶ εἴκοσιν, ὧν καὶ στρατιώτιδες ἦσαν ὁπλίτας ἄγουσαι, ἐπεξελθόντων τῶν Λαμψακηνῶν, μάχῃ κρατήσας καὶ αὐτοϐοεὶ Λάμψακον ἀτείχιστον οὖσαν ἑλὼν, καὶ σκεύη μὲν καὶ ἀνδράποδα ἁρπαγὴν ποιησάμενος, τοὺς δὲ ἐλευθέρους πάλιν κατοικίσας, ἐπ' Ἄϐυδον ἦλθε. Καὶ ὡς οὔτε προσεχώρουν οὔτε προσϐάλλων ἐδύνατο ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς Ἀϐύδου ἀποπλεύσας, Σηστὸν πόλιν τῆς Χερσονήσου, ἥν ποτε Μῆδοι εἶχον, καθίστατο φρούριον καὶ φυλακὴν τοῦ παντὸς Ἑλλησπόντου.

ξγ'. Ἐν τούτῳ δὲ οἱ Χῖοί τε θαλασσοκράτορες μᾶλλον ἐγένοντο, καὶ οἱ ἐν τῇ Μιλήτῳ καὶ ὁ Ἀστύοχος, πυθόμενος τὰ περὶ τῆς ναυμαχίας καὶ τὸν Στρομϐιχίδην καὶ τὰς ναῦς ἀπεληλυθότα, ἐθάρσησε. Καὶ παραπλεύσας δυοῖν νεοῖν Ἀστύοχος ἐς Χίον, κομίζει αὐτόθεν τὰς ναῦς, καὶ ξυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ τὴν Σάμον· καὶ ὡς

trente-six, s'étant avancés contre les trente-deux vaisseaux des Athéniens, livrèrent un combat naval. L'engagement fut très-vif, mais comme il se faisait déjà tard, ceux de Chios et leurs alliés, sans avoir eu le dessous, rentrèrent dans la ville.

62. Aussitôt après, Dercylidas étant sorti de Milet par terre, Abydos, dans l'Hellespont, se révolta pour passer du côté de Dercylidas et de Pharnabaze : Lampsaque en fit autant deux jours après. A cette nouvelle Strombichidès partit de Chios, pour aller au secours avec vingt-quatre vaisseaux d'Athènes, dont plusieurs, construits pour le transport des troupes, avaient à bord des hoplites. Il défit dans un combat les habitants de Lampsaque, qui avaient fait une sortie, et prit d'emblée leur ville, qui n'était pas fortifiée ; les effets et les esclaves devinrent sa proie ; il rétablit les hommes libres dans leurs demeures et marcha contre Abydos. Comme les habitants ne se rendaient pas, et que lui-même, après avoir attaqué la place, n'avait pu s'en emparer, il vogua vers la côte en face d'Abydos, et fit de Sestos, ville qui jadis avait été au pouvoir des Mèdes sur la Chersonnèse, une forteresse pour observer tout l'Hellespont.

63. Alors les habitants de Chios eurent une sorte de supériorité sur mer, et de leur côté, les Péloponnésiens qui étaient à Milet ainsi qu'Astyochos, ayant appris la nouvelle du combat naval et le départ de Strombichidès et de sa flotte, reprirent courage. Astyochos passa avec deux navires à Chios, il en emmena les vaisseaux, et avec toute sa flotte fit voile contre Samos ; mais les

αὐτῷ διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν οὐκ ἀντανήγοντο, ἀπέπλευσε πάλιν ἐς τὴν Μίλητον.

Ὑπὸ γὰρ τοῦτον τὸν χρόνον καὶ ἔτι πρότερον ἡ ἐν ταῖς Ἀθήναις δημοκρατία κατελύετο. Ἐπειδὴ γὰρ οἱ περὶ τὸν Πείσανδρον πρέσβεις παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον ἦλθον, τά τε ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον κατέλαβον, καὶ αὐτῶν τῶν Σαμίων προὐτρέψαντο τοὺς δυνατοὺς ὥστε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχηθῆναι, καίπερ ἐπαναστάντας αὐτοὺς ἀλλήλοις ἵνα μὴ ὀλιγαρχῶνται. Καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων κοινολογούμενοι ἐσκέψαντο Ἀλκιβιάδην μὲν, ἐπειδήπερ οὐ βούλεται, ἐᾷν (καὶ γὰρ οὐκ ἐπιτήδειον αὐτὸν εἶναι ἐς ὀλιγαρχίαν ἐλθεῖν), αὐτοὺς δὲ ἐπὶ σφῶν αὐτῶν, ὡς ἤδη καὶ κινδυνεύοντας, ὁρᾷν ὅτῳ τρόπῳ μὴ ἀνεθήσεται τὰ πράγματα, καὶ τὰ τοῦ πολέμου ἅμα ἀντέχειν, καὶ ἐσφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων οἴκων προθύμως χρήματα καὶ ἤν τι ἄλλο δέῃ, ὡς οὐκέτι ἄλλοις ἢ σφίσιν αὐτοῖς ταλαιπωροῦντας.

ξδ'. Παρακελευσάμενοι οὖν τοιαῦτα, τὸν μὲν Πείσανδρον εὐθὺς τότε καὶ τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον ἐπ' οἴκου πράξοντας τἀκεῖ, καὶ εἴρητο αὐτοῖς τῶν ὑπηκόων πόλεων αἷς ἂν προσίσχωσιν ὀλιγαρχίαν καθιστάναι· τοὺς δ' ἡμίσεις ἐς τἄλλα τὰ ὑπήκοα χωρία ἄλλους ἄλλῃ διέπεμπον, καὶ Διοτρέφην, ὄντα περὶ Χίον, ᾑρημένον δὲ ἐς τὰ ἐπὶ Θρᾴκης ἄρχειν, ἀπέστελλον ἐπὶ τὴν ἀρχήν. Καὶ

Athéniens, qui se méfiaient les uns des autres, ne s'étant pas avancés contre lui, il revint à Milet.

A cette époque et même auparavant la démocratie d'Athènes touchait à sa fin. Quand Pisandros et ses collègues eurent quitté Tissaphernes pour se rendre à Samos, ils s'assurèrent encore mieux de l'armée, et engagèrent les notables de Samos à tenter, d'accord avec eux, d'établir le gouvernement oligarchique, bien que les Samiens se fussent précédemment révoltés pour l'empêcher. En même temps les Athéniens qui étaient à Samos se concertèrent entre eux, et jugèrent devoir renoncer à Alcibiades, puisqu'il ne voulait pas les seconder, et que d'ailleurs l'oligarchie ne pouvait luiconvenir; ils voulaient donc surveiller par eux-mêmes, comme étant déjà en danger, le bon emploi de leurs ressources, donner à la guerre plus d'énergie, et prenant avec zèle sur leurs fortunes privées, fournir l'argent et tout ce qu'il faudrait : car c'était désormais non pour les autres, mais pour eux-mêmes qu'ils allaient endurer les peines.

64. S'étant confirmés dans ces résolutions, ils envoyèrent aussitôt à Athènes Pisandros et la moitié des députés ses collègues pour y diriger les affaires, avec ordre d'établir l'oligarchie dans toutes les villes sujettes d'Athènes où ils aborderaient; quant à l'autre moitié, elle fut envoyée çà et là dans les autres pays de la domination Athénienne, et ils envoyèrent pour commander dans l'Épithrace Diotréphès, qui avait reçu cette destination et se trouvait devant Chios. Arrivé à Thasos, il

ἀφικόμενος ἐς τὴν Θάσον, τὸν δῆμον κατέλυσε. Καὶ ἀπελθόντος αὐτοῦ, οἱ Θάσιοι δευτέρῳ μηνὶ μάλιστα τὴν πόλιν ἐτείχιζον, ὡς τῆς μὲν μετ' Ἀθηναίων ἀριστοκρατίας οὐδὲν ἔτι προσδεόμενοι, τὴν δὲ ἀπὸ Λακεδαιμονίων ἐλευθερίαν ὁσημέραι προσδεχόμενοι· καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις, καὶ αὕτη μετὰ τῶν ἐν τῇ πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε ναῦς τε κομίσαι καὶ τὴν Θάσον ἀποστῆσαι. Ξυνέβη οὖν αὐτοῖς μάλιστα ἃ ἐβούλοντο, τὴν πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι καὶ τὸν ἐναντιωσόμενον δῆμον καταλελύσθαι. Περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖν δέ μοι καὶ ἐν ἄλλοις πολλοῖς τῶν ὑπηκόων· σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσαντες.

ξέ. Οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον, παραπλέοντές τε, ὥσπερ ἐδέδοκτο, τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον, καὶ ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐτοῖς ξυμμάχους ἦλθον ἐς τὰς Ἀθήνας. Καὶ καταλαμβάνουσι τὰ πλεῖστα τοῖς ἑταίροις προειργασμένα. Καὶ γὰρ Ἀνδροκλέα τέ τινα τοῦ δήμου μάλιστα προεστῶτα ξυστάντες τινὲς τῶν νεωτέρων κρύφα ἀποκτείνουσιν, ὅσπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα ἐξήλασε, καὶ αὐτὸν κατ' ἀμ-

abolit la démocratie. Mais après son départ, et dès le mois suivant, les Thasiens fortifièrent leur ville, voyant qu'ils pouvaient très-bien se passer des Athéniens et de leur aristocratie, et espérant chaque jour leur liberté des Lacédémoniens. D'ailleurs, il y avait au dehors, dans le Péloponnèse, quelques-uns de leurs compatriotes exilés par les Athéniens et qui s'efforçaient, par leurs intrigues avec leurs amis restés à Thasos, de se procurer des vaisseaux pour aller soulever la ville. Leurs souhaits furent exaucés : leur ville eut une bonne constitution, et la démocratie, qui devait s'y opposer, fut abolie. Ceux des Athéniens qui voulaient établir l'oligarchie éprouvèrent donc à Thasos un contre-temps, qui, je pense, se produisit parmi beaucoup d'autres sujets d'Athènes; car les villes, mieux avisées, et libres dans leurs mouvements, s'acheminèrent à la véritable liberté, et ne lui préférèrent pas le faux bon ordre offert par les Athéniens.

65. Pisandros et ses collègues, en longeant les côtes, abolissaient, comme on l'avait décidé, la démocratie dans les villes; ils prirent aussi, dans quelques places, des hoplites pour auxiliaires, et arrivèrent à Athènes. Ils trouvèrent les choses fort avancées par les conjurés. En effet, quelques jeunes gens, ayant formé une association, tuèrent secrètement un certain Androclès, principal chef populaire. C'était lui surtout qui avait expulsé Alcibiades; aussi le fit-on mourir pour deux motifs : comme démagogue, et surtout parce qu'on crut plaire à Alcibiades, dont on présumait le retour,

φότερα, τῆς τε δημαγωγίας ἕνεκα καὶ οἰόμενοι τῷ Ἀλκιβιάδῃ ὡς κατιόντι καὶ τὸν Τισσαφέρνην φίλον ποιήσοντι χαριεῖσθαι, μᾶλλόν τι διέφθειραν· καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνήλωσαν. Λόγος τε ἐκ τοῦ φανεροῦ προσείργαστο αὐτοῖς ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους ἢ τοὺς στρατευομένους, οὔτε μεθεκτέον τῶν πραγμάτων πλείοσιν ἢ πεντακισχιλίοις, καὶ τούτοις οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν.

ξϛ'. Ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους, ἐπεὶ ἕξειν γε τὴν πόλιν οἵπερ καὶ μεθίστασαν ἔμελλον. Δῆμος μέντοι ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο· ἐβουλεύοντο δὲ οὐδὲν ὅ τι μὴ τοῖς ξυνεστῶσι δοκοίη, ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν καὶ τὰ ῥηθησόμενα πρότερον αὐτοῖς προὐσκεπτο. Ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου ἐτεθνήκει, καὶ τῶν δρασάντων οὔτε ζήτησις, οὔτ', εἰ ὑποπτεύοιντο, δικαίωσις ἐγίγνετο, ἀλλ' ἡσυχίαν εἶχεν ὁ δῆμος καὶ κατάπληξιν τοιαύτην ὥστε κέρδος ὁ μὴ πάσχων τι βίαιον, εἰ καὶ σιγῴη, ἐνόμιζε. Καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι εἶναι ἢ ὅσον ἐτύγχανεν ὂν ἡσσῶντο ταῖς γνώμαις, καὶ ἐξευρεῖν αὐτοὶ, ἀδύνατοι ὄντες διὰ τὸ μέγεθος τῆς πόλεως καὶ διὰ τὴν ἀλλήλων ἀγνωσίαν, οὐκ εἶχον. Κατὰ δὲ ταὐτὸ τοῦτο καὶ προσολοφύρασθαί τινι ἀγανακτήσαντα, ὥστε ἀμύνασθαι ἐπιβουλεύ-

et qui devait procurer l'amitié de Tissaphernes. Ils s'étaient défaits de la même manière, en secret, de quelques autres adversaires, et de plus ils avaient fait proclamer qu'il n'y aurait plus d'appointements que pour les gens de guerre, et de participation aux affaires publiques que pour cinq mille citoyens, parmi lesquels de préférence ceux à même de mieux servir l'état de leur fortune et de leurs personnes.

66. Cet arrangement était un leurre pour la multitude, puisque la ville ne devait être gouvernée que par ceux qui allaient aussi en changer la constitution. Cependant le peuple et le conseil de la fève s'assemblaient encore; mais on ne statuait rien qui ne fût approuvé des membres de la conspiration parmi lesquels étaient aussi les orateurs, et tout ce qu'on devait proposer était d'abord examiné par eux. Nul n'osait contredire, par crainte de l'affiliation qu'on voyait nombreuse ; et si quelqu'un osait élever la voix, il périssait aussitôt par quelque adroit moyen. Nulle recherche des crimes, et nulle punition contre ceux qu'on soupçonnait coupables. Le peuple ne remuait pas, et sa terreur était telle, que, même en se taisant, il s'estimait heureux d'échapper à la violence. Comme on croyait l'affiliation bien plus nombreuse qu'elle n'était en effet, les courages étaient abattus; on ne pouvait en savoir le nombre, parce que la ville était grande et qu'on ne se connaissait ni les uns ni les autres; par là même, on n'osait manifester sa douleur et son indignation à personne

σαντα, ἀδύνατον ἦν· ἢ γὰρ ἀγνῶτα ἂν ηὗρεν ᾧ ἐρεῖ, ἢ γνώριμον ἄπιστον. Ἀλλήλοις γὰρ ἅπαντες ὑπόπτως προσῄσαν οἱ τοῦ δήμου, ὡς μετέχοντά τινα τῶν γιγνομένων. Ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἄν ποτέ τις ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν, καὶ πλεῖστα ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν, βέβαιον τὴν ἀπιστίαν τῷ δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες.

ξζ'. Ἐν τούτῳ οὖν τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο. Καὶ πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες, εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν καθ' ὅ τι ἄριστα ἡ πόλις οἰκήσεται· ἔπειτα, ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέκλησαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνὸν (ἔστι δὲ ἱερὸν Ποσειδῶνος ἔξω πόλεως, ἀπέχον σταδίους μάλιστα δέκα), καὶ ἐσήνεγκαν οἱ ξυγγραφῆς ἄλλο μὲν οὐδὲν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων * ἀνειπεῖν γνώμην ἣν ἄν τις βούληται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. Ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκω-

pour concerter des moyens de vengeance, car on aurait parlé à un inconnu au hasard, ou à quelqu'un connu, mais peu sûr. Tous les hommes du peuple se soupçonnaient donc réciproquement comme si chacun était fauteur de la conjuration. Et en effet il s'y trouvait bien des gens qu'on n'aurait jamais crus capables de pactiser avec l'oligarchie. La défiance s'en accrut parmi le peuple, et ce fut ce qui contribua le plus à la sécurité des oligarques, en rendant permanente chez le peuple la méfiance contre lui-même.

67. C'est dans ces circonstances que Pisandros et ses collègues, à leur arrivée à Athènes, achevèrent cequi restait à faire. D'abord ils assemblèrent le peuple et proposèrent d'élire dix rédacteurs avec plein pouvoir, pour qu'ils présentassent au peuple, à jour fixe, le projet qu'ils auraient rédigé sur le meilleur moyen de gouverner la ville; puis, dès que ce jour fut arrivé, ils enfermèrent l'assemblée à Colônos. C'est un temple de Neptune hors de la ville, qui n'en est éloigné que de dix stades. Les rédacteurs ne proposèrent rien d'autre que cela : tout Athénien a le droit illimité d'émettre son opinion; et ils portèrent des peines sévères contre quiconque accuserait l'opinant d'infraction aux lois, ou l'offenserait d'une manière quelconque. Il fut alors solennellement déclaré que le pouvoir des magistrats ne serait ni celui d'autrefois, ni salarié; qu'on élirait cinq présidents, qui éliraient eux-mêmes cent personnes, dont chacune s'en adjoindrait trois autres; que ces Quatre-cents, formant le Conseil, gouverneraient avec plein pouvoir comme ils jugeraient préféra-

σιν αὐτοκράτορας, καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν, ὁπόταν αὐτοῖς δοκῇ.

ξη'. Ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν Πείσανδρος, καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς, ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο, καὶ ἐκ πλείστου ἐπιμεληθεὶς Ἀντιφῶν ἦν, ἀνὴρ Ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ τε οὐδενὸς δεύτερος καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ ἂν γνοίη εἰπεῖν, καὶ ἐς μὲν δῆμον οὐ παριὼν οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα εἷς ἀνὴρ, ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελεῖν. Καὶ αὐτὸς δὲ, ἐπειδὴ μετέστη ἡ δημοκρατία καὶ ἐς ἀγῶνας κατέστη τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα [τε] ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτιαθεὶς, ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος. Παρέσχε δὲ καὶ ὁ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, δεδιὼς τὸν Ἀλκιβιάδην καὶ ἐπιστάμενος εἰδότα αὐτὸν ὅσα ἐν τῇ Σάμῳ πρὸς τὸν Ἀστύοχον ἔπραξε, νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ τὸ εἰκὸς ὑπ' ὀλιγαρχίας κατελθεῖν· πολύ τε πρὸς τὰ δεινὰ, ἐπειδήπερ ὑπέστη, φερεγγυώτατος ἐφάνη. Καὶ Θηραμένης ὁ τοῦ Ἅγνωνος ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν, ἀνὴρ

ble, et assembleraient les Cinq-mille quand bon leur semblerait.

68. Celui qui ouvrit cet avis fut Pisandros, qui, d'ailleurs, contribua ouvertement et avec le plus grand zèle à l'abolition de la démocratie; mais celui qui combina toute l'affaire pour qu'elle prît cette tournure, et qui s'en occupait depuis longtemps, fut Antiphôn. Cet homme ne le cédait en mérite à aucun Athénien de son temps : il excellait à concevoir et à exprimer ses pensées; quoiqu'il ne parût pas volontiers dans les assemblées publiques, ni dans aucune lutte oratoire, il était suspect au peuple par l'opinion qu'on avait de sa supériorité; car pour ceux qui étaient en procès, soit devant les tribunaux, soit devant le peuple, cet homme seul valait mieux que tout autre appui pour qui le consultait; et lorsqu'après l'abolition du gouvernement démocratique le parti des Quatre-cents, succombant dans les luttes qu'il avait à soutenir, fut maltraité par le peuple, Antiphôn lui-même accusé comme partisan, et condamné à mort, semble avoir surpassé tous les orateurs de mon temps dans sa défense. Phrynichos, de son côté, se distingua entre tous par son zèle extrême pour l'oligarchie, parce qu'il craignait Alcibiades et le savait instruit de toutes ses intrigues à Samos avec Astyochos. Il croyait d'ailleurs, ce qui était présumable, que jamais Alcibiades n'obtiendrait son rappel des oligarques; une fois entré dans la voie de la violence, nul ne donna plus de gage à son parti. Théramènes, fils d'Hagnon, était aussi l'un de ceux qui abolirent la démocratie; il ne manquait de capacité ni dans ses discours ni dans ses jugements. Aussi n'est-il pas étonnant que

οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατος. Ὥστε ἀπ' ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον οὐκ ἀπεικότως καίπερ μέγα ὂν προὐχώρησε· χαλεπὸν γὰρ ἦν τὸν Ἀθηναίων δῆμον ἐπ' ἔτει ἑκατοστῷ μάλιστα, ἐπειδὴ οἱ τύραννοι κατελύθησαν, ἐλευθερίας παῦσαι, καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ καὶ ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου αὐτὸν ἄλλων ἄρχειν εἰωθότα.

ξθ΄. Ἐπειδὴ δὲ ἡ ἐκκλησία, οὐδενὸς ἀντειπόντος, ἀλλὰ κυρώσασα ταῦτα, διελύθη, τοὺς τετρακοσίους ὕστερον ἤδη τρόπῳ τοιῷδε ἐς τὸ βουλευτήριον ἐσήγαγον. Ἦσαν δ' Ἀθηναῖοι πάντες ἀεὶ οἱ μὲν ἐπὶ τείχει, οἱ δ' ἐν τάξει, τῶν ἐν Δεκελείᾳ πολεμίων ἕνεκα, ἐφ' ὅπλοις. Τῇ οὖν ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν μὴ ξυνειδότας εἴασαν, ὥσπερ εἰώθεσαν, ἀπελθεῖν, τοῖς δ' ἐν τῇ ξυνωμοσίᾳ εἴρητο ἡσυχῇ, μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄποθεν περιμένειν, καί, ἤν τις ἐνιστῆται τοῖς ποιουμένοις, λαβόντας τὰ ὅπλα μὴ ἐπιτρέπειν. Ἦσαν δὲ καὶ Ἄνδριοι καὶ Τήνιοι καὶ Καρυστίων τριακόσιοι καὶ Αἰγινητῶν τῶν ἐποίκων, οὓς Ἀθηναῖοι ἔπεμψαν οἰκήσοντας, ἐπ' αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν ὅπλοις, οἷς ταῦτα προείρητο. Τούτων δὲ διατεταγμένων οὕτως, ἐλθόντες οἱ τετρακόσιοι, μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ' αὐτῶν Ἕλληνες νεανίσκοι, οἷς ἐχρῶντο, εἴ τί που δέοι χειρουργεῖν, ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς οὖσιν ἐν τῷ βουλευτηρίῳ, καὶ εἶπον αὐτοῖς ἐξιέναι

cette entreprise, toute grande qu'elle fût, conduite par tant d'hommes de mérite, ait réussi; car il était très-difficile, cent ans après la destruction des tyrans, de priver de sa liberté le peuple d'Athènes, ce peuple exempt de toute sujétion, et lui-même accoutumé plus de la moitié de cette période à commander aux autres.

69. Dès que l'assemblée eut constitué, sans aucune opposition, cet état de choses, elle se sépara, et voici comment on introduisit peu après les Quatre-cents au Conseil. Tous les Athéniens restaient continuellement sous les armes, les uns sur les remparts, les autres à leurs postes, à cause des ennemis qui occupaient Décélie. Ce jour-là on laissa partir, comme à l'ordinaire, ceux qui n'étaient pas du complot, tandis qu'on avertit sous main les conjurés de se tenir, non aux postes mêmes, mais à quelque distance, et, si quelqu'un voulait intervenir dans ce qu'on allait faire, de prendre les armes pour s'y opposer. Parmi ceux qui reçurent cet ordre et qui vinrent armés dans ce but, étaient des habitants d'Andros et de Ténos, trois cents Carystiens, et de ces colons d'Égine que les Athéniens y avaient envoyés pour l'habiter. Ces dispositions faites, les Quatre-cents, armés chacun d'un poignard qu'ils tenaient caché, partirent avec les cent vingt jeunes Hellènes dont ils se servaient pour les coups de main; ils surprirent au Conseil même les conseillers de la fève, et leur ordonnèrent de sortir, en recevant leur salaire; ils avaient apporté eux-mêmes pour ces magistrats la rétri-

λαβοῦσι τὸν μισθόν· ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου παντὸς αὐτοὶ, καὶ ἐξιοῦσιν ἐδίδοσαν.

ο΄. Ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ, οὐδὲν ἀντειποῦσα, ὑπεξῆλθε, καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον, ἀλλ' ἡσύχαζον, οἱ δὲ τετρακόσιοι, ἐσελθόντες ἐς τὸ βουλευτήριον, τότε μὲν πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν, καὶ ὅσα πρὸς τοὺς θεοὺς εὐχαῖς καὶ θυσίαις καθιστάμενοι ἐς τὴν ἀρχὴν ἐχρήσαντο, ὕστερον δὲ πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως πλὴν τοὺς φεύγοντας οὐ κατῆγον τοῦ Ἀλκιβιάδου ἕνεκα, τὰ δὲ ἄλλα ἔνεμον κατὰ κράτος τὴν πόλιν. Καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλοὺς, οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο· πρός τε Ἆγιν, τὸν Λακεδαιμονίων βασιλέα, ὄντα ἐν τῇ Δεκελείᾳ, ἐπεκηρυκεύοντο, λέγοντες διαλλαγῆναι βούλεσθαι, καὶ εἰκὸς εἶναι αὐτὸν σφίσι καὶ οὐκέτι τῷ ἀπίστῳ δήμῳ μᾶλλον ξυγχωρεῖν.

οα΄. Ὁ δὲ νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν οὐτ' εὐθὺς οὕτω τὸν δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν, οὐκ ἂν ἡσυχάσειν, οὐδὲ ἐν τῷ παρόντι πάνυ τι πιστεύων μὴ οὐκέτι ταράττεσθαι αὐτοὺς, τοῖς μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν οὐδὲν ξυμβατικὸν ἀπεκρίνατο, προσμεταπεμψάμενος δὲ ἐκ Πελοποννήσου στρατιὰν πολλὴν, οὐ πολλῷ ὕστερον καὶ αὐτὸς

bution de tout le temps qui leur restait à être en fonction, et la leur donnaient à la sortie.

70. Voyant les Conseillers se retirer ainsi sans la moindre opposition, et les autres citoyens rester tranquilles sans faire aucun mouvement, les Quatre-cents entrèrent dans le Conseil, tirèrent alors entre eux des Prytanes au sort, et firent, en prières et en sacrifices, tout ce qui, à l'entrée en charge, était d'usage envers les dieux; mais plus tard ils changèrent en grande partie le gouvernement populaire, sans pourtant rappeler les exilés à cause d'Alcibiades; en tout le reste, ils gouvernèrent l'État avec vigueur; ils firent mourir quelques personnes dont il leur paraissait bon de se défaire, en mirent d'autres aux fers et en déportèrent quelques-unes; ils envoyèrent aussi prévenir le roi des Lacédémoniens, Agis, alors à Décélie, de l'intention où ils étaient de se réconcilier, et qu'il lui conviendrait mieux de traiter désormais avec eux qu'avec le peuple, qui ne méritait pas confiance.

71. Agis pensait que la ville n'était pas tranquille, et que le peuple n'abandonnerait pas si vite son ancienne liberté; que, d'ailleurs, si une nombreuse armée de Péloponnésiens apparaissait, il ne resterait pas en repos; et que même en ce moment il n'y avait aucune garantie contre les troubles à venir. Il ne donna donc aux envoyés des Quatre-cents aucune réponse conciliatrice; mais il manda du Péloponnèse un renfort considérable, et, peu de temps après, joignant la

τῇ ἐκ τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόντων κατέβη πρὸς αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων, ἐλπίσας ἢ ταραχθέντας αὐτοὺς μᾶλλον ἂν χειρωθῆναι σφίσιν ᾗ βούλονται, ἢ καὶ αὐτοβοεὶ ἂν διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν κατὰ τὸ εἰκὸς γενησόμενον θόρυβον τῆς τῶν μακρῶν τειχῶν διὰ τὴν κατ' αὐτὰ ἐρημίαν λήψεως οὐκ ἂν ἁμαρτεῖν. Ὡς δὲ προσέμιξέ τε ἐγγὺς καὶ οἱ Ἀθηναῖοι τὰ μὲν ἔνδοθεν οὐδ' ὁπωστιοῦν ἐκίνησαν, τοὺς δὲ ἱππέας ἐκπέμψαντες καὶ μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν, ἄνδρας τε κατέβαλον αὐτῶν διὰ τὸ ἐγγὺς προσελθεῖν, καὶ ὅπλων τινῶν καὶ νεκρῶν ἐκράτησαν, οὕτω δὴ γνοὺς ἀπήγαγε πάλιν τὴν στρατιάν. Καὶ αὐτὸς μὲν καὶ οἱ μετ' αὐτοῦ κατὰ χώραν ἐν τῇ Δεκελείᾳ ἔμενον, τοὺς δ' ἐπελθόντας, ὀλίγας τινὰς ἡμέρας ἐν τῇ γῇ μείναντας, ἀπέπεμψεν ἐπ' οἴκου. Μετὰ δὲ τοῦτο παρά τε τὸν Ἆγιν ἐπρεσβεύοντο οἱ τετρακόσιοι οὐδὲν ἧσσον, κἀκείνου μᾶλλον ἤδη προσδεχομένου καὶ παραινοῦντος, ἐκπέμπουσι καὶ ἐς τὴν Λακεδαίμονα περὶ ξυμβάσεως πρέσβεις, βουλόμενοι διαλλαγῆναι.

οβ'. Πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας παραμυθησομένους τὸ στρατόπεδον, καὶ διδάξοντας ὡς οὐκ ἐπὶ βλάβῃ τῆς πόλεως καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία κατέστη, ἀλλ' ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων, πεντακισχίλιοί τε ὅτι εἶεν καὶ οὐ τετρακόσιοι μόνον οἱ πράσσοντες· καίτοι οὐ πώποτε Ἀθηναίους διὰ τὰς στρα-

garnison de Décélie aux troupes nouvellement arrivées, il vint lui-même sous les murs d'Athènes. Il espérait que les Athéniens consternés se soumettraient plus facilement à ses troupes aux conditions qu'elles exigeraient, ou même que, par suite du tumulte qui s'éleverait probablement au dedans et au dehors, il ne manquerait pas de prendre d'emblée les longues murailles, dégarnies de leurs défenseurs. Mais lorsqu'il s'en approcha, les Athéniens, sans laisser voir le moindre mouvement à l'intérieur, firent sortir leur cavalerie et un corps d'hoplites, de troupes légères et d'archers, renversèrent ceux d'entre les ennemis qui s'étaient approchés, et restèrent maîtres d'une petite quantité d'armes et de morts; alors Agis, voyant ce qui en était, retira son armée. Ses troupes et lui se maintinrent dans le pays, à Décélie; quant aux nouveaux venus, il les renvoya dans leurs foyers après quelques jours restés dans la contrée. Les Quatre-cents n'en envoyèrent pas moins de nouveaux députés auprès d'Agis, dans l'intention de se réconcilier; et, comme celui-ci leur fit alors un meilleur accueil, d'après son assentiment, ils expédièrent à Lacédémone des envoyés, pour faire un traité de paix.

72. Ils firent passer aussi dix hommes à Samos afin de tranquilliser l'armée, et lui faire entendre que l'oligarchie n'avait pas été établie pour nuire à l'État et aux citoyens, mais pour tout sauver; que ceux qui dirigeaient les affaires étaient cinq mille et non pas seulement quatre cents, et que cependant jamais les Athéniens, à cause des expéditions et de leurs occupations hors des frontières, ne s'étaient assemblés au nombre

τείας καὶ τὴν ὑπερόριον ἀσχολίαν ἐς οὐδὲν πρᾶγμα οὕτω μέγα ἐλθεῖν βουλεύσοντας, ἐν ᾧ πεντακισχιλίους ξυνελθεῖν. Ἄλλα τ' ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν ἀπέπεμψαν αὐτοὺς εὐθὺς μετὰ τὴν ἑαυτῶν κατάστασιν, δείσαντες μὴ, ὅπερ ἐγένετο, ναυτικὸς ὄχλος οὔτε αὐτὸς μένειν ἐν τῷ ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ, ἐκεῖθεν ἀρξαμένου τοῦ κακοῦ, μεταστήσωσιν.

ογ'. Ἐν γὰρ τῇ Σάμῳ ἐνεωτερίζετο ἤδη τὰ περὶ τὴν ὀλιγαρχίαν, καὶ ξυνέβη τοιάδε γενέσθαι ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον ὅνπερ οἱ τετρακόσιοι ξυνίσταντο. Οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς καὶ ὄντες δῆμος, μεταβαλλόμενοι αὖθις καὶ πεισθέντες ὑπό τε τοῦ Πεισάνδρου, ὅτ' ἦλθε, καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεστώτων Ἀθηναίων, ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται καὶ ἔμελλον τοῖς ἄλλοις ὡς δήμῳ ὄντι ἐπιθήσεσθαι. Καὶ Ὑπέρβολόν τέ τινα τῶν Ἀθηναίων, μοχθηρὸν ἄνθρωπον, ὠστρακισμένον οὐ διὰ δυνάμεως καὶ ἀξιώματος φόβον, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως, ἀποκτείνουσι μετὰ Χαρμίνου τε, ἑνὸς τῶν στρατηγῶν, καί τινων τῶν παρὰ σφίσιν Ἀθηναίων, πίστιν διδόντες αὐτοῖς, καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα ξυνέπραξαν, τοῖς δὲ πλείοσιν ὥρμηντο ἐπιτίθεσθαι. Οἱ δὲ αἰσθόμενοι τῶν τε στρατηγῶν Λέοντι καὶ Διομέδοντι (οὗτοι γὰρ οὐχ ἑκόντες διὰ τὸ τιμᾶσθαι ὑπὸ τοῦ δήμου ἔφερον τὴν ὀλιγαρχίαν) τὸ μέλλον σημαίνουσι, καὶ Θρασυ-

de cinq mille pour délibérer sur un sujet, quelque important qu'il fût. Aussitôt après leur installation au gouvernement, ils donnèrent à ces dix députés toutes les autres instructions nécessaires, et les firent partir, craignant, ce qui arriva, que la populace des matelots ne voulût pas se ranger sous le régime oligarchique, et que, le mal commençant de là, eux-mêmes ne fussent renversés.

73. Déjà, en effet, un changement contre l'oligarchie se préparait à Samos et cela au moment même où s'installaient les Quatre-cents à Athènes. Ceux des Samiens qui, tout en faisant partie du peuple, s'étaient précédemment révoltés contre les riches, changèrent encore de parti, et, séduits par Pisandros à son arrivée à Samos et par les conjurés Athéniens qui s'y trouvaient, formèrent une conspiration. Ils étaient au nombre de trois cents, et s'apprêtaient à se jeter sur les autres Samiens comme partisans de la démocratie. Un certain Athénien nommé Hyperbolos, homme pervers, condamné à l'ostracisme, non parce qu'on craignait son influence ou son crédit, mais à cause de sa méchanceté et qu'il était la honte d'Athènes, fut tué par ces conjurés, d'accord avec Charminos, l'un des généraux, et quelques Athéniens alors à Samos auxquels ils donnèrent ce gage. Ainsi secondés, ils commirent encore quelques actes semblables, et allaient s'attaquer aux partisans du peuple, lorsque ceux-ci en informèrent les généraux Léôn et Diomédôn, qui, respectés du peuple, étaient mal disposés pour l'oligarchie; ils prévinrent aussi Thrasybule et Thrasylos, l'un commandant de trirême, l'autre d'hoplites, et quelques citoyens ré-

βούλῳ καὶ Θρασύλῳ, τῷ μὲν τριηραρχοῦντι, τῷ δὲ ὁπλιτεύοντι, καὶ ἄλλοις οἳ ἐδόκουν ἀεὶ μάλιστα ἐναντιοῦσθαι τοῖς ξυνεστῶσι· καὶ οὐκ ἠξίουν περιιδεῖν αὐτοὺς σφᾶς τε διαφθαρέντας καὶ Σάμον Ἀθηναίοις ἀλλοτριωθεῖσαν, δι᾽ ἣν μόνην ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμεινεν.

Οἱ δὲ ἀκούσαντες τῶν τε στρατιωτῶν ἕνα ἕκαστον μετῆσαν μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς Παράλους, ἄνδρας Ἀθηναίους τε καὶ ἐλευθέρους πάντας [ἐν τῇ νηὶ πλέοντας] καὶ ἀεὶ δήποτε ὀλιγαρχίᾳ καὶ μὴ παρούσῃ ἐπικειμένους· ὅ τε Λέων καὶ ὁ Διομέδων αὐτοῖς ναῦς τινας, ὁπότε ποι πλέοιεν, κατέλειπον φύλακας. Ὥστ᾽, ἐπειδὴ αὐτοῖς ἐπετίθεντο οἱ τριακόσιοι, βοηθησάντων πάντων τούτων, μάλιστα δὲ τῶν Παράλων, περιεγένοντο οἱ τῶν Σαμίων πλείονες. Καὶ τριάκοντα μέν τινας ἀπέκτειναν τῶν τριακοσίων, τρεῖς δὲ τοὺς αἰτιωτάτους φυγῇ ἐζημίωσαν· τοῖς δ᾽ ἄλλοις οὐ μνησικακοῦντες δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπολίτευον.

οδ΄. Τὴν δὲ Πάραλον ναῦν καὶ Χαιρέαν ἐπ᾽ αὐτῆς τὸν Ἀρχεστράτου, ἄνδρα Ἀθηναῖον, γενόμενον ἐς τὴν μετάστασιν πρόθυμον, ἀποπέμπουσιν οἵ τε Σάμιοι καὶ οἱ στρατιῶται κατὰ τάχος ἐς τὰς Ἀθήνας ἀπαγγελοῦντα τὰ γεγενημένα· οὐ γὰρ ᾔδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας. Καὶ καταπλευσάντων αὐτῶν, εὐθέως τῶν μὲν Παράλων τινὰς οἱ τετρακόσιοι, δύο ἢ τρεῖς, ἔδησαν, τοὺς δὲ ἄλλους, ἀφελόμενοι τὴν ναῦν καὶ μετεμβιβάσαντες ἐς ἄλλην στρατιῶτιν

putés de tout temps le plus opposés aux conjurés, et les supplièrent de ne pas les laisser égorger, ni que Samos fût séparée d'Athènes, dont l'empire s'était maintenu jusqu'alors à un si haut degré par l'appui de Samos.

Ceux-ci, après les avoir entendus, s'adressèrent à chaque soldat en particulier pour l'engager à ne pas souffrir pareille chose ; ils sollicitèrent surtout les Paraliens, qui tous, citoyens libres d'Athènes, formaient l'équipage de la Paralos, et avaient été toujours contraires à l'oligarchie, avant même qu'elle fût établie : aussi quand Léôn et Diomédôn faisaient une excursion en mer, ces généraux leur donnaient quelques vaisseaux pour sauvegarde. Lors donc que les Trois-cents commencèrent l'attaque, eux tous et surtout les Paraliens vinrent en aide et la majorité des Samiens fut victorieuse. Une trentaine des Trois-cents conjurés furent tués, trois des principaux coupables furent condamnés à l'exil, les autres amnistiés et on continua à vivre en bonne harmonie sous le gouvernement démocratique.

74. La galère Paralienne, montée par Chæréas, fils d'Archestratos, Athénien, qui montra un grand zèle dans cette révolution, fut envoyée aussitôt à Athènes par les Samiens et par l'armée, pour y annoncer ce qui venait de se passer ; car on ignorait encore que les Quatre-cents s'étaient emparés de l'autorité. Ceux-ci, à l'arrivée de la Paralos, mirent aux fers deux ou trois Paraliens, exclurent de cette galère les autres qu'ils firent passer sur un vaisseau de guerre destiné au transport des troupes, et les envoyèrent autour de l'Eubée pour la garder. Dès que Chæréas, qui avait pu s'évader,

ναῦν, ἔταξαν φρουρεῖν περὶ Εὔβοιαν. Ὁ δὲ Χαιρέας εὐθὺς, διαλαθών πως, ὡς εἶδε τὰ παρόντα, πάλιν ἐς τὴν Σάμον ἐλθὼν, ἀγγέλλει τοῖς στρατιώταις ἐπὶ τὸ μεῖζον πάντα δεινώσας τὰ ἐκ τῶν Ἀθηνῶν, ὡς πληγαῖς τε πάντας ζημιοῦσι καὶ ἀντειπεῖν ἔστιν οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πολιτείαν, καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρίζονται, καὶ διανοοῦνται, ὁπόσοι ἐν Σάμῳ στρατεύονται μὴ ὄντες τῆς σφετέρας γνώμης, τούτων πάντων τοὺς προσήκοντας λαβόντες εἶρξειν, ἵνα, ἢν μὴ ὑπακούσωσι, τεθνήκωσι· καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν.

οε'. Οἱ δ' ἀκούσαντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιήσαντας καὶ ἔτι τῶν ἄλλων τοὺς μετασχόντας τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν, ἔπειτα μέντοι, ὑπὸ τῶν διὰ μέσου κωλυθέντες καὶ διδαχθέντες, μὴ, τῶν πολεμίων ἀντιπρῴρων ἐγγὺς ἐφορμούντων, ἀπολέσωσι τὰ πράγματα, ἐπαύσαντο. Μετὰ δὲ τοῦτο λαμπρῶς ἤδη ἐς δημοκρατίαν βουλόμενοι μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ ὅ τε Θρασύβουλος ὁ τοῦ Λύκου καὶ Θράσυλος (οὗτοι γὰρ μάλιστα προειστήκεσαν τῆς μεταβολῆς) ὥρκωσαν πάντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας μάλιστα, ἦ μὴν δημοκρατήσεσθαί τε καὶ ὁμονοήσειν, καὶ τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι καὶ οὐδὲν ἐπικηρυκεύσεσθαι. Ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν

vit ce qui se passait à Athènes, il revint aussitôt à Samos. Exagérant tout ce qui se faisait à Athènes, il annonça à l'armée que tous les citoyens étaient condamnés aux coups, qu'on ne pouvait contredire en rien ceux qui avaient l'autorité, que leurs femmes, leurs enfants étaient outragés, et que les Quatre-cents voulaient arrêter et mettre en prison les parents de tous ceux qui dans l'armée de Samos ne partageaient pas leur opinion, pour les faire mourir, si on leur résistait; il ajouta encore beaucoup d'autres mensonges.

75. A ce récit, les soldats allaient aussitôt se jeter sur les principaux fauteurs de l'oligarchie et leurs complices; mais, retenus par ceux qui s'interposèrent, et leur montrèrent qu'ils allaient tout perdre, attendu que la flotte ennemie stationnait très-près de là, ils s'apaisèrent. Ensuite, Thrasybule, fils de Lycos, et Thrasylos, qui étaient à la tête de la révolution, voulant établir dans toute sa force la démocratie à Samos, engagèrent par les serments les plus terribles tous les soldats et surtout les partisans même de l'oligarchie à vivre sous le gouvernement démocratique en bonne harmonie entre eux et à poursuivre avec zèle la guerre contre les Péloponnésiens, enfin à être ennemis des Quatre-cents, et à n'avoir aucune relation avec eux. Tous les Samiens en état de porter les armes prêtèrent le même serment; les soldats Athéniens mirent en commun avec les Samiens tous leurs intérêts et les chances

ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ, καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς Σαμίοις, νομίζοντες οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας οὔτε σφίσιν εἶναι, ἀλλ', ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν ἐάν τε οἱ ἐκ Μιλήτου πολέμιοι, διαφθαρήσεσθαι.

ος΄. Ἐς φιλονεικίαν τε καθέστασαν τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. Ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν προτέρους στρατηγοὺς, καὶ εἴ τινα τῶν τριηράρχων ὑπώπτευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθείλοντο καὶ τριηράρχους καὶ στρατηγοὺς, ὧν Θρασύβουλός τε καὶ Θράσυλος ὑπῆρχον. Καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι, καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν πλειόνων καὶ ἐς πάντα ποριμωτέρων μεθεστάναι. Ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν, τὰς ἄλλας πόλεις ὧν ἄρχουσιν ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ εἰ ἐκεῖθεν ὡρμῶντο. Πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον οὐκ ἀσθενῆ, ἀλλ' ἣ παρ' ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμυνεῖσθαι οὗπερ καὶ πρότερον. Καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει. Καὶ δι' ἑαυτοὺς δὲ ἐν τῇ Σάμῳ προκαθημένους καὶ πρότερον αὐτοὺς κρατεῖν τοῦ

des périls, croyant qu'il n'y aurait aucun moyen de salut, ni pour ceux-ci, ni pour eux-mêmes, mais que leur mort était certaine, soit que la victoire restât aux Quatre-cents, ou à leurs ennemis à Milet.

76. Mais alors la division s'établit entre l'armée, qui voulait imposer à Athènes le gouvernement démocratique, et cette ville, qui voulait soumettre l'armée au gouvernement oligarchique. Les soldats à Samos formèrent aussitôt une assemblée, dans laquelle ils déposèrent les généraux qui les avaient commandés jusqu'alors, et ceux des triérarques qu'ils suspectaient, et ils en créèrent de nouveaux, au nombre desquels Thrasybule et Thrasylos. Dans l'assemblée, ils s'adressaient diverses exhortations : on ne devait pas, disaient-ils, se décourager, si la ville s'était séparée d'eux; que c'était le plus petit nombre qui se détachait du plus grand et du plus fécond en ressources de tout genre; que, maîtres de toutes les forces navales, ils forceraient les autres villes sujettes à fournir de l'argent, tout aussi bien que s'ils sortaient d'Athènes pour en exiger; qu'à eux était Samos, ville tellement puissante que, lors de la guerre qu'elle fit aux Athéniens, elle fut très-près de leur enlever l'empire de la mer; et que ce serait, comme auparavant, de cette même place qu'ils repousseraient l'attaque de l'ennemi; qu'avec la flotte, ils seraient plus en état de se procurer des subsistances qu'on ne le pourrait à Athènes; que, quoique séjournant à Samos, c'étaient eux qui jusqu'à présent avaient été maîtres de l'entrée du Pirée, et qui maintenant, si les Athéniens

ἐς τὸν Πειραιᾶ ἔσπλου καὶ νῦν, ἔς [τε] τοιοῦτον καταστήσει· τὰ μὴ βουλομένων σφίσι πάλιν τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ δυνατώτεροι εἶναι εἴργειν ἐκείνους τῆς θαλάσσης ἢ ὑπ' ἐκείνων εἴργεσθαι. Βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον, ᾧ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν, καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον εἶχον ἔτι πέμπειν, ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε βούλευμα χρηστὸν, οὗπερ ἕνεκα πόλις στρατοπέδων κρατεῖ· ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι τοὺς πατρίους νόμους καταλύσαντας, αὐτοὶ δὲ σώζειν καὶ ἐκείνους πειράσεσθαι προσαναγκάζειν, ὥστε οὐδὲ τούτους, οἵπερ ἂν βουλεύοιέν τι χρηστὸν, παρὰ σφίσι χείρους εἶναι. Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. Τό τε μέγιστον, ἢν ἁπάντων σφάλλωνται, εἶναι αὐτοῖς τοσοῦτον ἔχουσι ναυτικὸν πολλὰς τὰς ἀποχωρήσεις ἐν αἷς καὶ πόλεις καὶ γῆν εὑρήσουσι.

οζ'. Τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες, καὶ παραθαρσύναντες σφᾶς αὐτοὺς, καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐδὲν ἧσσον. Οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς τὴν Σάμον [οἱ δέκα πρεσβευταὶ], ὡς ταῦτα ἐν τῇ Δήλῳ ἤδη ὄντες ᾐσθάνοντο, ἡσύχαζον αὐτοῦ.

οη'. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς

ne voulaient pas leur rendre la constitution démocratique, étaient bien plus en état de les exclure de la mer que d'en être exclus. Ils ajoutaient que les services qu'Athènes pourrait rendre à l'armée de Samos, pour triompher des ennemis, seraient presque nuls ou de peu d'importance; qu'on ne perdrait rien à se séparer de ceux qui n'avaient plus ni argent à envoyer (l'armée elle-même s'en procurait), ni conseil utile à donner, ce qui fait la supériorité des villes sur les camps; que même, sous ce rapport, ceux d'Athènes avaient été coupables, en abolissant les lois de la patrie, tandis que l'armée de Samos les avait conservées, et s'efforcerait de contraindre aussi ceux d'Athènes à les rétablir; qu'ainsi, l'armée de Samos ne leur serait en rien inférieure en conseils salutaires; qu'Alcibiades n'attendait que son rappel et sa sécurité, pour leur procurer l'alliance du Roi; qu'enfin, et c'était le plus important, si tout cela venait à leur manquer, la possession d'une flotte si nombreuse leur assurait beaucoup de refuges, où ils sauraient trouver des villes et un territoire.

77. Après s'être ainsi entretenus et encouragés entre eux dans l'assemblée, ils n'en continuèrent pas moins leurs préparatifs de guerre. Quant aux dix députés que les Quatre-cents avaient fait partir pour Samos, dès qu'à leur arrivée à Délos ces mesures leur furent connues, ils n'allèrent pas plus loin.

78. Vers le même temps, les troupes de mer Péloponnésiennes qui se trouvaient à Milet, se plaignaient

αὐτοὺς διεβόων ὡς ὑπό τε Ἀστυόχου καὶ Τισσαφέρνους φθείρεται τὰ πράγματα, τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔῤῥωντο μᾶλλον καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν, ὅτε στασιάζειν τε λέγονται καὶ αἱ νῆες αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσιν, ἀλλὰ τὰς παρὰ Τισσαφέρνους Φοινίσσας ναῦς μένοντες, ἄλλως ὄνομα καὶ οὐκ ἔργον, κινδυνεύσειν διατριβῆναι· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. Οὔκουν ἔφασαν χρῆναι μέλλειν ἔτι, ἀλλὰ διαναυμαχεῖν. Καὶ μάλιστα οἱ Συρακούσιοι ἐνῆγον.

οθ'. Αἰσθόμενοι δὲ οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν θροῦν, καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου ὥστε διαναυμαχεῖν, ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς ἡ ἐν τῇ Σάμῳ ταραχὴ, ἄραντες ταῖς ναυσὶ πάσαις οὔσαις δώδεκα καὶ ἑκατὸν, καὶ τοὺς Μιλησίους πεζῇ κελεύσαντες ἐπὶ τῆς Μυκάλης παριέναι, ἔπλεον ὡς πρὸς τὴν Μυκάλην. Οἱ δ' Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δύο καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι (διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην), ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς προσπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι. Καὶ ἅμα (προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μι-

hautement entre elles de ce que leurs affaires étaient ruinées par Astyochos et Tissaphernes, puisqu'Astyochos n'avait point voulu livrer un combat naval ni précédemment, quand leur flotte était si puissante et celle des Athéniens moindre, ni maintenant, qu'on disait les Athéniens livrés aux dissensions et que leurs forces navales étaient disséminées, et qu'eux-mêmes risquaient de se consumer entièrement en attendant la flotte Phénicienne, qui du reste n'était qu'un nom sans réalité; quant à Tissaphernes, il n'amènerait pas cette flotte, qu'il avait promise, tandis qu'il ruinait celle du Péloponnèse à laquelle il ne payait le subside ni régulièrement ni intégralement. Elles déclarèrent donc que, sans plus différer, il fallait livrer un combat naval; les Syracusains surtout les excitaient.

79. Astyochos et ses alliés, instruits de ces murmures, résolurent dans un conseil d'engager une bataille sur mer qui fût décisive, et, comme on les avait instruits des troubles de Samos, ils partirent avec tous les vaisseaux, au nombre de cent douze, et cinglèrent vers Mycale, après avoir ordonné aux Milésiens de s'y rendre par terre. Les Athéniens, avec quatre-vingt-deux vaisseaux de leur flotte de Samos, stationnaient pour lors à Glaucé, près Mycale; Samos en cet endroit est peu éloignée de Mycale sur le continent. Dès qu'ils virent la flotte Péloponnésienne venir à leur rencontre, ils se retirèrent à Samos, ne se croyant pas assez nombreux pour s'exposer à tout risquer; d'ailleurs, prévenus que les ennemis qui étaient à Milet se proposaient de livrer un combat naval, ils attendaient que, de l'Hel-

λήτου ναυμαχησείοντας) προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἀβύδου ἀφικομέναις προσβοηθήσειν· προὐπέπεμπτο γὰρ αὐτῷ ἄγγελος. Καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου ἀνεχώρησαν, οἱ δὲ Πελοποννήσιοι, καταπλεύσαντες ἐπὶ τῆς Μυκάλης, ἐστρατοπεδεύσαντο, καὶ τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. Καὶ τῇ ὑστεραίᾳ, μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ, ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος· καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. Οἱ δ' Ἀθηναῖοι, προσγενομένων σφίσι τῶν νεῶν, ἐπίπλουν αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατὸν, βουλόμενοι διαναυμαχῆσαι· καὶ ὡς οὐδεὶς αὐτοῖς ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.

π'. Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι, ἐπειδὴ ἀθρόαις ταῖς ναυσὶν, οὐκ ἀξιόμαχοι νομίσαντες εἶναι, οὐκ ἀντανήγοντο, ἀπορήσαντες ὁπόθεν τοσαύταις ναυσὶ χρήματα ἕξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους κακῶς διδόντος, ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον, ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη, Κλέαρχον τὸν Ῥαμφίου ἔχοντα ναῦς τεσσαράκοντα. Ἐπεκαλεῖτό τε γὰρ αὐτοὺς ὁ Φαρνάβαζος καὶ τροφὴν ἑτοῖμος ἦν παρέχειν, καὶ ἅμα καὶ τὸ Βυζάντιον ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. Καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες, ἀπάρασαι ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς Ἀθηναίους,

lespont, Strombichidès vînt à leur secours avec les vaisseaux qui de Chios se rendaient à Abydos, et d'avance un courrier lui avait été dépêché. Ils se retirèrent donc à Samos, tandis que les Péloponnésiens, ayant pris terre à Mycale, y campèrent, ainsi que l'armée de terre de Milet et des pays voisins. Le lendemain, au moment où les Péloponnésiens s'étaient mis en mer contre Samos, on leur annonça que Strombichidès était arrivé de l'Hellespont avec sa flotte, et aussitôt ils revinrent à Milet. Cependant les Athéniens, renforcés de cette flotte, firent alors une course contre Milet avec cent huit vaisseaux, dans l'intention de livrer sur mer un combat décisif; mais, comme personne ne sortit pour venir à leur rencontre, ils s'en revinrent à Samos.

80. Aussitôt après et dans le même été les Péloponnésiens, qui, ne s'étant pas crus en état avec tous leurs vaisseaux de se mesurer avec la flotte ennemie, n'avaient pas été à sa rencontre, ne sachant d'ailleurs comment fournir de l'argent à tant de vaisseaux, surtout parce que Tissaphernes les payait mal, envoyèrent auprès de Pharnabaze, d'après l'ordre que du Péloponnèse leur avait été précédemment donné, Cléarchos, fils de Rhamphias, avec quarante vaisseaux. Pharnabaze, en effet, les avait invités à venir, et il était prêt à leur fournir des subsides; en même temps Byzance négociait avec eux pour se détacher d'Athènes. Ces vaisseaux du Péloponnèse, ayant gagné le large, pour n'être pas aperçus des Athéniens dans la traversée, furent surpris par une tempête : la plupart avec Cléarchos gagnèrent Délos, et retournèrent plus tard à Milet;

χειμασθεῖσαι, καὶ αἱ μὲν Δῆλου λαβόμεναι αἱ πλείους μετὰ Κλεάρχου καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς Μίλητον (Κλέαρχος δὲ κατὰ γῆν αὖθις ἐς τὸν Ἑλλήσποντον κομισθεὶς ἦρχεν), αἱ δὲ μετὰ Ἑλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα ἐς τὸν Ἑλλήσποντον διασωθεῖσαι, Βυζάντιον ἀφιστᾶσι. Καὶ μετὰ ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν αἰσθόμενοι νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον, καί τις καὶ ναυμαχία βραχεῖα γίγνεται πρὸ τοῦ Βυζαντίου ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.

πα'. Οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ, καὶ μάλιστα Θρασύβουλος, ἀεί γε τῆς αὐτῆς γνώμης ἐχόμενος, ἐπειδὴ μετέστησε τὰ πράγματα, ὥστε κατάγειν Ἀλκιβιάδην, καὶ τέλος ἐπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ, ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν, πλεύσας ὡς τὸν Τισσαφέρνη, κατῆγεν ἐς τὴν Σάμον τὸν Ἀλκιβιάδην, νομίζων μόνην σωτηρίαν, εἰ Τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων. Γενομένης δὲ ἐκκλησίας, τήν τε ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπητιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης, καὶ περὶ τῶν πολιτικῶν πολλὰ εἰπὼν, ἐς ἐλπίδας αὐτοὺς οὐ σμικρὰς τῶν τε μελλόντων καθίστη, καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει, ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν ἔχοντες φοβοῖντο αὐτὸν καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν, καὶ οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρ-

Cléarchos se remit en route par terre pour l'Hellespont, dont il prit le commandement. Dix vaisseaux qui, avec le général Hélixos de Mégare, s'étaient réfugiés dans l'Hellespont, soulevèrent Byzance. Les Athéniens qui étaient à Samos, en ayant été informés, envoyèrent dans l'Hellespont un secours de vaisseaux et une garnison; il y eut même devant Byzance un petit combat de huit bâtiments contre huit.

81. Parmi ceux qui dirigeaient les affaires à Samos, ce fut surtout Thrasybule qui, du moment où il eut opéré cette révolution, persistant toujours dans son dessein de rappeler Alcibiades, parvint enfin dans une assemblée publique à y décider la majorité des soldats. Aussitôt qu'ils eurent décrété son rappel et la sécurité pour sa vie, Thrasybule se rendit par mer auprès de Tissaphernes, et conduisit Alcibiades à Samos, croyant que le seul moyen de salut était qu'Alcibiades parvînt à faire passer Tissaphernes du parti Péloponnésien à celui d'Athènes. Dans une assemblée qui fut convoquée, Alcibiades se plaignit, et déplora le malheur de son exil; puis il parla longuement des affaires politiques, et tâcha d'inspirer de grandes espérances pour l'avenir; il exagéra fort son crédit auprès de Tissaphernes, pour se faire craindre de ceux qui, dans Athènes, étaient à la tête de l'oligarchie, et dissoudre plus aisément les sociétés politiques, s'attirer plus de considération auprès des Athéniens de Samos et mieux les rassurer, enfin pour achever de perdre les ennemis d'Athènes dans l'esprit de Tissaphernes, en détruisant les espérances qu'ils avaient mises en lui. Alcibiades fit donc les plus grandes promesses, disant avec jactance que Tis-

σοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο καὶ ἀπὸ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν. Ὑπισχνεῖτο δ' οὖν τάδε μέγιστα ἐπικομπῶν ὁ Ἀλκιβιάδης, ὡς Τισσαφέρνης αὐτῷ ὑπεδέξατο ἦ μὴν, ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύσῃ, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ' ἢν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρίσαι, τάς τε ἐν Ἀσπένδῳ ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πιστεῦσαι δ' ἂν μόνως Ἀθηναίοις, εἰ σῶς αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο.

πβ΄. Οἱ δ' ἀκούσαντες ταῦτά τε καὶ ἄλλα πολλὰ, στρατηγόν τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν, τήν τε παραυτίκα ἐλπίδα ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας οὐδενὸς ἂν ἠλλάξαντο, καὶ ἑτοῖμοι ἤδη ἦσαν κατὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν λεχθέντων καταφρονεῖν καὶ πλεῖν ἐπὶ τὸν Πειραιᾶ. Ὁ δὲ τὸ μὲν ἐπὶ τὸν Πειραιᾶ πλεῖν τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας καὶ πάνυ διεκώλυσε, πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς ᾕρητο, πλεύσας ὡς Τισσαφέρνην πράξειν. Καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοκῇ πάντα μετ' ἐκείνου κοινοῦσθαι, καὶ ἅμα βουλόμενος αὐτῷ τιμιώτερός τε εἶναι καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς ἤδη ᾕρηται καὶ εὖ καὶ κακῶς οἷός τέ ἐστιν αὐτὸν ἤδη ποιεῖν. Ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισ-

saphernes lui avait juré, que, s'il pouvait se fier aux Athéniens, tant qu'il lui resterait quelque chose de ses biens, les subsides ne leur manqueraient jamais, dût-il finir par faire argent de son lit; qu'il amènerait aux Athéniens plutôt qu'aux Péloponnésiens la flotte Phénicienne qui était alors à Aspendos; mais qu'il ne pouvait se fier aux Athéniens que si Alcibiades, de retour sain et sauf, lui servait de garantie.

82. Après avoir entendu ces promesses et beaucoup d'autres encore, les soldats l'élurent aussitôt général avec ceux nommés auparavant, et lui remirent toutes les affaires; dès lors nul d'entre eux n'eût voulu échanger pour rien au monde l'espoir qu'il avait d'être sauvé et de se venger des Quatre-cents. Déjà les paroles d'Alcibiades les avaient disposés à mépriser les ennemis qu'ils avaient en tête, et à voguer aussitôt vers le Pirée; mais Alcibiades, malgré l'empressement général, empêcha avec énergie que l'on fît voile pour le Pirée, en laissant des ennemis plus voisins, et leur dit que, puisqu'il venait d'être élu général, il se rendrait auprès de Tissaphernes pour régler au préalable ce qui était relatif à la guerre. Au sortir de l'assemblée, il partit aussitôt, afin de faire voir qu'il communiquait tout à Tissaphernes; il voulait aussi se rendre plus important à ses yeux, en lui montrant qu'étant déjà élu général, il pouvait lui faire et du bien et du mal. Dans cette circonstance Alcibiades

σαφέρνει τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην.

πγ'. Οἱ δὲ Πελοποννήσιοι ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν Ἀλκιβιάδου κάθοδον, καὶ πρότερον τῷ Τισσαφέρνει ἀπιστοῦντες, πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. Ξυνηνέχθη γὰρ αὐτοῖς κατὰ τὸν ἐπὶ τὴν Μίλητον τῶν Ἀθηναίων ἐπίπλουν, ὡς οὐκ ἠθέλησαν ἀνταναγαγόντες ναυμαχῆσαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν Τισσαφέρνην ἀῤῥωστότερον γενόμενον καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν πρότερον ἔτι τούτων διὰ τὸν Ἀλκιβιάδην ἐπιδεδωκέναι. Καὶ ξυνιστάμενοι κατ' ἀλλήλους οἷάπερ καὶ πρότερον οἱ στρατιῶται ἀνελογίζοντο, καί τινες καὶ τῶν ἄλλων τῶν ἀξιολόγων ἀνθρώπων καὶ οὐ μόνον τὸ στρατιωτικὸν, ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό τε διδόμενον βραχὺ, καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ, εἰ μή τις ἢ διαναυμαχήσει ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει, ἀπολείψειν τοὺς ἀνθρώπους τὰς ναῦς· πάντων τε Ἀστύοχον εἶναι αἴτιον, ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη.

πδ'. Ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ, ξυνηνέχθη καὶ τοιόσδε τις θόρυβος περὶ τὸν Ἀστύοχον. Τῶν γὰρ Συρακουσίων καὶ Θουρίων ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ ναῦται, τοσούτῳ καὶ θρασύτατα προσπεσόντες τὸν μισθὸν ἀπήτουν. Ὁ δὲ αὐθαδέστερόν τέ τι ἀπεκρίνατο καὶ ἠπείλησε, καὶ τῷ γε Δωριεῖ ξυναγορεύοντι τοῖς

fit peur aux Athéniens de Tissaphernes, et à Tissaphernes des Athéniens.

83. Les Péloponnésiens, ayant appris à Milet le rappel d'Alcibiades, se méfiant déjà de Tissaphernes, furent encore bien plus indisposés contre lui. A leurs précédents griefs et à son mauvais vouloir de payer la solde depuis qu'ils avaient refusé la bataille que la flotte Athénienne leur avait offerte à Milet, Tissaphernes venait d'ajouter par le fait d'Alcibiades un nouveau motif à leur haine. Formant entre eux des attroupements, comme ils l'avaient déjà fait, les soldats et quelques autres personnes importantes, indépendamment de la soldatesque, se rappelaient de n'avoir jamais reçu le subside en entier; que même ce qu'on leur donnait, quoique peu de chose, n'était pas payé régulièrement; que, si on ne livrait pas un combat naval décisif, ou si on n'allait pas ailleurs où l'on pourrait avoir des vivres, les matelots quitteraient la flotte; que la cause de tous ces maux était Astyochos, qui pour ses propres intérêts secondait les passions de Tissaphernes.

84. A ces préoccupations auxquelles ils se livraient s'ajouta celle d'une mutinerie contre Astyochos. En voici la cause : des matelots de Syracuse et de Thuria étaient venus en foule vers lui, exigeant leur solde avec d'autant plus d'insolence qu'ils étaient de condition libre. Astyochos répondit avec un peu d'arrogance, menaça, et leva même son bâton sur Dôriéus, qui appuyait les

ἑαυτοῦ ναύταις καὶ ἐπανήρατο τὴν βακτηρίαν. Τὸ δὲ πλῆθος τῶν στρατιωτῶν, ὡς εἶδον, οἷα δὴ ναῦται, ὥρμησαν ἐκραγέντες ἐπὶ τὸν Ἀστύοχον ὥστε βάλλειν· ὁ δὲ προϊδὼν καταφεύγει ἐπὶ βωμόν τινα. Οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων.

Ἔλαβον δὲ καὶ τὸ ἐν τῇ Μιλήτῳ ἐνῳκοδομημένον τοῦ Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι, λάθρα ἐπιπεσόντες, καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσι· ξυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις ταῦτα, καὶ οὐχ ἥκιστα τοῖς Συρακουσίοις. Ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε χρῆναι Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ θῶνται. Οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε αὐτῷ καὶ διὰ ταῦτα καὶ δι' ἄλλα τοιουτότροπα, καὶ νόσῳ ὕστερον ἀποθανόντα αὐτὸν οὐκ εἴασαν θάψαι οὗ ἐβούλοντο οἱ παρόντες τῶν Λακεδαιμονίων.

πε'. Κατὰ δὴ τοιαύτην διαφορὰν ὄντων αὐτοῖς τῶν πραγμάτων πρός τε τὸν Ἀστύοχον καὶ τὸν Τισσαφέρνην, Μίνδαρος, διάδοχος τῆς Ἀστυόχου ναυαρχίας, ἐκ Λακεδαίμονος ἐπῆλθε, καὶ παραλαμβάνει τὴν ἀρχήν· ὁ δὲ Ἀστύοχος ἀπέπλει. Ξυνέπεμψε δὲ καὶ Τισσαφέρνης αὐτῷ πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ, Γαυλίτην ὄνομα, Κᾶρα δίγλωσσον, κατηγορήσοντα τῶν τε Μιλησίων περὶ τοῦ φρουρίου, καὶ περὶ αὐτοῦ ἅμα ἀπολογησόμενον, εἰδὼς τούς τε Μιλησίους

demandes de son équipage. A cette vue cette foule armée, violente comme sont les matelots, se jeta sur Astyochos pour le frapper; celui-ci, qui prévit le danger, se réfugia sur un autel : il ne fut pas blessé, et la foule se dispersa.

Les Milésiens attaquèrent par surprise le fort que Tissaphernes avait construit à Milet, s'en emparèrent et en chassèrent la garnison; ce qui fut approuvé des autres alliés, surtout des Syracusains. Mais Lichas en fut mécontent; il dit même que les Milésiens et les autres Hellènes qui habitaient dans le pays du Roi, devaient rester soumis à Tissaphernes à des conditions modérées, et lui être dévoués, du moins jusqu'à ce que la guerre fût heureusement achevée. Les Milésiens s'irritèrent contre lui; et ce fut pour ces propos et d'autres semblables que, quand plus tard Lichas mourut de maladie, ils ne le laissèrent pas inhumer dans l'endroit que les Lacédémoniens à Milet avaient alors désigné pour sa sépulture.

C'est dans ces sentiments d'animosité des Péloponnésiens contre Astyochos et Tissaphernes que Mindaros, successeur d'Astyochos pour commander la flotte, vint de Lacédémone, et prit possession de l'autorité. Astyochos partit par mer, et Tissaphernes expédia avec lui un de ses gens, nommé Gaulitès, Carien qui parlait deux langues, pour porter plainte contre les Milésiens au sujet du fort qu'ils avaient occupé, et aussi pour disculper Tissaphernes, qui savait que les Milésiens se rendaient à Lacédémone surtout pour l'accuser, et

πορευομένους ἐπὶ καταβοῇ τῇ αὐτοῦ μάλιστα, καὶ τὸν Ἑρμοκράτην μετ' αὐτῶν, ὃς ἔμελλε τὸν Τισσαφέρνην ἀποφαίνειν φθείροντα τῶν Πελοποννησίων τὰ πράγματα μετὰ Ἀλκιβιάδου, καὶ ἐπαμφοτερίζοντα. Ἔχθρα δὲ πρὸς αὐτὸν ἦν αὐτῷ ἀεί ποτε περὶ τοῦ μισθοῦ τῆς ἀποδόσεως· καὶ τὰ τελευταῖα, φυγόντος ἐκ Συρακουσῶν τοῦ Ἑρμοκράτους, καὶ ἑτέρων ἡκόντων ἐπὶ τὰς ναῦς τῶν Συρακουσίων ἐς τὴν Μίλητον στρατηγῶν, Ποτάμιδος καὶ Μύσκωνος καὶ Δημάρχου, ἐνέκειτο ὁ Τισσαφέρνης φυγάδι ὄντι ἤδη τῷ Ἑρμοκράτει πολλῷ ἔτι μᾶλλον, καὶ κατηγόρει ἄλλα τε καὶ ὡς, χρήματά ποτε αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν, τὴν ἔχθραν οἱ προθοῖτο.

Ὁ μὲν οὖν Ἀστύοχος καὶ οἱ Μιλήσιοι καὶ ὁ Ἑρμοκράτης ἀπέπλευσαν ἐς τὴν Λακεδαίμονα· ὁ δὲ Ἀλκιβιάδης διεβεβήκει πάλιν ἤδη παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον.

πς'. Καὶ οἱ ἐκ τῆς Δήλου ἀπὸ τῶν τετρακοσίων πρεσβευταὶ, οὓς τότε ἔπεμψαν παραμυθησομένους καὶ ἀναδιδάξοντας τοὺς ἐν τῇ Σάμῳ, ἀφικνοῦνται παρόντος τοῦ Ἀλκιβιάδου, καὶ, ἐκκλησίας γενομένης, λέγειν ἐπεχείρουν. Οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας, ἔπειτα μέντοι, μόλις ἡσυχάσαντες, ἤκουσαν. Οἱ δ' ἀπήγγελλον, ὡς οὔτε ἐπὶ διαφθορᾷ τῆς πόλεως ἡ μετάστασις γένοιτο, ἀλλ' ἐπὶ σωτηρίᾳ, οὔθ' ἵνα τοῖς πολεμίοις παραδοθῇ (ἐξεῖ-

qu'avec eux se trouvait Hermocrates, chargé de représenter que Tissaphernes ruinait, avec Alcibiades, les affaires des Péloponnésiens, et agissait avec duplicité. Tissaphernes persévérait dans sa haine contre Hermocrates depuis l'affaire du paiement de la solde; et tout récemment, quand il fut exilé de Syracuse et remplacé dans le commandement de la flotte Syracusaine à Milet par d'autres généraux, Potamis, Myscôn et Démarchos, l'acharnement de Tissaphernes contre Hermocrates s'était encore accru, bien qu'exilé : il l'accusait, entre autres choses, de lui garder rancune pour n'avoir pu obtenir de lui une somme d'argent qu'Hermocrates lui demandait.

Astyochos, les Milésiens et Hermocrates s'embarquèrent donc pour Lacédémone, et Alcibiades quitta Tissaphernes pour retourner à Samos.

86. Ce fut alors que de Délos arrivèrent les députés précédemment envoyés par les Quatre-cents pour rassurer et renseigner les Athéniens qui étaient à Samos, et où ils se trouvèrent en présence d'Alcibiades. Une assemblée ayant été convoquée, ils cherchèrent à parler. Les soldats tout d'abord, loin de vouloir les entendre, s'écrièrent qu'on tuât les destructeurs de la démocratie; s'étant enfin calmés avec peine, ils écoutèrent. Les députés leur exposèrent que cette révolution avait eu lieu pour sauver et non pour ruiner la ville d'Athènes, ni pour la livrer aux ennemis, ce qu'auraient pu faire, lors de l'invasion des Péloponnésiens, les Quatre-cents, maîtres alors du pouvoir; que, quant aux Cinq-mille,

ναι γὰρ, ὅτε ἐσέβαλον, ἤδη σφῶν ἀρχόντων, τοῦτο ποιῆσαι), τῶν τε πεντακισχιλίων ὅτι πάντες ἐν τῷ μέρει μεθέξουσιν, οἵ τε οἰκεῖοι αὐτῶν οὔθ' ὑβρίζονται, ὥσπερ Χαιρέας διαβάλλων ἀπήγγειλεν, οὔτε κακὸν ἔχουσιν οὐδὲν, ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν ἕκαστοι κατὰ χώραν μένουσιν. Ἄλλα τε πολλὰ εἰπόντων, οὐδὲν μᾶλλον ἐσήκουον, ἀλλ' ἐχαλέπαινον, καὶ γνώμας ἄλλοι ἄλλας ἔλεγον, μάλιστα δὲ ἐπὶ τὸν Πειραιᾶ πλεῖν. Καὶ ἐδόκει Ἀλκιβιάδης πρῶτος τότε καὶ οὐδενὸς ἔλασσον τὴν πόλιν ὠφελῆσαι· ὡρμημένων γὰρ τῶν ἐν Σάμῳ Ἀθηναίων πλεῖν ἐπὶ σφᾶς αὐτοὺς, ἐν ᾧ σαφέστατ' ἂν Ἰωνίαν καὶ Ἑλλήσποντον εὐθὺς εἶχον οἱ πολέμιοι, κωλυτὴς γενέσθαι. Καὶ ἐν τῷ τότε ἄλλος μὲν οὐδεὶς ἂν ἱκανὸς ἐγένετο κατασχεῖν τὸν ὄχλον, ἐκεῖνος δὲ τοῦ τ' ἐπίπλου ἔπαυσε καὶ τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν. Αὐτὸς δὲ ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν, ὅτι τοὺς μὲν πεντακισχιλίους οὐ κωλύει ἄρχειν, τοὺς μέντοι τετρακοσίους ἀπαλλάσσειν ἐκέλευεν αὐτοὺς, καὶ καθιστάναι τὴν βουλὴν ὥσπερ καὶ πρότερον, τοὺς πεντακοσίους· εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται, ὥστε τοὺς στρατευομένους μᾶλλον ἔχειν τροφὴν, πάνυ ἐπαινεῖν. Καὶ τἄλλα ἐκέλευεν ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις· πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς, σωζομένης τῆς πόλεως, πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι, εἰ δὲ ἅπαξ τὸ ἕτερον σφαλήσεται, ἢ τὸ ἐν Σάμῳ ἢ κεῖνοι, οὐδὲ ὅτῳ διαλλαγήσεταί τις ἔτι ἔσεσθαι.

tous à leur tour participeraient à l'autorité; qu'aucun des leurs n'avait été outragé, comme l'avait calomnieusement rapporté Chæréas; que, loin de souffrir aucun mal, chacun restait tranquille possesseur de ses propriétés. Ils voulaient continuer, mais on n'en voulut pas entendre davantage, l'irritation était extrême; divers avis furent proposés, surtout celui de faire voile pour le Pirée. Dans cette conjoncture, Alcibiades paraît avoir servi la ville d'Athènes pour la première fois et mieux qu'aucun autre; car, à l'instant où les Athéniens de Samos s'empressaient de s'embarquer contre leurs propres concitoyens (et dans ce cas sans nul doute leurs ennemis se rendaient maîtres aussitôt de l'Iônie et de l'Hellespont), ce fut lui qui les retint. Nul autre n'eût été capable, dans un tel moment, de contenir la multitude; mais Alcibiades la fit renoncer à son départ, et, par ses réprimandes, changea l'opinion de ceux qui plus particulièrement étaient irrités contre les députés. Il les congédia lui-même, leur disant, en réponse, qu'il n'empêcherait pas les Cinq-mille d'avoir l'autorité, mais qu'il demandait qu'on se débarrassât des Quatre-cents, et qu'on rétablît, comme par le passé, le conseil des Cinq-cents; du reste, qu'il ne saurait trop louer toute diminution sur les dépenses pour augmenter la solde des troupes. Il leur recommanda aussi de tenir ferme, et ne céder en rien aux ennemis; car, tant que la ville d'Athènes subsisterait, on avait tout lieu d'espérer que les Athéniens s'accorderaient entre eux; mais, une fois l'un des deux partis tombé, soit celui de Samos, soit celui d'Athènes, il ne resterait plus personne avec qui se réconcilier. Des députés d'Argos alors présents promettaient au parti populaire des Athéniens à Samos de le secou-

Παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις, ἐπαγγελλόμενοι τῷ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων δήμῳ ὥστε βοηθεῖν· ὁ δὲ Ἀλκιβιάδης, ἐπαινέσας αὐτοὺς καὶ εἰπὼν, ὅταν τις καλῇ, παρεῖναι, οὕτως ἀπέπεμπεν. Ἀφίκοντο δὲ οἱ Ἀργεῖοι μετὰ τῶν Παράλων, οἳ τότε ἐτάχθησαν ἐν τῇ στρατιώτιδι νηῒ ὑπὸ τῶν τετρακοσίων περιπλεῖν Εὔβοιαν, καὶ ἄγοντες Ἀθηναίων ἐς Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πεμπτοὺς πρέσβεις, Λαισποδίαν καὶ Ἀριστοφῶντα καὶ Μελησίαν, ἐπειδὴ ἐγένοντο πλέοντες κατ' Ἄργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς Ἀργείοις παρέδοσαν ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν δῆμον ὄντας, αὐτοὶ δὲ οὐκέτι ἐς τὰς Ἀθήνας ἀφίκοντο, ἀλλ' ἄγοντες ἐκ τοῦ Ἄργους ἐς τὴν Σάμον τοὺς πρέσβεις ἀφικνοῦνται ᾗπερ εἶχον τριήρει.

πζ΄. Τοῦ δ' αὐτοῦ θέρους Τισσαφέρνης, κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾧ μάλιστα διά τε τἄλλα καὶ διὰ τὴν Ἀλκιβιάδου κάθοδον ἤχθοντο αὐτῷ οἱ Πελοποννήσιοι ὡς φανερῶς ἤδη ἀττικίζοντι, βουλόμενος, ὡς ἐδόκει δὴ, ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολὰς, παρεσκευάζετο πορεύεσθαι ἐπὶ τὰς Φοινίσσας ναῦς ἐς Ἄσπενδον, καὶ τὸν Λίχαν ξυμπορεύεσθαι ἐκέλευε· τῇ δὲ στρατιᾷ προστάξειν ἔφη Ταμὼν, ἑαυτοῦ ὕπαρχον, ὥστε τροφὴν ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ διδόναι. Λέγεται δὲ οὐ κατὰ ταὐτὸ, οὐδὲ ῥᾴδιον εἰδέναι τίνι γνώμῃ παρῆλθεν ἐς τὴν Ἄσπενδον καὶ παρελθὼν οὐκ ἤγαγε τὰς ναῦς. Ὅτι μὲν γὰρ αἱ Φοίνισσαι νῆες ἑπτὰ καὶ τεσσαρά-

rir. Alcibiades leur donna des éloges, leur dit de venir lorsqu'on les manderait, et les congédia ainsi. Ces Argéens étaient venus avec les matelots de la Paralos, embarqués par les Quatre-cents sur un bâtiment de transport militaire, pour croiser autour de l'Eubœe et pour conduire à Lacédémone Læspodias, Aristophôn et Mélésias, députés d'Athènes envoyés par les Quatre-cents. Mais, dès que dans leur navigation les Paraliens furent parvenus à Argos, ils arrêtèrent ces députés et les livrèrent aux Argéens comme faisant partie des principaux destructeurs de la démocratie; ces Paraliens ne retournèrent plus à Athènes, mais ils se rendirent d'Argos à Samos y conduisant leur trirème avec les députés.

87. Le même été, à l'époque où, pour divers motifs et à cause du rappel d'Alcibiades, les Péloponnésiens étaient le plus irrités contre Tissaphernes, qu'ils regardaient comme le partisan déclaré d'Athènes, celui-ci, voulant, du moins à ce qu'il paraît, se disculper auprès d'eux de ce dont on l'accusait, se disposa à venir trouver à Aspendos la flotte Phénicienne; il invita Lichas à l'accompagner, et promit d'ordonner à Tamôs, son lieutenant, de fournir, en son absence, à l'entretien de l'armée. On parle diversement de ce voyage, et il n'est pas aisé de savoir à quelle intention Tissaphernes se rendit à Aspendos, ni pourquoi, s'y étant rendu, il n'en amena pas la flotte. Il est certain que les vaisseaux Phéniciens, au nombre de cent quarante-sept, s'avancèrent jusqu'à Aspendos; mais par quelle raison n'arrivèrent-ils pas? c'est ce qui donne lieu à bien des conjectures. Les uns pensent que, par son départ, il vou-

κοντα καὶ ἑκατὸν μέχρι Ἀσπένδου ἀφίκοντο σαφές ἐστι· διότι δὲ οὐκ ἦλθον πολλαχῇ εἰκάζεται. Οἱ μὲν γὰρ, ἵνα διατρίβῃ ἀπελθὼν, ὥσπερ καὶ διενοήθη, τὰ τῶν Πελοποννησίων (τροφὴν γοῦν οὐδὲν βέλτιον, ἀλλὰ καὶ χεῖρον ὁ Ταμὼς, ᾧ προσετάχθη, παρεῖχεν), οἱ δὲ, ἵνα τοὺς Φοίνικας προαγαγὼν ἐς τὴν Ἄσπενδον ἐκχρηματίσαιτο ἀφεὶς (καὶ γὰρ ὣς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι), ἄλλοι δ', ὡς καταβοῆς ἕνεκα τῆς ἐς τὴν Λακεδαίμονα, τοῦ λέγεσθαι ὡς οὐκ ἀδικεῖ, ἀλλὰ καὶ σαφῶς οἴχεται ἐπὶ τὰς ναῦς ἀληθῶς πεπληρωμένας. Ἐμοὶ μέντοι δοκεῖ σαφέστατον εἶναι τριβῆς ἕνεκα καὶ ἀνακωχῆς τῶν Ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν, φθορᾶς μὲν, ἐν ὅσῳ παρῄει ἐκεῖσε καὶ διέμελλεν, ἀνισώσεως δὲ, ὅπως μηδετέρους προσθέμενος ἰσχυροτέρους ποιήσῃ, ἐπεὶ, εἴ γε ἐβουλήθη, διαπολεμῆσαι [ἂν] ἐπιφανὲς δήπου οὐκ ἐνδοιαστῶς· κομίσας γὰρ ἂν Λακεδαιμονίοις τὴν νίκην κατὰ τὸ εἰκὸς ἔδωκεν, οἵ γε καὶ ἐν τῷ παρόντι ἀντιπάλως μᾶλλον ἢ ὑποδεεστέρως τῷ ναυτικῷ ἀνθώρμουν. Καταφωρᾷ δὲ μάλιστα καὶ ἣν εἶπε πρόφασιν οὐ κομίσας τὰς ναῦς. Ἔφη γὰρ αὐτὰς ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι· ὁ δὲ χάριν ἂν δήπου ἐν τούτῳ μείζω ἔτι ἔσχεν, οὔτε ἀναλώσας πολλὰ τῶν βασιλέως τά τε αὐτὰ ἀπ' ἐλασσόνων πράξας. Ἐς δ' οὖν τὴν Ἄσπενδον, ἥτινι δὴ γνώμῃ ὁ Τισσαφέρνης ἀφικνεῖται καὶ τοῖς Φοίνιξι ξυγγίγνεται· καὶ οἱ Πελοποννήσιοι ἔπεμψαν ὡς ἐπὶ τὰς ναῦς, κελεύσαντος αὐ-

lait affaiblir, conformément à son projet, les forces du Péloponnèse; du moins Tamôs, chargé de fournir la solde, loin de l'augmenter, la diminuait encore : les autres, que, bien qu'il eût fait avancer les Phéniciens jusqu'à Aspendos, il n'avait point l'intention de les employer, mais d'extorquer de l'argent en leur accordant le congé : d'autres enfin, qu'instruit des clameurs qui s'élevaient contre lui à Lacédémone, il voulait faire dire qu'il n'était point dans son tort, mais qu'il était parti, à n'en plus pouvoir douter, pour faire venir la flotte Phénicienne, réellement équipée. Quant à moi, il me semble évident que ce fut pour miner et neutraliser les affaires des Hellènes qu'il n'amena pas cette flotte : il espérait leur ruine durant les délais qu'il mettrait à se rendre à Aspendos, et le maintien de l'équilibre, en ne se joignant à aucun des deux partis, pour ne pas rendre l'un plus fort que l'autre. En effet, s'il eût voulu mettre fin à la guerre, il est évident, et à n'en pouvoir douter, qu'il le pouvait; car, en amenant la flotte aux Lacédémoniens, il leur eût par cela même assuré la victoire, puisque déjà ils stationnaient en face de l'ennemi avec une flotte égale plutôt qu'inférieure. Le prétexte que Tissaphernes allégua pour n'avoir pas amené la flotte, le trahit surtout : il prétendait que le nombre des vaisseaux se trouvait moindre de celui que le Roi avait prescrit : mais, en cela, on lui aurait su d'autant plus de gré d'avoir épargné l'argent du Roi, tout en obtenant le même résultat à moins de frais. Enfin, quelle que fût son intention, Tissaphernes se rendit à Aspendos, et communiqua avec les Phéniciens; et sur son ordre les Péloponnésiens envoyèrent à la flotte le Lacédémonien Philippe avec deux trirèmes.

του, Φίλιππον, ἄνδρα Λακεδαιμόνιον, δύο τριήρεσιν.

πη'. Ἀλκιβιάδης δὲ, ἐπειδὴ καὶ τὸν Τισσαφέρνην ᾔσθετο παριόντα ἐπὶ τῆς Ἀσπένδου, ἔπλει καὶ αὐτὸς, λαβὼν τρεῖς καὶ δέκα ναῦς, ὑποσχόμενος τοῖς ἐν τῇ Σάμῳ ἀσφαλῆ καὶ μεγάλην χάριν (ἢ γὰρ αὐτὸς ἄξειν Ἀθηναίοις τὰς Φοινίσσας ναῦς, ἢ Πελοποννησίοις γε κωλύσειν ἐλθεῖν), εἰδὼς, ὡς εἰκὸς, ἐκ πλείονος τὴν Τισσαφέρνους γνώμην ὅτι οὐκ ἄξειν ἔμελλε, καὶ βουλόμενος αὐτὸν τοῖς Πελοποννησίοις ἐς τὴν ἑαυτοῦ καὶ Ἀθηναίων φιλίαν ὡς μάλιστα διαβάλλειν, ὅπως μᾶλλον δι' αὐτὸ σφίσιν ἀναγκάζοιτο προσχωρεῖν. Καὶ ὁ μὲν ἄρας εὐθὺ τῆς Φασήλιδος καὶ Καύνου ἄνω τὸν πλοῦν ἐποιεῖτο.

πθ'. Οἱ δ' ἐκ τῆς Σάμου ἀπὸ τῶν τετρακοσίων πεμφθέντες πρέσβεις, ἐπειδὴ, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, ἀπήγγειλαν τὰ παρὰ τοῦ Ἀλκιβιάδου, ὡς κελεύει τε ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις, ἐλπίδας τε ὅτι πολλὰς ἔχει κἀκείνοις τὸ στράτευμα διαλλάξειν καὶ Πελοποννησίων περιέσεσθαι, ἀχθομένους καὶ πρότερον τοὺς πολλοὺς τῶν μετεχόντων τῆς ὀλιγαρχίας, καὶ ἡδέως ἂν ἀπαλλαγέντας πῃ ἀσφαλῶς τοῦ πράγματος, πολλῷ δὴ μᾶλλον ἐπέῤῥωσαν. Καὶ ξυνίσταντό τε ἤδη, καὶ τὰ πράγματα διεμέμφοντο, ἔχοντες ἡγεμόνας τῶν πάνυ στρατηγῶν τῶν ἐν τῇ ὀλιγαρχίᾳ καὶ ἐν ἀρχαῖς ὄντων, οἷον Θηραμένην τε τὸν Ἅγνωνος καὶ Ἀριστοκράτην τὸν Σκελλίου καὶ ἄλλους, οἳ μετέσχον

88. Dès qu'Alcibiades apprit que Tissaphernes se dirigeait vers Aspendos, il partit lui-même avec treize vaisseaux, promettant aux Athéniens de leur rendre un service immense et infaillible; c'était d'amener lui-même aux Athéniens la flotte Phénicienne, ou du moins d'empêcher qu'elle passât du côté des Péloponnésiens. Il savait probablement dès longtemps que Tissaphernes n'avait pas l'intention d'amener la flotte, et il voulait surtout le noircir auprès des Péloponnésiens en le montrant l'ami d'Alcibiades et des Athéniens, afin de le forcer par là à se ranger du côté d'Athènes; il mit donc à la voile, et vogua en haute mer droit vers Phasélis et Caunos.

89. Dès que les députés qu'avaient envoyés les Quatre-cents furent de retour à Athènes, ils exposèrent ce qu'avait dit Alcibiades : qu'il leur demandait de tenir ferme sans rien céder à l'ennemi, et qu'il avait grand espoir de les réconcilier avec l'armée et de vaincre les Péloponnésiens; par-là ils ranimèrent le courage de ceux qui déjà s'étaient dégoûtés de l'oligarchie, à laquelle ils avaient participé, et dont ils se seraient volontiers détachés pour peu qu'il y eût eu sécurité. Ils formèrent des réunions et déplorèrent entre eux l'état des choses; à leur tête étaient des généraux distingués qui appartenaient au gouvernement oligarchique et qui occupaient des emplois, tels que Théramènes, fils d'Hagnôn, Aristocratès, fils de Scellias, et d'autres qui étaient à la tête des affaires; mais redoutant l'armée qui était à Samos et Alcibiades, et craignant en même temps que les députés, qu'on envoyait à Samos, ne prissent sans l'aveu de la majorité quelque resolution funeste à l'état, ils ne disaient pas franchement qu'ils ne vou-

μὲν ἐν τοῖς πρώτοις τῶν πραγμάτων, φοβούμενοι δὲ, [ὡς ἔφασαν], τό τε ἐν τῇ Σάμῳ στράτευμα καὶ τὸν Ἀλκιβιάδην [σπουδῇ πάνυ] τούς τε ἐς τὴν Λακεδαίμονα πρεσβευομένους, * ἔπεμπον, μή τι ἄνευ τῶν πλειόνων κακὸν δράσωσι τὴν πόλιν, οὔτοι * ἀπαλλαξείειν τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν, ἀλλὰ τοὺς πεντακισχιλίους ἔργῳ καὶ μὴ ὀνόματι χρῆναι ἀποδεικνύναι, καὶ τὴν πολιτείαν ἰσαιτέραν καθιστάναι. Ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς, κατ' ἰδίας δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ προσέκειντο, ἐν ᾧπερ καὶ μάλιστα ὀλιγαρχία ἐκ δημοκρατίας γενομένη ἀπόλλυται· πάντες γὰρ αὐθημερὸν ἀξιοῦσιν οὐχ ὅπως ἴσοι, ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς ἕκαστος εἶναι· ἐκ δὲ δημοκρατίας αἱρέσεως γιγνομένης ῥᾷον τὰ ἀποβαίνοντα ὡς οὐκ ἀπὸ τῶν ὁμοίων ἐλασσούμενός τις φέρει. Σαφέστατα δ' αὐτοὺς ἐπῆρε τὰ ἐν τῇ Σάμῳ τοῦ Ἀλκιβιάδου ἰσχυρὰ ὄντα, καὶ ὅτι αὐτοῖς οὐκ ἐδόκει μόνιμον τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι· ἠγωνίζετο οὖν εἷς ἕκαστος αὐτὸς πρῶτος προστάτης τοῦ δήμου γενέσθαι.

ϛ'. Οἱ δὲ τῶν τετρακοσίων μάλιστα ἐναντίοι ὄντες τῷ τοιούτῳ εἴδει καὶ προεστῶτες, Φρύνιχός τε, ὃς καὶ στρατηγήσας ἐν τῇ Σάμῳ [ποτὲ] τῷ Ἀλκιβιάδῃ τότε διηνέχθη, καὶ Ἀρίσταρχος, ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ, καὶ Πείσανδρος καὶ Ἀντιφῶν καὶ ἄλλοι οἱ δυνατώτατοι, πρότερόν τε, ἐπεὶ τάχιστα κατέστησαν, καὶ ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ σφῶν ἐς δημοκρατίαν ἀπέστη,

laient point la concentration du pouvoir entre les mains d'un très-petit nombre, mais se bornaient à soutenir qu'il fallait que les Cinq-mille ne fussent plus un mot seulement mais une réalité, et que l'égalité fût constituée sur de meilleures bases. Ce n'était qu'un vain dehors politique qu'ils donnaient à ces discours: mais, par leurs ambitions personnelles, la plupart d'entre eux se complaisaient dans cette situation où surtout une oligarchie née de la démocratie populaire trouve sa perte : car ce n'est pas à devenir égaux que tous osent prétendre, mais chacun veut aussitôt être de beaucoup le premier de tous; tandis que, lorsque les choix sont faits par une démocratie, on en supporte plus volontiers les conséquences, parce que ce n'est plus par un rival d'un même rang que soi qu'on a été vaincu. Ce qui frappa surtout ces oligarques fut le crédit puissant d'Alcibiades à Samos, et l'idée que cet état oligarchique ne saurait durer longtemps. Chacun donc s'efforçait à qui deviendrait le plus vite chef du peuple.

90. Ceux qui parmi les Quatre-cents s'opposaient surtout à un gouvernement entendu de cette sorte et étaient les chefs de l'oligarchie, tels que Phrynichos, qui, lors de son commandement à Samos, avait eu des différends avec Alcibiades, Aristarchos, un des plus grands et des plus anciens ennemis de l'état démocratique, Pisandros, Antiphôn et autres d'entre les hommes les plus influents. Ils avaient envoyé d'abord dès leur installation au gouvernement et plus tard, quand les affaires à Samos eurent pris la tournure démocratique, des députés à Lacédémone pour

πρέσβεις τε ἀπέστελλον σφῶν ἐς τὴν Λακεδαίμονα καὶ τὴν ὁμολογίαν προὐθυμοῦντο, καὶ τὸ ἐν τῇ Ἠετιωνείᾳ καλουμένῃ τεῖχος ἐποιοῦντο, πολλῷ τε μᾶλλον ἔτι, ἐπειδὴ καὶ οἱ ἐκ τῆς Σάμου πρέσβεις σφῶν ἦλθον, ὁρῶντες τούς τε πολλοὺς καὶ σφῶν τοὺς δοκοῦντας πρότερον πιστοὺς εἶναι μεταβαλλομένους. Καὶ ἀπέστειλαν μὲν Ἀντιφῶντα καὶ Φρύνιχον καὶ ἄλλους δέκα κατὰ τάχος, φοβούμενοι καὶ τὰ αὐτοῦ καὶ τὰ ἐκ τῆς Σάμου, ἐπιστείλαντες παντὶ τρόπῳ, ὅστις καὶ ὁπωσοῦν ἀνεκτὸς, ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους, ᾠκοδόμουν δὲ ἔτι προθυμότερον τὸ ἐν τῇ Ἠετιωνείᾳ τεῖχος. Ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη, ὡς ἔφη Θηραμένης καὶ οἱ μετ' αὐτοῦ, οὐχ ἵνα τοὺς ἐν Σάμῳ, ἢν βίᾳ ἐπιπλέωσι, μὴ δέξωνται ἐς τὸν Πειραιᾶ, ἀλλ' ἵνα τοὺς πολεμίους μᾶλλον, ὅταν βούλωνται, καὶ ναυσὶ καὶ πεζῷ δέξωνται. Χηλὴ γάρ ἐστι τοῦ Πειραιῶς ἡ Ἠετιώνεια, καὶ παρ' αὐτὴν εὐθὺς ὁ ἔσπλους ἐστίν. Ἐτειχίζετο οὖν οὕτω ξὺν τῷ πρότερον πρὸς ἤπειρον ὑπάρχοντι τείχει, ὥστε, καθεζομένων ἐς αὐτὸ ἀνθρώπων ὀλίγων, ἄρχειν τοῦ γε ἔσπλου· ἐπ' αὐτὸν γὰρ τὸν ἐπὶ τῷ στόματι τοῦ λιμένος στενοῦ ὄντος τὸν ἕτερον πύργον ἐτελεύτα τό τε παλαιὸν τὸ πρὸς ἤπειρον καὶ τὸ ἐντὸς τὸ καινὸν τεῖχος τειχιζόμενον πρὸς θάλασσαν. Διῳκοδόμησαν δὲ καὶ στοὰν, ἥπερ ἦν μεγίστη καὶ ἐγγύτατα τούτου εὐθὺς ἐχομένη ἐν τῷ Πειραιεῖ, καὶ ἦρχον αὐτοὶ αὐτῆς, ἐς ἣν καὶ τὸν σῖτον ἠνάγκαζον πάντας τὸν ὑπάρχοντά τε καὶ τὸν ἐσ-

proposer un accommodement, et ils commencèrent à fortifier un endroit nommé Éétiônée; mais ce fut surtout après le retour de leurs députés envoyés à Samos qu'ils redoublèrent d'efforts, lorsqu'ils virent changer le plus grand nombre et ceux même d'entre eux qui auparavant semblaient le plus dévoués. Ils expédièrent en toute hâte à Lacédémone Antiphôn, Phrynichos et dix autres députés, redoutant ce qui se passait à Athènes et à Samos; ils leur recommandèrent de ménager une réconciliation avec les Lacédémoniens, à tout prix, pour peu que les conditions fussent supportables, et ils hâtèrent encore plus la construction du mur à Éétiônée. Mais ce mur, comme le disait Théramènes et ceux de son parti, n'avait pas pour but de fermer l'entrée du Pirée aux Athéniens de Samos, s'ils venaient l'attaquer de vive force, mais bien plutôt d'y accueillir au temps voulu les ennemis par mer et par terre. Éétiônée est une jetée du Pirée, près de laquelle s'ouvre immédiatement le port. Ils élevèrent donc ce mur joignant celui qui existait auparavant du côté de la terre ferme, de telle sorte qu'en y plaçant un petit nombre d'hommes, on pouvait commander l'entrée du port; car l'ancien mur du côté de la terre ferme, ainsi que le nouveau qu'on élevait du côté de la mer, en dedans de [l'ancienne] muraille, se terminaient précisément à l'une des deux tours placées à l'embouchure du port, qui est étroit. On enclava aussi dans le mur un portique très-grand, qui, dans le Pirée, touchait immédiatement à cette fortification. Les Quatre-cents, maîtres de ce portique, obligèrent chacun à y déposer le blé qu'on pouvait avoir et celui qui arrivait par mer; c'était de là qu'on devait le tirer pour le mettre en vente.

πλέοντα ἐξαιρεῖσθαι καὶ ἐντεῦθεν προαιροῦντας πωλεῖν.

Ϟα'. Ταῦτ' οὖν ἐκ πλείονός τε ὁ Θηραμένης διεθρόει καὶ ἐπειδὴ οἱ ἐκ τῆς Λακεδαίμονος πρέσβεις οὐδὲν πράξαντες ἀνεχώρησαν τοῖς ξύμπασι ξυμβατικὸν, φάσκων κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν διαφθεῖραι. Ἅμα γὰρ καὶ ἐκ τῆς Πελοποννήσου ἐτύγχανον, Εὐβοέων ἐπικαλουμένων, κατὰ τὸν αὐτὸν χρόνον τοῦτον δύο καὶ τεσσαράκοντα νῆες, ὧν ἦσαν καὶ ἐκ Τάραντος καὶ Λοκρῶν Ἰταλιώτιδες καὶ Σικελικαί τινες, ὁρμοῦσαι ἤδη ἐπὶ Λᾷ τῆς Λακωνικῆς καὶ παρασκευαζόμεναι τὸν ἐς τὴν Εὔβοιαν πλοῦν (ἦρχε δὲ αὐτῶν Ἀγησανδρίδας Ἀγησάνδρου Σπαρτιάτης)· ἃς ἔφη Θηραμένης οὐκ Εὐβοίᾳ μᾶλλον ἢ τοῖς τειχίζουσι τὴν Ἠετιώνειαν προσπλεῖν, καὶ, εἰ μή τις ἤδη φυλάξεται, λήσειν διαφθαρέντας. Ἦν δέ τι καὶ τοιοῦτον ἀπὸ τῶν τὴν κατηγορίαν ἐχόντων, καὶ οὐ πάνυ διαβολὴ μόνον τοῦ λόγου. Ἐκεῖνοι γὰρ μάλιστα μὲν ἐβούλοντο ὀλιγαρχούμενοι ἄρχειν καὶ τῶν ξυμμάχων, εἰ δὲ μὴ, τάς τε ναῦς καὶ τὰ τείχη ἔχοντες αὐτονομεῖσθαι, ἐξειργόμενοι δὲ καὶ τούτου μὴ οὖν ὑπὸ τοῦ δήμου γε αὖθις γενομένου αὐτοὶ πρὸ τῶν ἄλλων μάλιστα διαφθαρῆναι, ἀλλὰ καὶ τοὺς πολεμίους ἐσαγαγόμενοι ἄνευ τειχῶν καὶ νεῶν ξυμβῆναι καὶ ὁπωσοῦν τὰ τῆς πόλεως ἔχειν, εἰ τοῖς γε σώμασι σφῶν ἄδεια ἔσται.

Ϟβ'. Διόπερ καὶ τὸ τεῖχος τοῦτο, καὶ πυλίδας ἔχον καὶ ἐσόδους καὶ ἐπεσαγωγὰς τῶν πολεμίων, ἐτείχιζόν τε προθύ-

91. Déjà depuis longtemps Théramènes blâmait hautement ces mesures, et quand les députés furent revenus de Lacédémone sans avoir conclu aucun accommodement, il dit qu'il était à craindre que ce mur ne causât la ruine de la ville. En effet, dans ce même temps, quarante-deux vaisseaux stationnaient dans les parages de Las en Lacônie, et, sur l'invitation des habitants de l'Eubœe, se préparaient à passer du Péloponnèse en Eubœe; parmi ces vaisseaux quelques-uns étaient Italiôtes et Siciliens, fournis par Tarente et par Locres. Hégésandridas de Sparte, fils d'Hégésandros, commandait cette expédition, destinée bien moins pour l'Eubœe, disait Théramènes, que pour seconder ceux qui fortifiaient Éétiônée, en sorte que, si l'on ne se tenait pas dès lors sur ses gardes, Athènes serait inopinément détruite. Il se tramait en effet quelque chose de semblable de la part de ceux qu'on accusait, et ce n'était pas une pure calomnie; car les Quatre-cents avaient surtout pour but, en conservant l'oligarchie, de dominer aussi les alliés; sinon, maîtres de la flotte et des forts, de se gouverner par eux-mêmes; enfin, s'ils échouaient encore dans ce projet, de n'être pas du moins égorgés les premiers par le parti populaire rétabli dans ses droits, mais, en introduisant alors les ennemis, à qui ils livreraient les forts et la flotte, de s'accorder avec eux pour conserver, telle quelle, l'autorité sur le pays, du moment où il y aurait sécurité pour leurs personnes.

92. Aussi se pressaient-ils de construire ce mur, en y ménageant des petites portes, des entrées et des issues pour introduire les ennemis, et voulaient qu'il fût achevé avant les événements. D'abord ce n'était qu'avec

μως καὶ φθῆναι ἐβούλοντο ἐξεργασάμενοι. Πρότερον μὲν οὖν κατ' ὀλίγους τε καὶ κρύφα μᾶλλον τὰ λεγόμενα ἦν· ἐπειδὴ δὲ ὁ Φρύνιχος ἥκων ἐκ τῆς ἐς Λακεδαίμονα πρεσβείας, πληγεὶς ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς ἐξ ἐπιβουλῆς ἐν τῇ ἀγορᾷ πληθούσῃ καὶ οὐ πολὺ ἀπὸ τοῦ βουλευτηρίου ἀπελθὼν ἀπέθανε παραχρῆμα, καὶ ὁ μὲν πατάξας διέφυγεν, ὁ δὲ ξυνεργὸς, Ἀργεῖος ἄνθρωπος, ληφθεὶς καὶ βασανιζόμενος ὑπὸ τῶν τετρακοσίων, οὐδενὸς ὄνομα τοῦ κελεύσαντος εἶπεν, οὐδὲ ἄλλο τι ἢ ὅτι εἰδείη πολλοὺς ἀνθρώπους καὶ ἐς τοῦ περιπολάρχου καὶ ἄλλοσε κατ' οἰκίας ξυνιόντας· τότε δὴ, οὐδενὸς γεγενημένου ἀπ' αὐτοῦ νεωτέρου, καὶ ὁ Θηραμένης ἤδη θρασύτερον καὶ Ἀριστοκράτης καὶ ὅσοι ἄλλοι τῶν τετρακοσίων αὐτῶν καὶ τῶν ἔξωθεν ἦσαν ὁμογνώμονες, ᾖσαν ἐπὶ τὰ πράγματα.

Ἅμα γὰρ καὶ ἀπὸ τῆς Λᾶς αἱ νῆες ἤδη περιπεπλευκυῖαι καὶ ὁρμισάμεναι ἐς τὴν Ἐπίδαυρον τὴν Αἴγιναν κατεδεδραμήκεσαν· καὶ οὐκ ἔφη ὁ Θηραμένης εἰκὸς εἶναι ἐπ' Εὔβοιαν πλεούσας αὐτὰς ἐς Αἴγιναν κατακολπίσαι καὶ πάλιν ἐν Ἐπιδαύρῳ ὁρμεῖν, εἰ μὴ παρακληθεῖσαι ἥκοιεν ἐφ' οἷσπερ καὶ αὐτὸς ἀεὶ κατηγόρει· οὐκέτι οὖν οἷόν τε εἶναι ἡσυχάζειν. Τέλος δὲ, πολλῶν καὶ στασιωτικῶν λόγων καὶ ὑποψιῶν προσγενομένων, καὶ ἔργῳ ἤδη ἥπτοντο τῶν πραγμάτων· οἱ γὰρ ἐν τῷ Πειραιεῖ τὸ τῆς Ἠετιωνείας τεῖχος ὁπλῖται οἰκοδομοῦντες, ἐν οἷς καὶ Ἀριστοκράτης ἦν ταξιαρχῶν καὶ

un petit nombre d'entre eux et très-secrètement qu'ils s'en entretenaient ; mais quand Phrynichos, au retour de sa députation à Lacédémone, frappé, dans un guet-apens, par un des péripoles au milieu de la foule sur la place publique, eut expiré soudain non loin du Conseil ; quand, après l'évasion de l'assassin, un certain Argéen, son complice, arrêté et mis à la torture par ordre des Quatre-cents, sans désigner personne, eut dit ne savoir rien, si ce n'est que bien des gens s'assemblaient chez le péripolarque et dans d'autres maisons, voyant alors qu'il n'en résultait rien de fâcheux pour eux, Théramènes, Aristocratès et ceux qui, soit parmi les Quatre-cents, soit en dehors, étaient leurs adhérents, marchèrent à leur but.

Sur ces entrefaites, la flotte sortie du port de Las, ayant longé la côte jusqu'à Épidaure, où elle stationna, fit une course contre Égine. A ce sujet, Théramènes dit qu'il n'était pas naturel que cette flotte, destinée pour l'Eubœe, entrât dans le golfe d'Égine pour revenir de là stationner à Épidaure, à moins d'être mandée tout exprès pour ce dont il ne cessait d'accuser les Quatre-cents, et qu'en conséquence, le moment d'agir était venu. Enfin, après maints discours séditieux et des soupçons croissants, on en vint aux actions. Les hoplites qui, dans le Pirée, bâtissaient le mur d'Éétiônée (parmi eux était Aristocratès, qui, comme taxiarque, avait avec lui sa troupe), s'emparèrent d'Alexiclès, un des généraux du parti oligarchique et très-attaché à

τὴν ἑαυτοῦ φυλὴν ἔχων, ξυλλαμβάνουσιν Ἀλεξικλέα, στρατηγὸν ὄντα ἐκ τῆς ὀλιγαρχίας καὶ μάλιστα πρὸς τοὺς ἑταίρους τετραμμένον, καὶ ἐς οἰκίαν ἀγαγόντες εἶρξαν. Ξυνεπελάβοντο δὲ αὐτοῖς ἅμα καὶ ἄλλοι καὶ Ἕρμων τις τῶν περιπόλων τῶν Μουνυχίασι τεταγμένων ἄρχων· τὸ δὲ μέγιστον, τῶν ὁπλιτῶν τὸ στῖφος ταὐτὰ ἐβούλετο.

Ὡς δὲ ἐσηγγέλθη τοῖς τετρακοσίοις (ἔτυχον δὲ ἐν τῷ βουλευτηρίῳ ξυγκαθήμενοι), εὐθὺς, πλὴν ὅσοις μὴ βουλομένοις ταῦτα ἦν, ἑτοῖμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι, καὶ τῷ Θηραμένει καὶ τοῖς μετ' αὐτοῦ ἠπείλουν. Ὁ δὲ ἀπολογούμενος ἑτοῖμος ἔφη εἶναι ξυναφαιρησόμενος ἰέναι ἤδη. Καὶ παραλαβὼν ἕνα τῶν στρατηγῶν ὃς ἦν αὐτῷ ὁμογνώμων, ἐχώρει ἐς τὸν Πειραιᾶ· ἐβοήθει δὲ καὶ Ἀρίσταρχος καὶ τῶν ἱππέων νεανίσκοι.

Ἦν δὲ θόρυβος πολὺς καὶ ἐκπληκτικός· οἵ τε γὰρ ἐν τῷ ἄστει ἤδη ᾤοντο τόν τε Πειραιᾶ κατειλῆφθαι καὶ τὸν ξυνειλημμένον τεθνάναι, οἵ τε ἐν τῷ Πειραιεῖ τοὺς ἐκ τοῦ ἄστεος ὅσον οὔπω ἐπὶ σφᾶς παρεῖναι. Μόλις δὲ, τῶν τε πρεσβυτέρων διακωλυόντων τοὺς ἐν τῷ ἄστει διαθέοντας καὶ ἐπὶ τὰ ὅπλα φερομένους, καὶ Θουκυδίδου τοῦ Φαρσαλίου τοῦ προξένου τῆς πόλεως παρόντος καὶ προθύμως ἐμποδών τε ἑκάστοις γιγνομένου καὶ ἐπιβοωμένου μὴ, ἐφεδρευόντων ἔτι τῶν πολεμίων, ἀπολέσαι τὴν πατρίδα, ἡσύχασάν τε καὶ σφῶν αὐτῶν ἀπέσχοντο.

sa faction, l'amenèrent dans une maison et l'y tinrent aux arrêts. Ils furent secondés, entre autres, par Hermôn, commandant des péripoles stationnés à Munychie, mais plus encore par l'assentiment de la troupe des hoplites.

Dès que les Quatre-cents, qui siégeaient alors au Conseil, en furent instruits, ils s'apprêtèrent à prendre les armes, excepté ceux du parti opposé, et proférèrent des menaces contre Théramènes et ses adhérents. Théramènes, pour se disculper, dit qu'il était prêt à aller à l'instant avec eux délivrer le prisonnier; et, accompagné d'un des généraux qui pensaient comme lui, il s'avança vers le Pirée; de son côté Aristarchos y accourut, ainsi que quelques jeunes gens de l'ordre des chevaliers.

Le tumulte était grand et répandait l'effroi; car ceux de la ville croyaient déjà le Pirée pris et le prisonnier égorgé, tandis que les habitants du Pirée croyaient que d'Athènes bientôt on allait fondre sur eux. Ce ne fut qu'à grand'peine, par l'intervention des vieillards s'opposant à ceux qui couraient dans la ville et allaient prendre les armes, et par la présence de Thucydides de Pharsale, proxène d'Athènes, qui s'opposa courageusement à chacun d'eux, leur criant de ne pas, en présence de l'ennemi, perdre la patrie, que le calme se rétablit et qu'on s'abstint de s'entr'égorger.

Καὶ ὁ μὲν Θηραμένης, ἐλθὼν ἐς τὸν Πειραιᾶ (ἦν δὲ καὶ αὐτὸς στρατηγὸς), ὅσον καὶ ἀπὸ βοῆς ἕνεκα, ὠργίζετο τοῖς ὁπλίταις· ὁ δὲ Ἀρίσταρχος καὶ οἱ ἐναντίοι τῷ ἀληθεῖ ἐχαλέπαινον. Οἱ δὲ ὁπλῖται ὁμόσε τε ἐχώρουν οἱ πλεῖστοι τῷ ἔργῳ καὶ οὐ μετεμέλοντο, καὶ τὸν Θηραμένην ἠρώτων εἰ δοκεῖ αὐτῷ ἐπ' ἀγαθῷ τὸ τεῖχος οἰκοδομεῖσθαι, καὶ εἰ ἄμεινον εἶναι καθαιρεθέν. Ὁ δὲ, εἴπερ καὶ ἐκείνοις δοκεῖ καθαιρεῖν, καὶ ἑαυτῷ ἔφη ξυνδοκεῖν. Καὶ ἐντεῦθεν εὐθὺς ἀναβάντες οἵ τε ὁπλῖται καὶ πολλοὶ τῶν ἐκ τοῦ Πειραιῶς ἀνθρώπων κατέσκαπτον τὸ τείχισμα. Ἦν δὲ πρὸς τὸν ὄχλον ἡ παράκλησις ὡς χρὴ, ὅστις τοὺς πεντακισχιλίους βούλεται ἄρχειν ἀντὶ τῶν τετρακοσίων, ἰέναι ἐπὶ τὸ ἔργον. Ἐπεκρύπτοντο γὰρ ὅμως ἔτι τῶν πεντακισχιλίων τῷ ὀνόματι, μὴ ἄντικρυς δῆμον ὅστις βούλεται ἄρχειν ὀνομάζειν, φοβούμενοι μὴ τῷ ὄντι ὦσι καὶ πρός τινα εἰπών τίς τι ἀγνοίᾳ σφαλῇ. Καὶ οἱ τετρακόσιοι διὰ τοῦτο οὐκ ἤθελον τοὺς πεντακισχιλίους οὔτε εἶναι οὔτε μὴ ὄντας δήλους εἶναι, τὸ μὲν καταστῆσαι μετόχους τοσούτους ἄντικρυς [ἂν] δῆμον ἡγούμενοι, τὸ δ' αὖ ἀφανὲς φόβον ἐς ἀλλήλους παρέξειν.

ϟγ'. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τετρακόσιοι ἐς τὸ βουλευτήριον ὅμως καὶ τεθορυβημένοι ξυνελέγοντο· οἱ δ' ἐν τῷ Πειραιεῖ ὁπλῖται τόν τε Ἀλεξικλέα, ὃν ξυνέλαβον, ἀφέντες καὶ τὸ τείχισμα καθελόντες, ἐς τὸ πρὸς τῇ Μουνυχίᾳ Διονυσιακὸν θέατρον ἐλθόντες καὶ θέμενοι τὰ ὅπλα ἐξεκλησίασαν,

Théramènes, à son arrivée au Pirée (car il était lui-même un des généraux), réprimanda les hoplites; mais c'était seulement pour faire du bruit en paroles, tandis qu'Aristarchos et ceux du parti opposé étaient véritablement exaspérés. Cependant les hoplites n'en continuèrent pas moins pour la plupart leur œuvre, sans plus de réflexion; ils demandèrent pourtant à Théramènes s'il croyait utile d'élever le mur, et s'il ne valait pas mieux le démolir. Celui-ci leur répondit que, si eux-mêmes jugeaient à propos de l'abattre, quant à lui, il partageait aussi leur avis. Dès lors les hoplites et une foule de gens du Pirée, montant sur la muraille, se mirent à l'œuvre pour la démolir, encouragés par cet appel fait à la multitude : « Quiconque préfère le gouvernement des Cinq-mille à celui des Quatre-cents, doit se mettre à l'ouvrage; » car on se cachait encore sous le nom des Cinq-mille, pour ne pas prononcer ouvertement celui du peuple, en disant : « Quiconque veut le gouvernement du peuple. » On craignait que les Cinq-mille ne fussent déjà nommés et que ceux auxquels on s'adressait n'en fissent réellement partie, en sorte qu'on se trouvât compromis par cette ignorance. Pour la même raison, les Quatre-cents aussi ne voulaient pas que le corps des Cinq-mille existât, ni laisser voir qu'il n'existait pas; ils croyaient, d'une part, qu'une autorité partagée entre un si grand nombre serait une véritable démocratie, et, de l'autre, que le doute sur son existence produirait une crainte réciproque.

93. Le lendemain, les Quatre-cents, tout troublés qu'ils étaient, s'assemblèrent au Conseil, tandis que les hoplites du Pirée, après avoir relâché Alexiclès,

καὶ δόξαν αὐτοῖς εὐθὺς ἐχώρουν ἐς τὸ ἄστυ καὶ ἔθεντο ἐν τῷ Ἀνακείῳ τὰ ὅπλα. Ἐλθόντες δὲ ἀπὸ τῶν τετρακοσίων τινὲς ᾑρημένοι πρὸς αὐτοὺς ἀνὴρ ἀνδρὶ διελέγοντό τε, καὶ ἔπειθον οὓς ἴδοιεν ἀνθρώπους ἐπιεικεῖς αὐτούς τε ἡσυχάζειν καὶ τοὺς ἄλλους παρακατέχειν, λέγοντες τούς τε πεντακισχιλίους ἀποφανεῖν, καὶ ἐκ τούτων ἐν μέρει, ᾗ ἂν τοῖς πεντακισχιλίοις δοκῇ, τοὺς τετρακοσίους ἔσεσθαι, τέως δὲ τὴν πόλιν μηδενὶ τρόπῳ διαφθείρειν μηδ' ἐς τοὺς πολεμίους ἀνῶσαι. Τὸ δὲ πᾶν πλῆθος τῶν ὁπλιτῶν, ἀπὸ πολλῶν καὶ πρὸς πολλοὺς λόγων γιγνομένων, ἠπιώτερον ἦν ἢ πρότερον, καὶ ἐφοβεῖτο μάλιστα περὶ τοῦ παντὸς πολιτικοῦ· ξυνεχώρησάν τε ὥστ' ἐς ἡμέραν ῥητὴν ἐκκλησίαν ποιῆσαι ἐν τῷ Διονυσίῳ περὶ ὁμονοίας.

ϞΔ'. Ἐπειδὴ δὲ ἐπῆλθεν [ἡ ἐν Διονύσου ἐκκλησία] καὶ ὅσον οὐ ξυνειλεγμένοι ἦσαν, ἀγγέλλονται αἱ δύο καὶ τεσσαράκοντα νῆες καὶ ὁ Ἀγησανδρίδας ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα παραπλεῖν· καὶ πᾶς τις τῶν πολλῶν αὐτὸ τοῦτο ἐνόμιζεν εἶναι τὸ πάλαι λεγόμενον ὑπὸ Θηραμένους καὶ τῶν μετ' αὐτοῦ, ὡς ἐς τὸ τείχισμα ἔπλεον αἱ νῆες, καὶ χρησίμως ἐδόκει καταπεπτωκέναι. Ὁ δὲ Ἀγησανδρίδας τάχα μέν τι καὶ ἀπὸ ξυγκειμένου λόγου περί τε τὴν Ἐπίδαυρον καὶ ταύτῃ ἀνεστρέφετο, εἰκὸς δ' αὐτὸν καὶ πρὸς τὸν παρόντα στασιασμὸν τῶν Ἀθηναίων, δι' ἐλπίδος ὡς κἂν ἐς δέον παραγένοιτο, ταύτῃ ἀνέχειν. Οἱ δ' οὖν Ἀθηναῖοι, ὡς ἠγγέλθη

leur prisonnier, et démoli le mur, se rendirent au théâtre de Bacchus, près de Munychie, y firent halte, se formèrent en assemblée, et, d'un commun avis, se portèrent aussitôt vers la ville, et firent une nouvelle halte dans l'Anacéion. Il y vint aussi quelques personnes choisies par les Quatre-cents, qui s'entretenaient d'homme à homme, et engageaient ceux qu'elles voyaient modérés à rester tranquilles et contenir les autres; elles disaient que la liste des Cinq-mille allait être proclamée, et que parmi les Cinq-mille les Quatre-cents seraient choisis en partie comme on en déciderait, qu'en attendant, on ne devait d'aucune manière ruiner Athènes, ni la livrer aux ennemis. La foule des hoplites, après bien des discours adressés à bien des personnes, devint plus traitable qu'auparavant, et conçut de grandes craintes pour le bien général de l'état. Il fut donc convenu qu'on aurait, à jour fixe, une assemblée au temple de Bacchus pour rétablir la concorde.

94. Quand vint le jour de l'assemblée au temple de Bacchus, à l'instant même où l'on allait se réunir, on annonça qu'Hégésandridas et les quarante-deux vaisseaux Péloponnésiens, venant de Mégara, côtoyaient Salamine. Chacun alors des hoplites crut voir accompli ce que disaient depuis longtemps Théramènes et ses adhérents, que cette flotte s'avançait pour s'emparer du nouveau fort, et l'on s'applaudissait de l'avoir démoli. Il se pouvait bien que ce fût par quelque intelligence qu'Hégésandridas croisait çà et là devant Épidaure; mais il est probable qu'attendu les divisions qui existaient alors parmi les Athéniens, en s'arrêtant dans ces parages, il espérait qu'il arriverait peut-être à point.

αὐτοῖς, εὐθὺς δρόμῳ ἐς τὸν Πειραιᾶ πανδημεὶ ἐχώρουν, ὡς τοῦ ἰδίου πολέμου μείζονος [ἢ] ἀπὸ τῶν πολεμίων οὐχ ἑκὰς ἀλλὰ πρὸς τῷ λιμένι ὄντος. Καὶ οἱ μὲν ἐς τὰς παρούσας ναῦς ἐσέβαινον, οἱ δὲ ἄλλας καθεῖλκον, οἱ δέ τινες ἐπὶ τὰ τείχη καὶ τὸ στόμα τοῦ λιμένος παρεβοήθουν.

Ϟε΄. Αἱ δὲ τῶν Πελοποννησίων νῆες, παραπλεύσασαι καὶ περιβαλοῦσαι Σούνιον, ὁρμίζονται μεταξὺ Θορικοῦ καὶ Πρασιῶν, ὕστερον δὲ ἀφικνοῦνται ἐς Ὠρωπόν. Ἀθηναῖοι δὲ κατὰ τάχος καὶ ἀξυγκροτήτοις πληρώμασιν ἀναγκασθέντες χρήσασθαι, οἷα πόλεώς τε στασιαζούσης καὶ περὶ τοῦ μεγίστου ἐν τάχει βουλόμενοι βοηθῆσαι (Εὔβοια γὰρ αὐτοῖς, ἀποκεκλῃμένης τῆς Ἀττικῆς, πάντα ἦν), πέμπουσι Θυμοχάρην στρατηγὸν καὶ ναῦς ἐς Ἐρέτριαν· ὧν ἀφικομένων, ξὺν ταῖς πρότερον ἐν Εὐβοίᾳ οὔσαις ἓξ καὶ τριάκοντα ἐγένοντο. Καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο· ὁ γὰρ Ἀγησανδρίδας ἀριστοποιησάμενος ἐκ τοῦ Ὠρωποῦ ἀνῆγε τὰς ναῦς, ἀπέχει δὲ μάλιστα ὁ Ὠρωπὸς τῆς τῶν Ἐρετριέων πόλεως θαλάσσης μέτρον ἑξήκοντα σταδίους. Ὡς οὖν ἐπέπλει, εὐθὺς ἐπλήρουν καὶ οἱ Ἀθηναῖοι τὰς ναῦς, οἰόμενοι σφίσι παρὰ ταῖς ναυσὶ τοὺς στρατιώτας εἶναι· οἱ δ᾽ ἔτυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι (οὐδὲν γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν Ἐρετριέων), ἀλλ᾽ ἐκ τῶν ἐπ᾽ ἔσχατα τοῦ ἄστεος οἰκιῶν, ὅπως, σχολῇ πληρουμένων, φθάσειαν οἱ πολέμιοι προσπεσόντες καὶ ἐξαναγκάσειαν τοὺς Ἀθηναίους οὕτως ὅπως τύχοιεν

De leur côté, les Athéniens, à cette nouvelle, accoururent aussitôt en foule vers le Pirée, car ils voyaient, non plus au loin, mais près du port même, une guerre étrangère, plus grande que leur guerre intestine. Les uns montèrent sur les vaisseaux qu'ils trouvèrent à leur portée, les autres en mettaient à flot; quelques-uns accoururent pour défendre les murailles et l'entrée du port.

95. La flotte Péloponnésienne, après avoir longé la côte et doublé Sunion, croisa entre Thoricos et Prasiæ; elle vogua ensuite vers Orôpos. Les Athéniens, forcés d'employer à la hâte des équipages mal organisés, tels qu'en pouvait fournir une ville livrée aux dissensions, et voulant, le plus tôt possible, envoyer des secours à la plus importante de leurs possessions (en effet, l'Attique envahie, l'Eubœe était tout pour eux), dirigèrent sur Érétrie une flotte commandée par Thymocharès. Quand elle y fut arrivée, on y adjoignit les vaisseaux qui se trouvaient déjà près de l'Eubœe, ce qui la porta à trente-six voiles, et aussitôt elle fut contrainte de livrer un combat naval; car Hégésandridas, après avoir pris le repas du matin, avait fait partir sa flotte d'Orôpos, qui n'est éloigné de la ville d'Érétrie que par un bras de mer de soixante stades. Dès que les vaisseaux parurent, les Athéniens voulaient embarquer les équipages, croyant les soldats près de leurs navires; mais ceux-ci étaient allés chercher des vivres pour le dîner dans des maisons particulières, aux extrémités de la ville, et non pas au marché, où les Érétriens avaient eu soin qu'il n'y en eût point, afin de laisser le temps à l'ennemi de tomber sur les Athéniens, dont l'embarquement éprouvait des lenteurs, et les forcer à mettre en

ἀνάγεσθαι. Σημεῖον δ' αὐτοῖς ἐς τὸν Ὠρωπὸν ἐκ τῆς Ἐρετρίας, ὁπότε χρὴ ἀνάγεσθαι, ἤρθη. Διὰ τοιαύτης δὴ παρασκευῆς οἱ Ἀθηναῖοι ἀναγαγόμενοι, καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν Ἐρετριέων, ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον, ἔπειτα ἐς φυγὴν τραπόμενοι καταδιώκονται ἐς τὴν γῆν. Καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν Ἐρετριέων ὡς φιλίαν καταφεύγουσι, χαλεπώτατα ἔπραξαν φονευόμενοι ὑπ' αὐτῶν· οἳ δὲ ἐς τὸ τείχισμα τὸ ἐν τῇ Ἐρετριαίᾳ, ὃ εἶχον αὐτοὶ, περιγίγνονται, καὶ ὅσαι ἐς Χαλκίδα ἀφικνοῦνται τῶν νεῶν. Λαβόντες δ' οἱ Πελοποννήσιοι δύο καὶ εἴκοσι ναῦς τῶν Ἀθηναίων, καὶ ἄνδρας τοὺς μὲν ἀποκτείναντες τοὺς δὲ ζωγρήσαντες, τροπαῖον ἔστησαν. Καὶ ὕστερον οὐ πολλῷ Εὔβοιαν ἅπασαν ἀποστήσαντες πλὴν Ὠρεοῦ (ταύτην δὲ αὐτοὶ Ἀθηναῖοι εἶχον) καὶ τἄλλα τὰ περὶ αὐτὴν καθίσταντο.

ϟϛ'. Τοῖς δ' Ἀθηναίοις ὡς ἦλθε τὰ περὶ τὴν Εὔβοιαν γεγενημένα, ἔκπληξις μεγίστη δὴ τῶν πρὶν παρέστη. Οὔτε γὰρ ἡ ἐν τῇ Σικελίᾳ ξυμφορὰ, καίπερ μεγάλη τότε δόξασα εἶναι, οὔτε ἄλλο οὐδέν πω οὕτως ἐφόβησεν. Ὅπου γὰρ στρατοπέδου τε τοῦ ἐν Σάμῳ ἀφεστηκότος, ἄλλων τε νεῶν οὐκ οὐσῶν οὐδὲ τῶν ἐσβησομένων, αὐτῶν τε στασιαζόντων, καὶ ἄδηλον ὂν ὁπότε σφίσιν αὐτοῖς ξυῤῥάξουσι, τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο, ἐν ᾗ ναῦς τε καὶ, τὸ μέγιστον, Εὔβοιαν ἀπολωλέκεσαν, ἐξ ἧς πλείω ἢ τῆς Ἀττικῆς ὠφελοῦντο, πῶς οὐκ εἰκότως ἠθύμουν; μάλιστα δ' αὐτοὺς καὶ δι' ἐγγυτάτου

mer dans l'état où ils se trouveraient alors. Le signal du moment opportun pour partir avait été transmis aux Péloponnésiens d'Érétrie à Orôpos. Ce fut donc dans ce fâcheux appareil que les Athéniens mirent en mer, et livrèrent un combat au-dessus du port d'Érétrie : ils résistèrent pourtant quelque temps ; puis ayant pris la fuite, ils furent poursuivis à la côte. Ceux qui se réfugièrent dans Érétrie, comme dans une ville amie, éprouvèrent le sort le plus affreux : ils y furent égorgés par les habitants ; ceux qui gagnèrent le fort élevé sur le territoire d'Érétrie, et occupé par les Athéniens eux-mêmes, furent sauvés, ainsi que les vaisseaux qui gagnèrent Chalcis. Les Péloponnésiens prirent vingt-deux vaisseaux d'Athènes, tuèrent une partie des hommes, firent prisonniers le reste, et dressèrent un trophée. Peu de temps après, ils soulevèrent contre Athènes l'Eubœe entière, à l'exception d'Oréos, que les Athéniens occupaient eux-mêmes, et ils administrèrent cette île à leur gré.

96. Dès que la nouvelle des événements survenus en Eubœe parvint à Athènes, l'épouvante y fut plus grande que jamais ; car ni le désastre des Athéniens en Sicile, quelque immense qu'il eût semblé alors, ni aucun autre malheur n'avait encore causé tant d'effroi. Au moment où l'armée de Samos était en rébellion, où il n'y avait plus ni vaisseaux ni matelots, où eux-mêmes, livrés aux factions, ignoraient l'instant où ils en viendraient aux mains entre eux, et quand, de plus, une aussi grande catastrophe leur faisait perdre leur flotte et, pour comble de malheur, l'Eubœe, qui mieux que l'Attique leur était profitable, comment n'eussent-ils pas été découragés ? Mais, de tous les périls, ce qui les touchait le

ἐθορύβει, εἰ οἱ πολέμιοι τολμήσουσι νενικηκότες εὐθὺς σφῶν ἐπὶ τὸν Πειραιᾶ ἐρῆμον ὄντα νεῶν πλεῖν· καὶ ὅσον οὐκ ἤδη ἐνόμιζον αὐτοὺς παρεῖναι. Ὅπερ ἄν, εἰ τολμηρότεροι ἦσαν, ῥᾳδίως ἂν ἐποίησαν, καὶ ἢ διέστησαν ἂν ἔτι μᾶλλον τὴν πόλιν ἐφορμοῦντες, ἢ, εἰ ἐπολιόρκουν μένοντες, καὶ τὰς ἀπ' Ἰωνίας ναῦς ἠνάγκασαν ἂν καίπερ πολεμίας οὔσας τῇ ὀλιγαρχίᾳ τοῖς σφετέροις οἰκείοις καὶ τῇ ξυμπάσῃ πόλει βοηθῆσαι· καὶ ἐν τούτῳ Ἑλλήσποντός τε ἂν ἦν αὐτοῖς καὶ Ἰωνία καὶ αἱ νῆσοι καὶ τὰ μέχρι Εὐβοίας καὶ ὡς εἰπεῖν ἡ Ἀθηναίων ἀρχὴ πᾶσα. Ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ Λακεδαιμόνιοι Ἀθηναίοις πάντων δὴ ξυμφορώτατοι προσπολεμῆσαι ἐγένοντο, ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς· διάφοροι γὰρ πλεῖστον ὄντες τὸν τρόπον, οἱ μὲν ὀξεῖς, οἱ δὲ βραδεῖς, καὶ οἱ μὲν ἐπιχειρηταὶ, οἱ δὲ ἄτολμοι, ἄλλως τε καὶ ἐν ἀρχῇ ναυτικῇ πλεῖστα ὠφέλουν. Ἔδειξαν δὲ οἱ Συρακούσιοι· μάλιστα γὰρ ὁμοιότροποι γενόμενοι ἄριστα καὶ προσεπολέμησαν.

4ζ'. Ἐπὶ δ' οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν καὶ ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν εὐθὺς τότε πρῶτον ἐς τὴν Πύκνα καλουμένην, οἷπερ καὶ ἄλλοτε εἰώθεσαν, ἐν ᾗπερ καὶ τοὺς τετρακοσίους καταπαύσαντες, τοῖς πεντακισχιλίοις ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι· εἶναι δὲ αὐτῶν ὁπόσοι καὶ ὅπλα παρέχονται· καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾶς ἀρχῆς· εἰ δὲ μή, ἐπάρατον ἐποιήσαντο. Ἐγίγνοντο δὲ καὶ ἄλλαι ὕστερον πυκναὶ ἐκκλη-

plus et de plus près, c'était la crainte de voir aussitôt les ennemis vainqueurs oser cingler vers le Pirée, dénué de vaisseaux; à chaque instant on s'attendait à leur présence. Plus audacieux, rien ne leur était plus facile : par là ils auraient augmenté la dissension dans la ville, en stationnant devant elle; ou, s'ils eussent persisté à l'assiéger, ils auraient obligé la flotte même de l'Iônie, quoique opposée à l'oligarchie, à venir au secours de ses parents et de la ville entière, et dès lors l'Hellespont serait tombé en leur pouvoir, ainsi que l'Iônie, et les îles; et tout le pays jusqu'à l'Eubœe, enfin, on peut le dire, l'empire entier des Athéniens. Mais ce n'est pas seulement en cette occasion, c'est en beaucoup d'autres, que les Lacédémoniens furent de tous les peuples les adversaires les moins nuisibles aux Athéniens. L'extrême opposition entre le caractère de ces deux peuples, ceux-ci vifs, les autres lents, les uns entreprenants, les autres impassibles, rendait surtout avantageux à une puissance maritime d'avoir affaire aux Lacédémoniens. Les Syracusains l'ont bien fait voir : plus leur caractère les fit semblables aux Athéniens et plus ils leur furent des ennemis redoutables.

97. Cependant, à la nouvelle de cette défaite, les Athéniens équipèrent vingt navires, et s'assemblèrent tout aussitôt dans l'endroit nommé la Pnyx, où jadis ils avaient coutume de se réunir. Là, ils déposèrent les Quatre-cents, et décrétèrent que le pouvoir serait remis aux Cinq-mille, dont ferait partie quiconque fournirait son armure, et que personne ne recevrait de salaire pour aucune fonction, sous peine d'être livré aux malédictions. Il y eut dans la suite d'autres assemblées

σίαι, ἀφ' ὧν καὶ νομοθέτας καὶ τἆλλα ἐψηφίσαντο ἐς τὴν πολιτείαν. Καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶτον χρόνον ἐπί γ' ἐμοῦ Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες· μετρία γὰρ ἥ τε ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρασις ἐγένετο, καὶ ἐκ πονηρῶν τῶν πραγμάτων γενομένων τοῦτο πρῶτον ἀνήνεγκε τὴν πόλιν. Ἐψηφίσαντο δὲ καὶ Ἀλκιβιάδην καὶ ἄλλους μετ' αὐτοῦ κατιέναι, καὶ παρά τε ἐκεῖνον καὶ παρὰ τὸ ἐν Σάμῳ στρατόπεδον πέμψαντες, διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων.

ϟη΄. Ἐν δὲ τῇ μεταβολῇ ταύτῃ εὐθὺς οἱ μὲν περὶ τὸν Πείσανδρον καὶ Ἀλεξικλέα, καὶ ὅσοι ἦσαν τῆς ὀλιγαρχίας μάλιστα, ὑπεξέρχονται ἐς τὴν Δεκέλειαν· Ἀρίσταρχος δ' αὐτῶν μόνος (ἔτυχε γὰρ καὶ στρατηγῶν), λαβὼν κατὰ τάχος τοξότας τινὰς τοὺς βαρβαρωτάτους, ἐχώρει πρὸς τὴν Οἰνόην. Ἦν δὲ Ἀθηναίων ἐν μεθορίοις τῆς Βοιωτίας τεῖχος, ἐπολιόρκουν δ' αὐτὸ διὰ ξυμφορὰν σφίσιν ἐκ τῆς Οἰνόης γενομένην ἀνδρῶν ἐκ Δεκελείας ἀναχωρούντων διαφθορᾶς οἱ Κορίνθιοι ἐθελοντηδὸν προσπαρακαλέσαντες τοὺς Βοιωτούς. Κοινολογησάμενος οὖν αὐτοῖς ὁ Ἀρίσταρχος, ἀπατᾷ τοὺς ἐν τῇ Οἰνόῃ, λέγων ὡς καὶ οἱ ἐν τῇ πόλει τἆλλα ξυμβεβήκασι Λακεδαιμονίοις, κἀκείνους δεῖ Βοιωτοῖς τὸ χωρίον παραδοῦναι· ἐπὶ τούτοις γὰρ ξυμβεβάσθαι. Οἱ δὲ, πιστεύσαντες ὡς ἀνδρὶ στρατηγῷ, καὶ οὐκ εἰδότες οὐδὲν διὰ τὸ πολιορκεῖσθαι, ὑπόσπονδοι ἐξέρχονται. Τούτῳ μὲν τῷ τρόπῳ

fréquentes ; on y nomma, par un décret, des législateurs, et on y régla tout ce qui concernait l'état. C'est surtout au début de leur administration que les Athéniens paraissent s'être bien gouvernés, du moins de mon vivant. On allia avec mesure l'oligarchie à la démocratie ; ce qui d'abord releva la république de l'état fâcheux où elle était tombée. On décréta aussi le rappel d'Alcibiades et celui d'autres exilés, et on lui envoya, ainsi qu'à l'armée de Samos, l'injonction de prendre la direction des affaires.

98. Pendant cette révolution, Pisandros, Alexiclès, et tous les principaux oligarques, s'empressèrent de se réfugier à Décélie. Seul d'entre eux, Aristarchos, qui était en même temps général, prenant à la hâte quelques archers des plus barbares, s'avança vers OEnoé. C'était un fort des Athéniens, sur les confins de la Bœôtie. Les Corinthiens, avec l'aide des Bœôtiens volontaires qu'ils avaient appelés, l'assiégeaient alors, pour se venger de la perte de leurs gens, tués par la garnison d'OEnoé à leur retour de Décélie. Aristarchos, après s'être concerté avec eux, trompa la garnison d'OEnoé, en lui disant qu'on était d'accord à Athènes avec les Lacédémoniens en tout point, et que la garnison devait remettre la place aux Bœôtiens, puisque telle était la condition du traité. La garnison d'OEnoé le crut en sa qualité de général, et comme elle ne savait rien parce qu'elle était assiégée, elle sortit de la place sous la foi publique. Voilà comment les Bœôtiens prirent possession d'OEnoé, qui se rendit

Οἰνόην ληφθεῖσαν Βοιωτοὶ κατέλαβον, καὶ ἡ ἐν ταῖς Ἀθήναις ὀλιγαρχία καὶ στάσις ἐπαύσατο.

ϟθ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ ἐν τῇ Μιλήτῳ Πελοποννήσιοι, ὡς τροφήν τε οὐδεὶς ἐδίδου τῶν ὑπὸ Τισσαφέρνους τότε ὅτε ἐπὶ τὴν Ἄσπενδον παρήει προσταχθέντων, καὶ αἱ Φοίνισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἧκον, ὅ τε Φίλιππος ὁ ξυμπεμφθεὶς αὐτῷ ἐπεστάλκει Μινδάρῳ τῷ ναυάρχῳ, καὶ ἄλλος, Ἱπποκράτης, ἀνὴρ Σπαρτιάτης καὶ ὢν ἐν Φασήλιδι, ὅτι οὔτε αἱ νῆες παρέσοιντο πάντα τε ἀδικοῖντο ὑπὸ Τισσαφέρνους, Φαρνάβαζός τε ἐπεκαλεῖτο αὐτοὺς καὶ ἦν πρόθυμος, κομίσας τὰς ναῦς, καὶ αὐτὸς τὰς λοιπὰς ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆσαι τῶν Ἀθηναίων, ὥσπερ καὶ ὁ Τισσαφέρνης, ἐλπίζων πλέον τι σχήσειν ἀπ' αὐτοῦ· οὕτω δὴ ὁ Μίνδαρος πολλῷ κόσμῳ καὶ ἀπὸ παραγγέλματος αἰφνιδίου, ὅπως λάθοι τοὺς ἐν Σάμῳ, ἄρας ἀπὸ τῆς Μιλήτου ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα, ἔπλει ἐπὶ τὸν Ἑλλήσποντον. Πρότερον δὲ ἐν τῷ αὐτῷ θέρει τῷδε ἑκκαίδεκα ἐς αὐτὸν νῆες ἐσέπλευσαν, αἳ καὶ τῆς Χερσονήσου τι μέρος κατέδραμον. Χειμασθεὶς δὲ ἀνέμῳ καὶ ἀναγκασθεὶς καταίρει ἐς τὴν Ἴκαρον, καὶ μείνας ἐν αὐτῇ ὑπὸ ἀπλοίας πέντε ἢ ἓξ ἡμέρας, ἀφικνεῖται ἐς τὴν Χίον.

ρ'. Ὁ δὲ Θράσυλος ἐκ τῆς Σάμου, ἐπειδὴ ἐπύθετο αὐτὸν ἐκ τῆς Μιλήτου ἀπηρκότα, ἔπλει καὶ αὐτὸς ναυσὶν

à eux, et comment cessèrent l'oligarchie et la sédition d'Athènes.

99. Vers ce même temps de l'été, les Péloponnésiens qui étaient à Milet, voyant qu'aucun de ceux que Tissaphernes, à son départ pour Aspendos, avait chargés de fournir le subside, ne s'en acquittait; que ni la flotte Phénicienne ni Tissaphernes n'étaient encore arrivés; que Philippos, qui avait été envoyé avec Tissaphernes, avait écrit, ainsi qu'un autre Spartiate, Hippocratès, alors à Phasélis, au navarque Mindaros, que la flotte Phénicienne ne viendrait pas, et que les Péloponnésiens étaient en tout trahis par Tissaphernes; de plus, comme Pharnabaze les appelait à son aide et se montrait désireux, dès que leur flotte serait venue, soulever, comme l'avait fait Tissaphernes, les villes qui dans son gouvernement restaient attachées à Athènes, ce qu'il espérait devoir lui être avantageux; d'après tous ces motifs, Mindaros, dans le plus grand ordre, et à un signal subitement donné pour se dérober à la vue des Athéniens de Samos, partit de Milet avec soixante et treize vaisseaux, et vogua vers l'Hellespont. Déjà, dans ce même été, il y était entré seize navires qui dévastèrent une partie de la Chersonnèse. Mindaros, tourmenté par une tempête, fut obligé de relâcher à Icaros; il y fut retenu cinq à six jours par l'impossibilité de mettre en mer, et se rendit à Chios.

100. Thrasylos, dès qu'il eut appris son départ de Milet, quitta lui-même Samos avec cinquante-cinq vaisseaux, et fit diligence pour prévenir l'entrée de Mindaros dans l'Hellespont. L'ayant su arrivé à Chios,

εὐθὺς πέντε καὶ πεντήκοντα, ἐπειγόμενος μὴ φθάσῃ ἐς τὸν Ἑλλήσποντον ἐσπλεύσας. Αἰσθόμενος δὲ ὅτι ἐν τῇ Χίῳ εἴη, καὶ νομίσας αὐτὸν καθέξειν αὐτοῦ, σκοποὺς μὲν κατεστήσατο καὶ ἐν τῇ Λέσβῳ καὶ ἐν τῇ ἀντιπέρας ἠπείρῳ, εἰ ἄρα ποι κινοῖντο αἱ νῆες, ὅπως μὴ λάθοιεν, αὐτὸς δὲ ἐς τὴν Μήθυμναν παραπλεύσας ἄλφιτά τε καὶ τἄλλα ἐπιτήδεια παρασκευάζειν ἐκέλευεν, ὡς, ἢν πλείων χρόνος γίγνηται, ἐκ τῆς Λέσβου τοὺς ἐπίπλους τῇ Χίῳ ποιησόμενος. Ἅμα δὲ (Ἔρεσος γὰρ τῆς Λέσβου ἀφειστήκει) ἐβούλετο ἐπ' αὐτὴν πλεύσας, εἰ δύναιτο, ἐξελεῖν.

Μηθυμναίων γὰρ οὐχ οἱ ἀδυνατώτατοι φυγάδες, διακομίσαντες ἔκ τε τῆς Κύμης προσεταιριστοὺς ὁπλίτας ὡς πεντήκοντα καὶ τῶν ἐκ τῆς ἠπείρου μισθωσάμενοι, ξύμπασιν ὡς τριακοσίοις, Ἀναξάνδρου Θηβαίου κατὰ τὸ ξυγγενὲς ἡγουμένου, προσέβαλον πρῶτον Μηθύμνῃ, καὶ ἀποκρουσθέντες τῆς πείρας διὰ τοὺς ἐκ τῆς Μυτιλήνης Ἀθηναίων φρουροὺς προελθόντας, αὖθις ἔξω μάχῃ ἀπωσθέντες καὶ διὰ τοῦ ὄρους κομισθέντες, ἀφιστᾶσι τὴν Ἔρεσον. Πλεύσας οὖν ὁ Θράσυλος ἐπ' αὐτὴν πάσαις ταῖς ναυσὶ διενοεῖτο προσβολὴν ποιεῖσθαι. Προαφιγμένος δ' αὐτόσε ἦν καὶ ὁ Θρασύβουλος πέντε ναυσὶν ἐκ τῆς Σάμου, ὡς ἠγγέλθη αὐτοῖς ἡ τῶν φυγάδων αὕτη διάβασις· ὑστερήσας δ' ἐπὶ τὴν Ἔρεσον ἐφώρμει ἐλθών. Προσεγένοντο δὲ καὶ ἐκ τοῦ Ἑλλησπόντου τινὲς δύο νῆες ἐπ' οἴκου ἀνακομιζόμεναι καὶ [αἱ] Μηθυμναῖαι (πέντε)·

il crut que ce navarque s'y arrêterait, et plaça, tant à Lesbos que sur le continent opposé, des vigies, afin que la flotte ennemie ne pût faire le moindre mouvement à son insu; lui-même se rendit à Méthymne, et ordonna des approvisionnements de farine et autres munitions, afin, si la guerre traînait en longueur, de faire des excursions de Lesbos à Chios. D'ailleurs, comme Érésos, ville de Lesbos, s'était révoltée, il voulait s'y rendre, et, s'il le pouvait, la détruire.

De puissants exilés de Méthymne, ayant fait venir de Cume une cinquantaine d'hoplites de leurs affiliés, et des soldats du continent qu'ils soudoyèrent, en tout trois cents hommes environ, commandés par Anaxandros de Thèbes, en raison de sa communauté d'origine, attaquèrent d'abord Méthymne. Repoussés dans cette tentative par les Athéniens en garnison à Mytilène, qui accoururent, et chassés une seconde fois à la suite d'un combat livré hors de la ville, ils traversèrent la montagne et soulevèrent Érésos. Thrasylos s'y rendit donc avec toute sa flotte, dans l'intention de l'attaquer. Déjà Thrasybule, à la nouvelle de cette expédition des exilés, avait quitté Samos et s'était porté sur ce point avec cinq vaisseaux; mais arrivé trop tard, il croisait devant Érésos. Deux navires qui de l'Hellespont retournaient chez eux, vinrent se réunir à lui, ainsi que les cinq vaisseaux de Méthymne. En tout il y avait soixante-sept bâtiments. A l'aide des troupes à bord, on se préparait à prendre

καὶ αἱ πᾶσαι νῆες παρῆσαν ἑπτὰ καὶ ἑξήκοντα, ἀφ' ὧν τῷ στρατεύματι παρεσκευάζοντο ὡς κατὰ κράτος μηχαναῖς τε καὶ παντὶ τρόπῳ, ἣν δύνωνται, αἱρήσοντες τὴν Ἔρεσον.

ρα'. Ὁ δὲ Μίνδαρος ἐν τούτῳ καὶ ἐκ τῆς Χίου τῶν Πελοποννησίων αἱ νῆες, ἐπισιτισάμεναι δυοῖν ἡμέραιν, καὶ λαβόντες παρὰ τῶν Χίων τρεῖς τεσσαρακοστὰς ἕκαστος Χίας, τῇ τρίτῃ διὰ ταχέων ἀπαίρουσιν ἐκ τῆς Χίου οὐ πελάγιαι, ἵνα μὴ περιτύχωσι ταῖς ἐν τῇ Ἐρέσῳ ναυσὶν, ἀλλ' ἐν ἀριστερᾷ τὴν Λέσβον ἔχοντες ἔπλεον ἐπὶ τὴν ἤπειρον. Καὶ προσβαλόντες τῆς Φωκαΐδος ἐς τὸν ἐν Καρτερίοις λιμένα καὶ ἀριστοποιησάμενοι, παραπλεύσαντες τὴν Κυμαίαν δειπνοποιοῦνται ἐν Ἀργινούσσαις [τῆς ἠπείρου], ἐν τῷ ἀντιπέρας τῆς Μυτιλήνης. Ἐντεῦθεν δὲ ἔτι πολλῆς νυκτὸς παραπλεύσαντες [τὴν Κυμαίαν], καὶ ἀφικόμενοι τῆς ἠπείρου ἐς Ἁρματοῦντα καταντικρὺ Μηθύμνης, ἀριστοποιησάμενοι, διὰ ταχέων παραπλεύσαντες Λεκτὸν καὶ Λάρισαν καὶ Ἀμαξιτὸν καὶ τὰ ταύτῃ χωρία, ἀφικνοῦνται ἐς Ῥοίτειον ἤδη τοῦ Ἑλλησπόντου, πρῴτερον μέσων νυκτῶν. Εἰσὶ δ' αἳ τῶν νεῶν καὶ ἐς Σίγειον κατῆραν καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων.

ρβ'. Οἱ δ' Ἀθηναῖοι ἐν τῇ Σηστῷ δυοῖν δεούσαις εἴκοσι ναυσὶν ὄντες, ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαίφνης πολλὰ ἐν τῇ πολεμίᾳ φανέντα, ἔγνωσαν ὅτι ἐσπλέουσιν οἱ Πελοποννήσιοι. Καὶ τῆς αὐτῆς ταύτης νυκτὸς, ὡς εἶχον τάχους, ὑπομίξαντες τῇ Χερσονήσῳ,

Érésos de vive force, s'il se pouvait, avec des machines de guerre et par tout moyen.

101. Cependant Mindaros et la flotte Péloponnésienne, qui était à Chios, et qui s'était approvisionnée de vivres pour deux jours, ayant levé sur les habitants trois tessaracostes de Chios par tête, partirent à la hâte le troisième jour; ils évitèrent de gagner la haute mer, pour ne pas rencontrer la flotte qui était à Érésos, et laissant Lesbos à leur gauche, ils naviguaient vers le continent. Ils relâchèrent dans le port de Cartéria, sur le territoire Phôcæen, y dînèrent, et, côtoyant le rivage de Cume, ils vinrent souper aux Arginusses, près du continent, en face de Mytilène. De là ils longèrent encore la côte fort avant dans la nuit, et gagnèrent la terre ferme à Harmatous, vis-à-vis de Méthymne; après y avoir dîné, ils côtoyèrent en toute hâte Lecton, Larise, Hamaxitos et autres places de cette contrée, et arrivèrent avant le milieu de la nuit à Rœtion, qui fait déjà partie de l'Hellespont; quelques vaisseaux prirent terre à Sigéon et en d'autres endroits de cette plage.

102. Dès que les Athéniens qui étaient à Sestos avec dix-huit vaisseaux, furent informés par leurs vedettes et apprirent par un grand nombre de feux allumés tout à coup sur le territoire ennemi, que les Péloponnésiens allaient entrer dans l'Hellespont, ils longèrent furtivement cette nuit même en toute hâte la côte de la Chersonnèse jusqu'à Élæous, afin de gagner la haute mer [pour éviter la flotte ennemie.] Ils ne furent pas aper-

παρέπλεον ἐπ' Ἐλαιοῦντος, βουλόμενοι ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρίαν τὰς τῶν πολεμίων ναῦς. Καὶ τὰς μὲν ἐν Ἀβύδῳ ἑκκαίδεκα ναῦς ἔλαθον, προειρημένης φυλακῆς τῷ φιλίῳ ἐπίπλῳ, ὅπως αὐτῶν ἀνακῶς ἕξουσιν, ἢν ἐκπλέωσι· τὰς δὲ μετὰ τοῦ Μινδάρου ἅμα τῇ ἕῳ κατιδόντες, τὴν δίωξιν εὐθὺς ποιουμένου, οὐ φθάνουσι πάσαις, ἀλλ' αἱ μὲν πλείους ἐπὶ τῆς Ἴμβρου καὶ Λήμνου διέφυγον, τέσσαρες δὲ τῶν νεῶν αἱ ὕσταται πλέουσαι καταλαμβάνονται παρὰ τὸν Ἐλαιοῦντα. Καὶ μίαν μὲν, ἐποκείλασαν κατὰ τὸ ἱερὸν τοῦ Πρωτεσιλάου, αὐτοῖς ἀνδράσι λαμβάνουσι, δύο δὲ ἑτέρας ἄνευ τῶν ἀνδρῶν· τὴν δὲ μίαν πρὸς τῇ Ἴμβρῳ κενὴν κατακαίουσι.

ργ΄. Μετὰ δὲ τοῦτο, ταῖς τε ἐξ Ἀβύδου ξυμμιγείσαις καὶ ταῖς ἄλλαις ξυμπάσαις ἓξ καὶ ὀγδοήκοντα πολιορκήσαντες Ἐλαιοῦντα ταύτην τὴν ἡμέραν, ὡς οὐ προσεχώρει, ἀπέπλευσαν ἐς Ἄβυδον.

Οἱ δ' Ἀθηναῖοι, ψευσθέντες τῶν σκοπῶν καὶ οὐκ ἂν οἰόμενοι σφᾶς λαθεῖν τὸν παράπλουν τῶν πολεμίων νεῶν, ἀλλὰ καθ' ἡσυχίαν τειχομαχοῦντες, ὡς ᾔσθοντο, εὐθὺς ἀπολιπόντες τὴν Ἔρεσον, κατὰ τάχος ἐβοήθουν ἐς τὸν Ἑλλήσποντον· καὶ δύο τε ναῦς τῶν Πελοποννησίων αἱροῦσιν, αἳ πρὸς τὸ πέλαγος τότε θρασύτερον ἐν τῇ διώξει ἀπάρασαι περιέπεσον αὐτοῖς, καὶ ἡμέρᾳ ὕστερον ἀφικόμενοι ὁρμίζονται ἐς τὸν

çus des seize vaisseaux Péloponnésiens qui étaient à Abydos, malgré l'injonction, donnée par Mindaros à cette flotte amie, d'observer attentivement si les Athéniens tenteraient de sortir. Mais à la pointe du jour ils aperçurent la flotte de Mindaros qui se mit aussitôt à leur poursuite. Tous n'eurent pas le temps d'échapper; la plupart se réfugièrent à Imbros et à Lemnos. Quatre de ces navires qui marchaient les derniers furent atteints près d'Élæous; l'un, échoué près du hiéron de Prôtésilas, fut pris avec les hommes qui le montaient, deux autres sans l'équipage, et le quatrième, qui était vide, fut brûlé près d'Imbros.

103. Les Péloponnésiens, réunissant ensuite aux autres vaisseaux ceux d'Abydos qui les avaient rejoints, ce qui formait en tout quatre-vingt-six voiles, assiégèrent ce même jour Élæous : mais, la place ne se rendant pas, ils se retirèrent à Abydos.

A cette nouvelle, les Athéniens, qui, trompés par leurs vedettes et ne pouvant croire que la flotte ennemie passerait à leur insu, battaient sans nul souci les murailles d'Érésos, levèrent aussitôt le siége de cette place et voguèrent en toute hâte vers l'Hellespont; ils s'emparèrent de deux vaisseaux du Péloponnèse, qui, s'étant avancés en mer à leur poursuite trop témérairement, vinrent se jeter au milieu d'eux. Arrivés le lendemain, ils entrèrent au port d'Elæous; et amenant d'Imbros tous ceux de leurs bâtiments qui s'y étaient réfugiés, pen-

Ἐλαιοῦντα, καὶ τὰς ἐκ τῆς Ἴμβρου ὅσαι κατέφυγον κομίζονται, καὶ ἐς τὴν ναυμαχίαν πέντε ἡμέρας παρεσκευάζοντο.

ρδ'. Μετὰ δὲ τοῦτο ἐναυμάχουν τρόπῳ τοιῷδε. Οἱ Ἀθηναῖοι παρέπλεον ἐπὶ κέρως ταξάμενοι παρ' αὐτὴν τὴν γῆν ἐπὶ τῆς Σηστοῦ, οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι ἐκ τῆς Ἀβύδου, ἀντανῆγον καὶ αὐτοί. Καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτειναν τὸ κέρας οἱ μὲν Ἀθηναῖοι παρὰ τὴν Χερσόνησον, ἀρξάμενοι ἀπὸ Ἰδάκου μέχρι Ἀῤῥιανῶν, νῆες ἓξ καὶ ἑβδομήκοντα, οἱ δ' αὖ Πελοποννήσιοι ἀπὸ Ἀβύδου μέχρι Δαρδάνου, νῆες ἓξ καὶ ὀγδοήκοντα. Κέρας δὲ τοῖς μὲν Πελοποννησίοις εἶχον τὸ μὲν δεξιὸν Συρακούσιοι, τὸ δ' ἕτερον αὐτὸς Μίνδαρος καὶ τῶν νεῶν αἱ ἄριστα πλέουσαι, Ἀθηναίοις δὲ τὸ μὲν ἀριστερὸν Θράσυλος, ὁ δὲ Θρασύβουλος τὸ δεξιόν· οἱ δὲ ἄλλοι στρατηγοὶ ὡς ἕκαστοι διετάξαντο. Ἐπειγομένων δὲ τῶν Πελοποννησίων πρότερόν τε ξυμμίξαι, καὶ, κατὰ μὲν τὸ δεξιὸν τῶν Ἀθηναίων ὑπερσχόντες αὐτοὶ τῷ εὐωνύμῳ, ἀποκλῇσαι τοῦ ἔξω αὐτοὺς ἔκπλου, εἰ δύναιντο, κατὰ δὲ τὸ μέσον ἐξῶσαι πρὸς τὴν γῆν οὐχ ἑκὰς οὖσαν, οἱ Ἀθηναῖοι γνόντες, ᾗ μὲν ἐβούλοντο ἀποφράξασθαι αὐτοὺς οἱ ἐναντίοι, ἀντεπεξῆγον καὶ περιεγίγνοντο τῷ πλῷ, τὸ δ' εὐώνυμον αὐτοῖς ὑπερεβεβλήκει ἤδη τὴν ἄκραν ἣ Κυνὸς σῆμα καλεῖται. Τῷ δὲ μέσῳ, τοιούτου ξυμβαίνοντος, ἀσθενέσι καὶ διεσπασμέναις ταῖς ναυσὶ καθίσταντο, ἄλλως τε καὶ ἐλάσσοσι χρώμενοι τὸ πλῆθος, καὶ τοῦ χωρίου τοῦ περὶ

dant cinq jours ils se préparèrent pour un combat naval.

104. Voici l'ordre dans lequel il fut livré. Les Athéniens, rangés à la file, longeaient la côte devant Sestos; de leur côté, les Péloponnésiens, qui d'Abydos s'en étaient aperçus, s'avançaient à leur rencontre. Quand on reconnut qu'on allait combattre, les Athéniens étendirent leur ligne sur soixante-seize vaisseaux le long de la Chersonnèse, à partir d'Idacos jusqu'à Arriana, et les Péloponnésiens sur quatre-vingt-six, depuis Abydos jusqu'à Dardanos. Les Syracusains formaient l'aile droite des Péloponnésiens, et Mindaros en personne était à la gauche avec les vaisseaux les plus rapides. Thrasylos commandait la gauche des Athéniens et Thrasybule la droite; les autres généraux occupaient chacun leur poste. Les Péloponnésiens se hâtèrent d'en venir aux mains, afin de tâcher, en dépassant avec leur gauche la droite des Athéniens, de les empêcher de s'avancer en haute mer, et, en les attaquant par le centre, de les pousser à la côte, qui n'était pas éloignée; mais les Athéniens, ayant pénétré l'intention de l'ennemi, déployèrent leur ligne contre lui du côté où il voulait leur barrer le passage, et le devancèrent dans sa marche. Leur gauche avait déjà doublé le promontoire nommé Cynosséma; mais, par cette manœuvre, ils se trouvaient n'avoir à leur centre que des vaisseaux épars et faibles, moins nombreux d'ailleurs que ceux de l'ennemi; et l'endroit qui environne Cynosséma a la forme pointue et angulaire, de sorte qu'on ne

τὸ Κυνὸς σῆμα ὀξεῖαν καὶ γωνιώδη τὴν περιβολὴν ἔχοντος, ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ γιγνόμενα μὴ κάτοπτα εἶναι.

ρε'. Προσπεσόντες οὖν οἱ Πελοποννήσιοι κατὰ τὸ μέσον ἐξέωσάν τε ἐς τὸ ξηρὸν τὰς ναῦς τῶν Ἀθηναίων καὶ ἐς τὴν γῆν ἐπεξέβησαν, τῷ ἔργῳ πολὺ περισχόντες. Ἀμῦναι δὲ τῷ μέσῳ οὔθ' οἱ περὶ τὸν Θρασύβουλον ἀπὸ τοῦ δεξιοῦ ὑπὸ πλήθους τῶν ἐπικειμένων νεῶν ἐδύναντο, οὔθ' οἱ περὶ τὸν Θράσυλον ἀπὸ τοῦ εὐωνύμου (ἀφανές τε γὰρ ἦν διὰ τὴν ἄκραν [τὸ Κυνὸς σῆμα], καὶ ἅμα οἱ Συρακούσιοι καὶ οἱ ἄλλοι οὐκ ἐλάσσους ἐπιτεταγμένοι εἶργον αὐτούς), πρὶν οἱ Πελοποννήσιοι διὰ τὸ κρατήσαντες ἀδεῶς ἄλλοι ἄλλην ναῦν διώκειν ἤρξαντο μέρει τινὶ σφῶν ἀτακτότεροι γενέσθαι. Γνόντες δὲ οἱ περὶ τὸν Θρασύβουλον τὰς ἐπὶ σφίσι ναῦς ἐπεχούσας, παυσάμενοι τῆς ἐπεξαγωγῆς ἤδη τοῦ κέρως καὶ ἐπαναστρέψαντες εὐθὺς ἠμύναντό τε καὶ τρέπουσι, καὶ τὰς κατὰ τὸ νικῆσαν τῶν Πελοποννησίων μέρος ὑπολαβόντες πεπλανημένας, ἔκοπτόν τε καὶ ἐς φόβον τὰς πλείους ἀμαχεὶ καθίστασαν. Οἵ τε Συρακούσιοι ἐτύγχανον καὶ αὐτοὶ ἤδη τοῖς περὶ τὸν Θράσυλον ἐνδεδωκότες καὶ μᾶλλον ἐς φυγὴν ὁρμήσαντες, ἐπειδὴ καὶ τοὺς ἄλλους ἑώρων.

ρϛ'. Γεγενημένης δὲ τῆς τροπῆς, καὶ καταφυγόντων τῶν Πελοποννησίων πρὸς τὸν Μείδιον μάλιστα ποταμὸν τὸ πρῶτον, ὕστερον δὲ ἐς Ἄβυδον, ναῦς μὲν ὀλίγας ἔλαβον οἱ Ἀθηναῖοι (στενὸς γὰρ ὢν ὁ Ἑλλήσποντος βραχείας τὰς ἀπο-

pouvait apercevoir de là ce qui se passait de l'autre côté.

105. Aussi les Péloponnésiens, se jetant sur le centre, poussèrent les vaisseaux des Athéniens au rivage, y descendirent après eux, et obtinrent une grande supériorité dans le combat; tandis qu'il était impossible à Thrasybule, vu la multitude des vaisseaux qui lui étaient opposés, de porter des secours de la droite au centre, et Thrasylos ne le pouvait pas non plus de la gauche; car le promontoire Cynosséma interceptait la vue; d'ailleurs les Syracusains, et autres ennemis non moins nombreux rangés contre eux, les contenaient. Mais enfin, les Péloponnésiens ne doutant plus du succès, s'étant mis à poursuivre, qui un vaisseau, qui un autre, il en résulta quelque trouble dans leurs rangs de ce côté. Thrasybule et les siens, s'apercevant de ce temps d'arrêt chez l'ennemi, cessèrent de prolonger leur ligne, et, faisant un mouvement de conversion, prirent aussitôt l'offensive et le mirent en déroute. Ils surprirent les vaisseaux errants près de l'endroit où les Péloponnésiens avaient été victorieux, les brisèrent et les mirent, sans combat, presque tous en fuite; de leur côté les Syracusains, qui déjà se retiraient devant Thrasylos, voyant les autres s'enfuir, se hâtèrent encore plus de les imiter.

106. Après cette déroute, les Péloponnésiens se réfugièrent d'abord vers le fleuve Midios, ensuite vers Abydos. Les Athéniens ne prirent, il est vrai, qu'un petit nombre de vaisseaux, car le canal étroit de l'Hellespont fournissait à l'ennemi de promptes retraites;

φυγὰς τοῖς ἐναντίοις παρεῖχε), τὴν μέντοι νίκην ταύτην τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον. Φοβούμενοι γὰρ τέως τὸ τῶν Πελοποννησίων ναυτικὸν διά τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ τὴν ἐν τῇ Σικελίᾳ ξυμφορὰν, ἀπηλλάγησαν τοῦ σφᾶς τε αὐτοὺς καταμέμφεσθαι καὶ τοὺς πολεμίους ἔτι ἀξίους του ἐς τὰ ναυτικὰ νομίζειν. Ναῦς μέντοι τῶν ἐναντίων λαμβάνουσι Χίας μὲν ὀκτὼ, Κορινθίας δὲ πέντε, Ἀμπρακιώτιδας δὲ δύο καὶ Βοιωτίας δύο, Λευκαδίων δὲ καὶ Λακεδαιμονίων καὶ Συρακουσίων καὶ Πελληνέων μίαν ἑκάστων· αὐτοὶ δὲ πεντεκαίδεκα ναῦς ἀπολλύασι. Στήσαντες δὲ τροπαῖον ἐπὶ τῇ ἄκρᾳ οὗ τὸ Κυνὸς σῆμα, καὶ τὰ ναυάγια προσαγαγόμενοι· καὶ νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους ἀποδόντες, ἀπέστειλαν καὶ ἐς τὰς Ἀθήνας τριήρη ἄγγελον τῆς νίκης. Οἱ δὲ, ἀφικομένης τῆς νεὼς, καὶ ἀνέλπιστον τὴν εὐτυχίαν ἀκούσαντες ἐπί τε ταῖς περὶ τὴν Εὔβοιαν ἄρτι ξυμφοραῖς καὶ κατὰ τὴν στάσιν γεγενημέναις πολὺ. ἐπεῤῥώσθησαν, καὶ ἐνόμισαν σφίσιν ἔτι δυνατὰ εἶναι τὰ πράγματα, ἢν προθύμως ἀντιλαμβάνωνται, περιγενέσθαι.

ρζ'. Μετὰ δὲ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ ὑπὸ σπουδῆς ἐπισκευάσαντες τὰς ναῦς οἱ ἐν τῇ Σηστῷ Ἀθηναῖοι ἔπλεον ἐπὶ Κύζικον ἀφεστηκυῖαν· καὶ κατιδόντες κατὰ Ἁρπάγιον καὶ Πρίαπον τὰς ἀπὸ τοῦ Βυζαντίου ὀκτὼ ναῦς ὁρμούσας, ἐπιπλεύσαντες καὶ μάχῃ κρατήσαντες τοὺς ἐν τῇ γῇ, ἔλαβον τὰς ναῦς. Ἀφικόμενοι δὲ καὶ ἐπὶ τὴν Κύζι-

mais certes ce fut au moment le plus opportun qu'ils obtinrent cette victoire sur mer. En effet, redoutant jusqu'alors la marine Péloponnésienne, tant à cause de leurs revers partiels que du désastre en Sicile, ils cessèrent de s'en prendre à eux-mêmes, et de croire aux ennemis quelque importance désormais sur mer. Ils leur prirent toutefois huit vaisseaux de Chios, cinq de Corinthe, deux d'Ambracie, deux de Bœôtie, un de Leucade, un de Lacédémone, un de Syracuse et un de Pellène. Mais ils en perdirent quinze des leurs. Ils élevèrent un trophée à la pointe où se trouve le Cynosséma, recueillirent les débris des vaisseaux, permirent aux ennemis, par une trève, d'enlever leurs morts, et envoyèrent une trirème annoncer à Athènes cette victoire. A l'arrivée de ce vaisseau, les Athéniens, après leurs infortunes récentes en Eubœe, et celles que les dissensions leur avaient causées, apprenant un bonheur aussi inespéré, reprirent courage, et crurent que, s'ils s'occupaient avec zèle de leurs affaires, elles pourraient encore réussir.

107. Quatre jours après le combat naval, les Athéniens qui étaient à Sestos, ayant hâté le radoubement de leurs vaisseaux, voguèrent vers Cyzique qui s'était révoltée. Ils virent à l'ancre devant Harpagion et Priapos les huit vaisseaux de Byzance, les attaquèrent, défirent les équipages qui étaient à terre, et s'emparèrent des navires. Arrivés à Cyzique, qui n'était pas

χον ἀτείχιστον οὖσαν, προσηγάγοντο πάλιν καὶ χρήματα ἀνέπραξαν.

Ἔπλευσαν δὲ ἐν τούτῳ καὶ οἱ Πελοποννήσιοι ἐκ τῆς Ἀβύδου ἐπὶ τὸν Ἐλαιοῦντα, καὶ τῶν σφετέρων νεῶν τῶν αἰχμαλώτων ὅσαι ἦσαν ὑγιεῖς ἐκομίσαντο (τὰς δὲ ἄλλας Ἐλαιούσιοι κατέκαυσαν), καὶ ἐς τὴν Εὔβοιαν ἀπέπεμψαν Ἱπποκράτην καὶ Ἐπικλέα κομιοῦντας τὰς ἐκεῖθεν ναῦς.

ρη'. Κατέπλευσε δὲ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους καὶ ὁ Ἀλκιβιάδης ταῖς τρισὶ καὶ δέκα ναυσὶν ἀπὸ τῆς Καύνου καὶ Φασήλιδος ἐς τὴν Σάμον, ἀγγέλλων ὅτι τάς τε Φοινίσσας ναῦς ἀποστρέψειε Πελοποννησίοις ὥστε μὴ ἐλθεῖν, καὶ τὸν Τισσαφέρνην ὅτι φίλον πεποιήκοι μᾶλλον Ἀθηναίοις ἢ πρότερον. Καὶ πληρώσας ναῦς ἐννέα πρὸς αἷς εἶχεν, Ἁλικαρνασσέας τε πολλὰ χρήματα ἐξέπραξε καὶ Κῶν ἐτείχισε. Ταῦτα δὲ πράξας καὶ ἄρχοντα ἐν τῇ Κῷ καταστήσας, πρὸς τὸ μετόπωρον ἤδη ἐς τὴν Σάμον κατέπλευσε. Καὶ ὁ Τισσαφέρνης ἀπὸ τῆς Ἀσπένδου, ὡς ἐπύθετο τὰς τῶν Πελοποννησίων ναῦς ἐκ τῆς Μιλήτου ἐς τὸν Ἑλλήσποντον πεπλευκυίας, ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίας.

Ὄντων δὲ τῶν Πελοποννησίων ἐν τῷ Ἑλλησπόντῳ, Ἀντάνδριοι (εἰσὶ δὲ Αἰολῆς) παρακομισάμενοι ἐκ τῆς Ἀβύδου πεζῇ διὰ τῆς Ἴδης τοῦ ὄρους ὁπλίτας, ἐσηγάγοντο ἐς τὴν πόλιν, ὑπὸ Ἀρσάκου τοῦ Πέρσου, Τισσαφέρνους ὑπάρχου, ἀδικούμενοι, ὅσπερ καὶ Δηλίους τοὺς Ἀτραμύττιον κατοικήσαντας, ὅτε ὑπ'

fortifiée, ils firent rentrer cette place sous leur obéissance, et levèrent sur elle une contribution en argent.

Sur ces entrefaites les Péloponnésiens passèrent d'Abydos à Élæous, et recouvrèrent ceux des vaisseaux qu'on leur avait pris et qui étaient en bon état; les autres avaient été brûlés par les Elæousiens. Ils envoyèrent aussi Hippocratès et Epiclès en Eubœe, pour ramener les bâtiments qui s'y trouvaient.

108. Vers cette époque, Alcibiades, avec les treize vaisseaux qu'il avait, passa de Caune et de Phasélis à Samos, annonçant qu'il avait détourné la flotte Phénicienne de venir se joindre aux Péloponnésiens, et qu'il avait rendu Tissaphernes plus que jamais ami des Athéniens. Il équipa neuf bâtiments, outre ceux qu'il avait déjà, leva une forte contribution d'argent sur les habitants d'Halicarnasse, et fortifia par un mur la ville de Côs; cela fait, il installa à Côs un archonte, et revint à Samos vers l'automne. De son côté Tissaphernes, ayant appris que la flotte Péloponnésienne était passée de Milet dans l'Hellespont, appareilla et se porta d'Aspendos vers l'Iônie.

Pendant que les Péloponnésiens étaient dans l'Hellespont, les habitants d'Antandros, qui sont des Æoliens, offensés par le Perse Arsacès, lieutenant de Tissaphernes, firent venir par terre, à travers le mont Ida, des hoplites d'Abydos, qu'ils introduisirent dans leur ville. Cet Arsacès, feignant d'avoir des ennemis qu'on n'a pas connus, avait invité à une expédition les

Ἀθηναίων Δήλου καθάρσεως ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος ἄδηλον καὶ ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις; ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ, τηρήσας ἀριστοποιουμένους καὶ περιστήσας τοὺς ἑαυτοῦ κατηκόντισε. Φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον μήποτε καὶ περὶ σφᾶς τι παρανομήσῃ, καὶ ἄλλα ἐπιβάλλοντος αὐτοῦ ἃ φέρειν οὐκ ἠδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς αὐτοῦ ἐκ τῆς ἀκροπόλεως.

ρθ'. Ὁ δὲ Τισσαφέρνης, αἰσθόμενος καὶ τοῦτο τῶν Πελοποννησίων τὸ ἔργον, καὶ οὐ μόνον τὸ ἐν Μιλήτῳ καὶ Κνίδῳ (καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώκεσαν οἱ φρουροί), διαβεβλῆσθαί τε νομίσας αὐτοῖς σφόδρα, καὶ δείσας μὴ καὶ ἄλλο τι ἔτι βλάπτωσι, καὶ ἅμα ἀχθόμενος εἰ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δαπάνης δεξάμενος αὐτοὺς κατορθώσει τι μᾶλλον τῶν πρὸς τοὺς Ἀθηναίους, πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς ἐπὶ τοῦ Ἑλλησπόντου, ὅπως μέμψηταί τε τῶν περὶ τὴν Ἄντανδρον γεγενημένων καὶ τὰς διαβολὰς καὶ περὶ τῶν Φοινισσῶν νεῶν καὶ τῶν ἄλλων ὡς εὐπρεπέστατα ἀπολογήσηται. Καὶ ἀφικόμενος πρῶτον ἐς Ἔφεσον, θυσίαν ἐποιήσατο τῇ Ἀρτέμιδι. [Ὅταν ὁ μετὰ τοῦτο τὸ θέρος χειμὼν τελευτήσῃ, ἓν καὶ εἰκοστὸν ἔτος πληροῦται.]

principaux parmi les Déliens, réfugiés à Atramyttion, lorsqu'ils furent expulsés de Délos par les Athéniens pendant la purification de cette île; il les fit sortir de la ville sous un faux dehors d'alliance et d'amitié, et, saisissant le moment où ils dînaient, il les fit entourer par ses gens et tuer à coups de flèches. Ce fut donc pour cette perfidie que les habitants d'Antandros, craignant qu'il ne commît encore contre eux quelqu'autre attentat, et d'ailleurs, écrasés de charges qu'ils ne pouvaient supporter, chassèrent la garnison qu'il avait mise dans la citadelle.

109. Tissaphernes sentit bien que ce coup venait encore des Péloponnésiens, indépendamment de celui qu'ils lui avaient porté à Milet et à Cnide; car là aussi les garnisons de Tissaphernes avaient été chassées. Il pensa qu'il était tout à fait discrédité auprès d'eux, et de crainte qu'ils ne lui causassent encore d'autres dommages, voyant, d'ailleurs, avec dépit que Pharnabaze, qui les entretenait depuis peu et à moins de frais, pourrait réussir mieux que lui dans la guerre contre les Athéniens, il résolut de les aller trouver dans l'Hellespont pour se plaindre de ce qui s'était passé à Antandros, repousser les inculpations qui lui étaient faites, et se disculper de son mieux relativement à la flotte Phénicienne et sur d'autres sujets. Arrivé d'abord à Éphèse, il offrit un sacrifice à Diane. [Quand viendra la fin de l'hiver qui suivit cet été, la vingt-unième année de la guerre sera terminée.]

NOTES

DU LIVRE SIXIÈME.

[§ 1, page 2, ligne 10.].... διείργεται τὸ μὴ ἤπειρος οὖσα.

Au lieu de οὖσα, qu'on ne saurait guère défendre, Poppo, Herwerden (*Studia Thucydidea. Traject. ad Rhen.* 1869, p. 97), Stahl et Bœhme écrivent εἶναι. Cette leçon ne se trouve que dans un seul ms. de moindre valeur (cod. Paris. n. 1734). C. Müller propose de changer ἤπειρος οὖσα en ἠπειροῦσθαι (comp. Thuc. 2, 102 : εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται).

[§ 2, p. 2, 11.].... ᾠκίσθη δὲ ὧδε.

Nos mss. donnent ᾗδε, ἧδε, ἤδη. Haack et Bœhme écrivent ἤδη. Avec les autres éditeurs, nous avons conservé la leçon vulgaire ὧδε, recommandée par les derniers mots de ce § : βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ᾤκησαν.

[§ 2, p. 4, 9.].... οἰκοῦσι... τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν.

La leçon τῆς Σικελίας ne se trouve que dans quelques mss. qui manquent d'autorité et dans les scolies. Τὰ πρὸς ἑσπέραν est dit adverbialement au lieu de κατὰ τὰ πρὸς ἑσπέραν.

[§ 5, p. 12, 16.].... ὑπὸ [Γέλωνος].

Lisez ὑπὸ Γελῴων, d'après la correction de Dodwell, approuvée par Wesseling (*ad Diodor.* 11, 76), Poppo, Arnold, Donaldson, Stahl et Bœhme.

[§ 7, p. 16, 8.].... ἐξελθόντων.

C'est avec raison, je crois, que Portus a écrit ἐξελθόντες, correction adoptée par Haack, Bekker (dans son édition mineure), Stahl, Bœhme et Otto Schulze (*Quæstiones Thucydideæ*, *Gœttingæ*, 1872, p. 27).

[§ 8, p. 18, 4.].... ἐν δὲ τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τοῖς κοινοῖς.

Au lieu de ἐν τοῖς κοινοῖς (leçon de tous nos mss.), la leçon vulgaire, que peut-être j'aurais dû conserver avec Stahl et Herwerden (p. 46), porte ἐν τῷ κοινῷ (*apud ærarium* dans la traduction de Valla), comme à la fin du § 6 nous lisons : ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς. Quant à l'emploi du pluriel τὰ κοινὰ, Arnold cite un passage de Polybe 1, 59 : χορηγία γὰρ οὐχ ὑπῆρχε πρὸς τὴν πρόθεσιν ἐν τοῖς κοινοῖς.

[§ 9, p. 20, 4.].... νομίζων ὁμοίως.

Cobet propose d'écrire ὅμως. Je m'en tiens à la leçon des mss.

[§ 9, p. 20, 9.].... οὔτε νῦν, ἀλλὰ ᾗ ἄν.

Reiske a proposé de lire οὔτε νῦν ἄλλα ᾗ ἃ ἄν, conjecture approuvée par Madwig et Stahl, excepté qu'au lieu de ἃ ἂν ils écrivent ἅν. Ce changement, tout acceptable qu'il paraisse, n'est cependant pas nécessaire. A l'appui de la leçon des mss. Bœhme cite les passages suivants : 1, 126 : διαθεῖναι ᾗ ἂν ἄριστα διαγιγνώσκωσι. 6, 26 : πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι.

[§ 10, p. 20, 19.].... οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰς, καὶ ἐκ τῶν ἐναντίων.

Par ἐνθένδε ἄνδρες Nicias fait allusion à Alcibiades et à son parti, par ἐναντίων, aux Éphores Cléoboulos et Xénarès. Voy. liv. 5, § 36. αὐτὰς est la leçon vulgaire, conservée par Bekker et Haase. Les autres éditeurs s'en tiennent, avec raison peut-être, à la leçon des mss., qui donnent αὐτά, c.-à-d. τὰ περὶ τὰς σπονδάς.

[§ 10, p. 22, 3.] Τάχα δ' ἂν ἴσως.

C'est ainsi qu'on lit dans les éditions d'Arnold, Haase, Bekker,

Gœller et Stahl, pendant que Poppo, Donaldson et Bœhme donnent τάχα ἂν δ'ἴσως, leçon qui se trouve dans huit mss. mentionnés par Arnold, et en faveur de laquelle on cite § 2, p. 4, 21 : τάχα ἂν δὲ et liv. 2, 63 : τάχιστα ἄν τε. A l'appui de l'autre leçon comp. liv. 7, 77, où les mss. ont : τάχα δὲ ἄν.

[§ 10, p. 22, 7.].... ὥστε χρὴ σκοπεῖν τινα αὐτά.

Quelques interprètes pensent que par τινὰ Thucydides fait allusion à Alcibiades. Nous les croyons dans l'erreur ; le mot τις est une expression très-familière à Thucydides, qui l'emploie dans un sens générique ; c'est comme s'il disait χρὴ σκοπεῖν ἡμᾶς. Dans le § suivant on retrouve encore la même expression : ὧν κρατήσας τε μὴ κατασχήσειτις.

[§ 10, p. 22, 12.].... ὑφ' ὧν δ' αὐτῶν.

Lisez ὑφ ὧν δ' αὐτοί, avec Reiske, Bekker, Haase, Donaldson, Cobet, Stahl et Bœhme. Thucydides dit : Nous volons au secours de nos alliés outragés, et nous tardons à nous venger de ceux qui nous ont outragé nous-mêmes.

[§ 11, p. 22, 23.] Νῦν μὲν γὰρ κἂν ἔλθοιεν etc.

Voici le raisonnement de l'orateur : Les états sicéliôtes pourraient en particulier, dans le désir de plaire aux Lacédémoniens, venir nous combattre ; mais dans l'hypothèse que les Sicéliôtes deviendraient sujets de Syracuse et que dès lors celle-ci devînt une puissance, il n'est pas probable que Syracuse, élevée au rang d'une grande puissance, s'en vînt attaquer Athènes, qui est aussi une puissance.

[§ 11, p. 24, 7.].... τὰ γὰρ διὰ πλείστου πάντες ἴσμεν θαυμαζόμενα.

Tacite, dans ses *Annales* (I, 47), exprime la même idée avec plus de précision encore que son modèle : *major e longinquo reverentia.*

[§ 11, p. 24, 13.].... ἀλλὰ τὰς διανοίας κρατήσαντας θαῤῥεῖν.

Gœller explique ce passage par : *decet confidere, animi potentem, i. e., neque nimis fortuna secunda elatum, neque adversa animo nimis demisso*. Bloomfield traduit : *but to feel confidence only in accomplishing the designs you meditate*. Portus : *sed animos cohibendo confidere.* Je pense que αἱ διάνοιαι sont ici celles τῶν ἐναντίων et que Thucydides dit : avant de faire les fiers, il faut avoir abattu l'orgueil de son ennemi ; ce n'est qu'après avoir maîtrisé l'orgueil d'un ennemi qu'on peut se reposer sur son courage.

[§ 12, p. 26, 2.].... αὐτῶν λόγους... τοὺς φίλους ξυναπολέσαι.

Au lieu de αὐτῶν (correction de Bekker) les mss. donnent αὐτῶν ou αὐτοὺς, et ξυναπολέσθαι au lieu de ξυναπολέσαι (correction de Reiske). Bloomfield voulait écrire : τοῖς φίλοις ξυναπολέσθαι.

[§ 12, p. 26, 11.].... μὴ οἷον νεωτέρῳ βουλεύσασθαι... οὓς ἐγὼ ὁρῶν etc.

Krüger, faisant remarquer que le datif νεωτέρῳ y serait employé d'une manière insolite, propose de lire νεωτέρως. Pluygers (*Mnemosyne*, vol. XI, p. 92), Stahl et Bœhme écrivent νεωτέρους. Je conserve la leçon des mss. Comp. liv. 7, 14 : τὸ μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ.

[§ 13, p. 26, 13.].... παρακελευστοὺς καθημένους.

Gœller explique le mot παρακελευστοὺς par : *die Kreaturen des Alcibiades ;* Bloomfield traduit : *as advocates and abettors ;* Phôtius dit : παρακελευστοί, οἱ ἐκ παρακελεύσεως καὶ παρακλήσεως συλλαμβάνοντες καὶ οὐ στασιάζοντες, et encore : παρακελευστοί, οἱ σπουδασταί· ὁ γὰρ σπουδαστὴς τὸν αὐστηρὸν καὶ σπουδαῖον οἰκεῖον δηλοῖ. Le scoliaste explique παρακελευστούς par παρακεκλημένους. Thucydides, par les mots suivants, καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι, fait voir que παρακελευστοὶ signifie ceux qu'on engageait dans les assemblées populaires par des promesses ou par amitié, ou par des moyens semblables, à se ranger du côté d'un homme influent pour grossir et appuyer son parti ; ce qui nous paraît n'être pas tout à fait synonyme de « créatures » ou d' « *abettors*. » Notre conjecture est confirmée par ce passage d'Eschine : ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς

ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας. καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι (*in Ctesiph.*). On voit que οἱ ἐκ παρασκευῆς καθεζόμενοι ne sont autre chose que παρακελευστοὶ καθήμενοι. Comp. Dio Cass. 39, 18 : πρὸς τὴν ἀπόδρασιν τῆς δίκης παρακελευστὸς ᾑρέθη.

[§ 13, p. 26, 22.].... οἷς περ νῦν ὅροις χρωμένους πρὸς ὑμᾶς, οὐ μεμπτοῖς.

